NAZIONALE
1
41 E
19
CENTRALE V. E. II
ROMA

1. 41. E. 13

SCHOLIA GRAECA

IN

ARISTOTELIS METAPHYSICA

COLLEGIT

CHRISTIANUS AUGUSTUS BRANDIS.

BEROLINI
TYPIS ACADEMICIS.

IMPENSIS GE. REIMERI
A. MDCCCXXXVII.

Digitized by Google

In excerpendis his scholiis id maxime secutus sum ut missis caeteris ea tantum seligerem quae sanae explicationis certe aliqua adminicula in se continerent. Maxima igitur eorum pars e genuinis Alexandri in quinque priores libros commentariis desumta est, pauca tantum addita ex Asclepii et Syriani commentis notisque marginibus codicum Regii Parisiensis et Laurentiani adscriptis. Ubi deficiunt illi quos equidem maxime probo Aphrodisiensis commentarii, saepius quam Asclepii et Syriani scholia atque Themistii misere depravata in librum duodecimum paraphrasis ea adhibenda erant quae Alexandri nomen falso prae se ferunt, sive Michaelis Ephesii sunt, sive alius cuiusdam labentis aevi commentatoris, qui antiquiora et meliora hic illic in usum suum vertisse videtur. Ex quibusnam codicibus scholia descripta sint, in ampliore scholiorum collectione indicavi, quae Aristoteli accedit ab Academia litterarum Berolinensi edito. Appendicis loco huic scholiorum libello, quae iis vel emendandis vel supplendis ex saepe repetita Metaphysicorum lectione praeparata habeo, addam, quum primum ad ea disponenda et perpolienda otium mihi concessum fuerit.

EMENDANDA.

p. 6, 6 adde Asclep.
- 75, 34 id. lege Syrian.
- 76, 14 id. lege Alex.
- - 33 id. lege Syrian.
- 77, 20 adde id.
- - 29 adde id.
- 78, 2 id. lege Alex.
- 79, 4 id. lege Syrian.
- - 24 id. lege Alex.
- 80, 13 id. lege Syrian.
- - 23 id. lege Alex.
- - 30 id. lege Syrian.
- 83, 5 id. lege Alex.
- 88, 16 id. lege Asclep.
- - 29 id. lege Alex.
- 190, 18 id. lege Alex.
- 205, 31 id. lege Alex.
- 304, 25 adde Syrian.
- 315, 14 adde Syrian.
- - 24 adde Syrian.

Scholia in ultimos sex vel septem Metaphysicorum libros, quibus nomen auctoris non additum est, ex falso Alexandro depromta sunt.

ΣΧΟΛΙΑ ΕΙΣ ΤΟ ΜΕΙΖΟΝ ΑΛΦΑ ΤΗΣ ΜΕΤΑ ΤΑ ΦΥΣΙΚΑ ΑΡΙΣΤΟΤΕΛΟΥΣ, ΓΕΝΟΜΕΝΑ ΥΠΟ ΑΣΚΛΗΠΙΟΥ ΑΠΟ ΦΩΝΗΣ ΑΜΜΩΝΙΟΥ ΤΟΥ ΕΡΜΕΙΟΥ.

Δεῖ ἡμᾶς ἀρχομένους τῆς παρούσης πραγματείας εἰπεῖν τὸν σκοπόν, τὴν τάξιν, τὴν αἰτίαν τῆς ἐπιγραφῆς. σκοπὸς μὲν οὖν ἐστὶ τῆς παρούσης πραγματείας τὸ θεολογῆσαι· θεολογεῖ γὰρ ἐν αὐτῇ Ἀριστοτέλης. ἡ δὲ τάξις, ὅτι ἐκ τῶν φύσει ὑστέρων ἡμεῖς τὰς ἀρχὰς ποιούμεθα, ἐπειδὴ ταῦτα μᾶλλον συνεγνωσμένα ἡμῖν ὑπάρχουσι. διὰ τοῦτο τοίνυν ὁ Ἀριστοτέλης πρότερον διελέχθη ἡμῖν περὶ τῶν φυσικῶν πραγμάτων· ταῦτα γὰρ τῇ φύσει ὕστερα ὑπάρχουσιν, ἡμῖν δὲ πρότερα. ἡ δὲ παροῦσα πραγματεία τῇ μὲν φύσει προτέρα ὡς τὸ τέλειον ἔχουσα, ἡμῖν δὲ ὑστέρα· πρότερα γὰρ τὰ ἄφθαρτα τῶν φθαρτῶν καὶ τὰ ἀγένητα τῶν γινομένων. διὰ τοῦτο τοίνυν ὁ Ἀριστοτέλης πρότερον διελέχθη ἡμῖν περὶ τῶν ἀτάκτως κινουμένων ἐν τοῖς Μετεώροις, καὶ πάλιν περὶ τῶν τεταγμένως κινουμένων ἐν τῇ περὶ Οὐρανοῦ, φημὶ δὲ περὶ ἀστέρων καὶ σφαιρῶν· καὶ λοιπὸν ἐν ταύτῃ τῇ πραγματείᾳ διαλέγεται ἡμῖν περὶ τῶν πάντῃ ἀκινήτων. τοῦτο δέ ἐστι θεολογία· τοῖς γὰρ θείοις ἁρμόττει τὸ τοιοῦτο. διὰ τοίνυν ταύτην τὴν αἰτίαν καὶ ἐπιγέγραπται Μετὰ τὰ Φυσικά, ἐπειδὴ πρότερον διελέχθη ἡμῖν περὶ τῶν φυσικῶν πραγμάτων, εἶθ' οὕτως περὶ ταύτης. μετὰ γοῦν τὰς φυσικὰς πραγματείας δεῖ ταύτην ἀναγινώσκειν, ὡς δηλοῖ καὶ ἡ ἐπιγραφή. καὶ ἐν ταῖς φυσικαῖς δὲ αὐτοῦ πραγματείαις, καὶ μάλιστα πρὸς τοῖς πέρασι, θεολογεῖ καὶ ἀνάγει ἑαυτόν· φησὶ γὰρ πρὸς τῷ τέλει τῆς περὶ Γενέσεως καὶ Φθορᾶς (c. 10 p. 236 *b* 31) "τῷ λειπομένῳ τρόπῳ ἀνεπλήρωσε τὸ ὅλον ὁ θεὸς ἐνδελεχῆ ποιήσας τὴν γένεσιν." ὁμοίως δὲ καὶ ἐν τῷ ὀγδόῳ λόγῳ τῆς Φυσικῆς Ἀκροά-

σεως (c. 5 sqq.) καὶ ἐν τῇ περὶ Ψυχῆς (3 4 sqq.) πραγματείᾳ καὶ ἐν πάσαις αὐτοῦ ταῖς φυσικαῖς πραγματείαις τοῦτο πεποίηκε.

δεῖ ἡμᾶς ἀρχομένους τῆς παρούσης πραγματείας εἰπεῖν τὸν σκοπόν, τὸ χρήσιμον, τὴν τάξιν, τὴν αἰτίαν τῶν ἐπιγραφῶν (πολλαὶ γὰρ ἐπιγραφαὶ φέρονται), αἷς δείκνυμεν τὸν τρόπον τοῦ συγγράμματος ὅλου), καὶ περὶ τοῦ μεγάλου ἄλφα καὶ τοῦ μικροῦ ἄλφα, καὶ πόθεν ὥρμησεν εἰς ἔννοιαν τῆς πρώτης φιλοσοφίας Ἀριστοτέλης. ὁ μὲν οὖν σκοπὸς τοῦ παρόντος συγγράμματος εἰπεῖν περὶ τῶν ὄντων καὶ ᾗ ὄντα ἐστί, καὶ περὶ πάντων ἁπλῶς τῶν ὄντων διαλεχθῆναι καθὸ ὄντα ἐστίν. διὸ καὶ τὸν ὅρον τῆς φιλοσοφίας οὕτως ἐλέγομεν, γνῶσις τῶν ὄντων ᾗ ὄντα ἐστίν. οὔτε γὰρ περὶ τῶν μερικῶν διαλέγεται ἐνταῦθα, οἷον περὶ κομητῶν, καθάπερ ἐν τοῖς Μετεώροις, οὔτε περὶ τῶν καθόλου, καθάπερ ἐν τῇ περὶ Οὐρανοῦ πραγματείᾳ, ἀλλὰ καθόλου περὶ πάντων τῶν ὄντων· θεολογῆσαι γὰρ αὐτῷ πρόκειται ἐν τῷ παρόντι συγγράμματι. ἀμέλει τοι καὶ περὶ στοιχείων διαλέγεται καὶ περὶ ἀρχῶν· μόνης γάρ ἐστιν ἔργον τῆς πρώτης φιλοσοφίας ἀποδεῖξαι τὰς ἀρχὰς πασῶν τῶν ἐπιστημῶν. αἱ μὲν γὰρ ἄλλαι ἐπιστῆμαι οὐκ ἀποδεικνύουσι τὰς οἰκείας ἀρχάς, ἀλλὰ μόνη ἡ πρώτη φιλοσοφία ἀποδείκνυσι πασῶν τῶν ἐπιστημῶν τὰς ἀρχάς. καὶ ταῦτα μὲν περὶ τοῦ σκοποῦ, ἐφεξῆς δὲ δεῖ εἰπεῖν περὶ τοῦ μεγίστου ἀγαθοῦ, λέγω δὴ τοῦ χρησίμου. χρήσιμος γάρ ἐστιν ἡ παροῦσα πραγματεία· συμβάλλεται γὰρ τῷ νῷ, οὐ τῷ πρακτικῷ ἀλλὰ τῷ θεωρητικῷ, διδάσκουσα αὐτὸν περὶ τῶν θείων, τουτέστι διακρίνειν ἀλήθειαν ἀπὸ ψεύδους. μέγιστον γὰρ ἀγαθόν ἐστι τῶν ἐν ἀνθρώποις ὁ θεωρητικὸς νοῦς· ἕκαστον γὰρ κατ' ἐκεῖνο χαρακτηρίζεται καθ' ὃ τῶν ἄλλων διαφέρει, οἷον ἵππῳ μὲν καθὸ ἵππος, κυνὶ δὲ καθὸ κύων· αἴτιον γάρ, ὡς ἐν κεφαλαίῳ εἰπεῖν, τὸ ὁμολογεῖσθαι μὲν τὴν οἰκείαν ἐν ἑκάστῳ τελειότητα, καθ' ἣν φύσιν ἔστιν ἕκαστον ὅ ποτε ἔστιν, οἰκειότατόν τε εἶναι καὶ μέγιστον ἀγαθὸν ἑκάστῳ· ἡ γὰρ τελειότης τε καὶ ἡ ἀκρότης τῆς φύσεως ἑκάστου τὸ τελειότατον τῶν ἀγαθῶν ἑκάστῳ, ἵππῳ μέν, ὡς εἴρηται, καθὸ ἵππος, κυνὶ δὲ καθὸ κύων, καὶ ἐπὶ τῶν ἄλλων ὁμοίως ἐμψύχων τε καὶ ἀψύχων, καὶ ἀνθρώπῳ δὲ καθὸ ἄνθρωπος. ἀλλὰ μὴν ὁμολογεῖται καὶ τοῦτο, ἑκάστῳ τῶν ὄντων κυρίως τὸ οἰκεῖον εἶδος εἶναι τὸ εἶναι· εἶδος δὲ οἰκεῖον ἑκάστῳ καθὸ τῶν ἄλλων ἁπάντων διαφέρει. ἆρ' οὖν οὐχ

ὁμολογεῖ) ὑπὸ πάντων ὁ ἄνθρωπος τῶν ἄλλων διαφέρειν κ᾽ τὴν θεωρητικὸν νῦν; τῦ μ᾽ γὰ πρακτικῦ τε κ᾽ τεχνικῦ μετέχυσί πως κ᾽ τὰ ἄλλα ζῷα, τῦ ἴχνυς αὐτῦ τῦ πρακτικῦ νῦ. πολλὰ γὰ ἕκαςον τῶν ζῴων μηχανᾶ) πρὸς τὴν οἰκείαν σωτηρίαν, οἷον μύρμηξ θησαυρίζει αὐτῷ τροφὰς ἐν χειμῶνι κ᾽ χελιδὼν ποιεῖ νεοττιὰν διὰ τὴν διαδοχήν· ὁμοίως δὲ κ᾽ ἡ μέλιττα συνάγυσα θησαυρίζει τροφάς. τῦτο δὲ τὸ δῶρον ὑπὸ τῆς φύσεως διὰ τῦ θεῦ ἔλαχον, ὅπως διασῴζων). πάλιν δὲ ὥπλισεν ἡ φύσις τὰ ζῷα πρὸς τὰς ἐπιβυλὰς τῶν ἐπερχομένων. ταῦτα δὲ πάντα ὐκ ἔξω λογικῆς συνέσεως ὑπάρχυσιν· ἐπιςήμης δὲ κ᾽ θεωρίας πρὸς τὴν τῶν ἀληθῶν τε κ᾽ ψευδῶν διάκρισιν κ᾽ τῆς λογικῆς δυνάμεως παντάπασιν ἄμοιρα τὰ ἄλλα ζῷα. εἰ τοίνυν διὰ τῆς παρύσης πραγματείας ὁ θεωρητικὸς νῦς ἐνεργεῖ περὶ τὰ θεῖα κ᾽ κυρίως ὄντα, εἴγε τῆς πρώτης ἐςὶ φιλοσοφίας τὸ ἀποδεικνύναι κ᾽ τὰς ἀρχὰς τῶν ἄλλων ἐπιςημῶν, κ᾽ ἔςιν αὕτη ἡ ἐπιςήμη ἀναπόδεικτος, δῆλον ὅτι πάνυ χρησιμωτάτη ἐςὶν ἡ παρῦσα πραγματεία. ἐπειδὴ ὖν τὴν πρώτην ἐπιςήμην παραδίδωσιν ἐν τῇ πραγματείᾳ ταύτῃ, εἴη ἂν οἰκειοτάτη τῷ ἀνθρώπῳ. τὰ μ᾽ γὰ ἄλλα ζῷα ἔλαχον τὴν φρόνησιν ταύτην πρὸς τὰς βιωτικὰς διαγωγάς, ἵνα σῴζων) κ᾽ τρέφων)· οἱ δὲ ἄνθρωποι κ᾽ πρὸς τὰς βιωτικὰς διαγωγὰς ἔχον τὰς μαθήσεις κ᾽ πρὸς τὸ νοερὸν αὐτό· ἐὰν γὰ γνῶμεν ὅτι τοιόνδε χῆμα φυλάττει ὕτος ὁ ἀςὴρ πρὸς τῦτον τὸν ἀςέρα πως, ὐδὲν ἡμῖν συμβάλλε) πρὸς τὰς βιωτικὰς ἀγωγάς. ὁμοίως κ᾽ ἐπὶ ἄλλων πλείςων. κ᾽ ταῦτα μ᾽ ὅτι χρήσιμος ἡ παρῦσα πραγματεία· ἡ δὲ τάξις προφανὴς ἐκ τῶν τῇ προτεραίᾳ ῥηθέντων. ἐπεὶ γὰ ἡ μ᾽ φύσις ἄρχε) ἀπὸ τῶν τελειοτέρων, ἡμῖν δὲ διὰ τὴν ἡμετέραν ἀθένειαν ἀσύμμετρόν ἐςι τὸ εὐθέως τοῖς τελειοτέροις προσβάλλειν, ἀγαπῶμεν πρότερον ἀπὸ τῶν τῇ φύσει ὑςέρων κ᾽ τῶν ἀτελῶν ἄρξαθ᾽, κ᾽ ὕτως δραμεῖν ἐπὶ τὰ τέλεια. ἐπεὶ ὖν ἐν τοῖς φυσικοῖς περὶ τῶν ἀτελῶν διελέχθη, ἐνταῦθα δὲ περὶ τῶν τελείων, εἰκότως ὡς πρὸς ἡμᾶς τελευταία ἐςὶν ἡ παρῦσα πραγματεία. ἰςέον δὲ ὅτι ἐπιγράφε) κ᾽ Σοφία κ᾽ Φιλοσοφία κ᾽ πρώτη Φιλοσοφία κ᾽ Μετὰ τὰ Φυσικά, ἐπειδὴ πρότερον διαλεχθεὶς περὶ τῶν φυσικῶν ἐν ταύτῃ τῇ πραγματείᾳ διαλέγε) περὶ τῶν θείων. διὰ

τὴν τάξιν ὃν ἔλαχε τὴν προσηγορίαν. Σοφία δὲ οἱονεὶ σάφειά τις ὖσα· τὰ γὰρ θεῖα σαφῆ καὶ φανερώτατα· περὶ γὰρ θείων διαλέγεται· τούτου χάριν εἶπε σοφίαν. ἀμέλει τοι καὶ ἐν τῇ Ἀποδεικτικῇ φησὶν "ὡς εἴρηταί μοι ἐν τοῖς περὶ σοφίας λόγοις·" ἡ γὰρ ἀναποδείκτοις
5 ἀρχαῖς χρωμένη ἐπιςήμη σοφία ἐςίν. πρώτην δὲ Φιλοσοφίαν, ἐπεὶ περὶ τῶν πρώτων αἰτιῶν καὶ ἀρχῶν ἀναποδείκτων διαλέγεται. Φιλοσοφία δέ, διότι κυριωτάτη καὶ μάλιςα φιλοσοφία ἡ ἐν θεωρίᾳ τε καὶ τῇ τῶν ὄντων γνώσει, εἴγε ἡ μὴ φιλοσοφία κυρίως περὶ τὰ δι' ἑαυτὰ αἱρετὰ καὶ οὐ δι' ἄλλα, μόνη δὲ ἡ τῶν ἀρίςων θεωρία δι'
10 ἑαυτὴν αἱρετή. καὶ Θεολογίαν δὲ καλοῦσιν αὐτήν, ἐπεὶ αἱ τῶν ὄντων ἀρχαὶ καὶ τὰ τῶν ὄντων αἴτια τὰ πρῶτα καὶ τελειότατα μάλιςα τὰ ὄντα θεῖα, περὶ ὧν ἐνταῦθα θεωρεῖ. ὁ δὲ τρόπος τῆς συντάξεως, ὅτι ἔςιν ἡ παροῦσα πραγματεία οὐχ ὁμοίως ταῖς ἄλλαις ταῖς τοῦ Ἀριςοτέλους συγκεκροτημένη, οὐδὲ τὸ εὔτακτόν τε καὶ
15 συνεχὲς ἔχειν δοκοῦσα, ἀλλὰ τινὰ μὴ λείπει ὡς πρὸς τὸ συνεχὲς τῆς λέξεως, τὰ δὲ ἐξ ἄλλων πραγματειῶν ὁλόκληρα μετενήνεκται, καὶ πολλάκις τὰ αὐτὰ λέγει. ἀπολογοῦνται δὲ ὑπὲρ τούτου, καὶ καλῶς ἀπολογοῦνται, ὅτι γράψας τὴν παροῦσαν πραγματείαν ἔπεμψεν αὐτὴν Εὐδήμῳ τῷ ἑταίρῳ αὐτοῦ τῷ Ῥοδίῳ· εἶτα ἐκεῖνος ἐνόμισε μὴ
20 εἶναι καλὸν ὡς ἔτυχεν ἐκδοθῆναι εἰς πολλοὺς τηλικαύτην πραγματείαν. ἐν τῷ οὖν μέσῳ χρόνῳ ἐτελεύτησε, καὶ διεφθάρησάν τινα τοῦ βιβλίου· μὴ τολμῶντες δὲ προσθεῖναι οἴκοθεν οἱ μεταγενέςεροι διὰ τὸ πολὺ πάνυ λείπειν τῆς τοῦ ἀνδρὸς ἐννοίας, μετήγαγον ἐκ τῶν ἄλλων αὐτοῦ πραγματειῶν τὰ λείποντα, ἁρμόσαντες ὡς ἦν
25 δυνατόν. οὐ μὴν ἀλλὰ καὶ ἐν τούτοις σωζομένην εὕροι ἄν τις τὴν τῶν λεγομένων ἀκολουθίαν. εἶτα λοιπὸν δεῖ εἰπεῖν καὶ περὶ τοῦ μεγάλου ἄλφα καὶ περὶ τοῦ μικροῦ ἄλφα. εἰδέναι τοίνυν χρὴ ὅτι δεκατέσσαρα βιβλία ἔγραψεν ὁ Ἀριςοτέλης ἐν τῇ παρούσῃ πραγματείᾳ· μέχρι γὰρ τοῦ ν ςοιχείου ἔγραψε καὶ αὐτοῦ. τινὲς δὲ εἰρήκα-
30 σιν ὅτι δεκατρία· τὸ γὰρ μεῖζον ἄλφα, περὶ οὗ νῦν πρώτως διαλέγεται, οὐ φασιν εἶναι αὐτοῦ, ἀλλὰ Πασικλέους τοῦ υἱοῦ Βοήθου τοῦ ἀδελφοῦ Εὐδήμου τοῦ ἑταίρου αὐτοῦ. οὐκ ἔςι δὲ ἀληθές· σώζεται γὰρ ἡ τοῦ Ἀριςοτέλους δεινότης καὶ ἐκ τῆς λέξεως καὶ ἐκ τῆς θεωρίας, καὶ πολὺ πλέον ὅτι μέμνηται αὐτοῦ ἐν τῷ ἐλάττονι ἄλφα. ἐν γοῦν

τῷ μείζονι ἄλφα διαλέγεται περὶ τῆς ἐννοίας τῆς φιλοσοφίας, καὶ δείκνυσιν ὅτι οὐκ εἰσὶ τὰ ὑλικὰ αἴτια κυρίως ἀρχαί, ὥσπερ καὶ Πλάτων φησίν· διὸ καὶ ἀποδέχεται τὸν Ἀναξαγόραν· τῶν γὰρ ἄλλων, φησί, καθευδόντων ὥσπερ ἀπὸ κάρου ἀναστὰς Ἀναξαγόρας μόνος ἐπέστησε νοῦν βασιλεύειν τοῦ παντός. ὅτε δὲ τὰς ἰδέας φησὶν εἶναι τὰς πρώτας ἀρχάς, καθώς τινες ἐκλαμβάνουσιν, ἀλλὰ τοὺς λόγους. ἐν δὲ τῷ ἐλάττονι ἄλφα διαλέγεται περὶ τῶν φανοτάτων, τουτέστι τῶν πρώτων αἰτίων, ἅτινα φανότατα ὑπάρχει τῇ ἑαυτῶν φύσει, ἀλλ' ἡμεῖς διὰ τὴν πολλὴν ἀαθένειαν οὐ δυνάμεθα προσβάλλειν αὐτοῖς, ὥσπερ καὶ τὸν ἥλιον φανότατον ὑπάρχοντα οὐ φέρουσιν αἱ νυκτερίδες διὰ τὸ ἀαθενὲς τῆς φύσεως.

ἐπειδὴ τοίνυν περὶ τῆς ἐννοίας τῆς φιλοσοφίας εἰρήκαμεν, ἄξιον μαθεῖν πόθεν ἦλθεν εἰς ἔννοιαν τῆς φιλοσοφίας ὁ Ἀριστοτέλης. ἵνα οὖν τοῦτο γνῶμεν, δεῖ ἡμᾶς εἰπεῖν ὅτως, ὅτι ἔχουσι τὰ ζῷα τὰς γνωστικὰς δυνάμεις (αἱ γὰρ αἰαθητικαὶ δυνάμεις γνωστικαὶ ὑπάρχουσι· καὶ τούτων τῶν ἐχόντων μνήμην καὶ αἴαθησιν τὰ μὲν ὑπάρχουσι μαθηματικὰ τὰ δὲ φρόνιμα. καὶ μαθηματικὰ μὲν λέγει τὰ αἰαθανόμενα τῶν ψόφων καὶ γινώσκοντα ποῖαι μὲν φωναὶ ἀπειλητικὰ ὑπάρχουσι ποῖαι δ' οὔ· τοιαῦτα δὲ ὑπάρχει κύων, ἵππος, οἱ ὄνοι τῶν Ἀλέξανδρέων, ὥς φησιν ὁ φιλόσοφος, καὶ τὰ ἄλλα τὰ τοιαῦτα· ψιττακὸς δὲ αἰαθάνεται καὶ μανθάνει. φρόνιμα δὲ ὑπάρχει οἷον τὰ περὶ τὰς πράξεις τὰς βιωτικὰς εὐπερίστροφα, χελιδὼν μέλιττα μύρμηξ. πάλιν τὰ ἔχοντα μνήμην ζῷα πάντως καὶ αἴαθησιν ἔχουσιν, οὐ πάντα δὲ τὰ ἔχοντα αἴαθησιν πάντως καὶ μνήμην ἔχουσι. καὶ ὅτι ἡ αἴαθησις δεῖται τῶν ἔξωθεν πρὸς τὸ ἐνεργεῖν, ἡ δὲ μνήμη οὐ δεῖται τῶν ἐκτὸς πρὸς τὸ ἐνεργεῖν. καὶ ὅτι ἡ πεῖρα μερικωτέρα ἐστὶ τῆς μνήμης· ἀπὸ γὰρ τῆς πείρας λαμβάνομεν καὶ ὕστερον μνημονεύομεν. καὶ ὅτι ἡ ἐμπειρία καθολικωτέρα ὑπάρχει τῆς μνήμης. διό φησιν ὁ Πλάτων "ἐμπειρία μὲν γὰρ ποιεῖ τὸν αἰῶνα ἡμῶν πορεύεσθαι κατὰ τέχνην, ἀπειρία δὲ κατὰ τύχην." πολλαὶ γὰρ πεῖραι ὑπάρχει ἡ ἐμπειρία καὶ μνῆμαι, δύναται δὲ ὁ πειραθεὶς πολλάκις ἀναδραμεῖν ἐπὶ τὸ καθόλου. καὶ ἡ μὲν μνήμη θεωρεῖται καὶ ἐπὶ τῶν οὐσιῶν καὶ ἐπὶ τῶν πράξεων· λέγομεν γὰρ ὅτι ἔχω μνήμην τοῦ πατρὸς ἢ τοῦδε τοῦ φίλου, καὶ ὅτι μέμνημαι πράξας τόδε.

ἡ μέντοι γε πεῖρα ἐπὶ μόνης τῆς πράξεως λέγεται· ὅτε γὰρ ἐπὶ τῶν ὑσιῶν· ὑδεὶς γὰρ λέγει ὅτι πεῖραν ἔχω τοῦ πατρός, πεῖραν δὲ ἔχω τοῦ πράγματος· ὁ γὰρ τῆς ὑσίας ἀλλὰ τῆς πράξεως τῆς γενομένης ἐκ τῆς ὑσίας. ἡ δὲ τέχνη κρείττων ἐστὶ τῆς ἐμπειρίας· ἔχει γὰρ
5 καὶ τὸ διότι. διό φησιν ὁ θεσπέσιος Πλάτων "τέχνην γὰρ ὁ καλῶ ὃ ἂν ᾖ ἄλογον πρᾶγμα."

"πάντες ἄνθρωποι τοῦ εἰδέναι ὀρέγονται." ἐπειδὴ ἡ γνῶσις p. 3 v. 1.
τελειότης ἐστὶ τῆς ψυχῆς, καθόλου μὲν τῆς ἁπλῶς γιγνωσκούσης, μᾶλλον δὲ τῆς λογικῆς, καὶ ταύτης ἔτι μᾶλλον ἧς θεωρία τὸ τέλος,
10 πᾶσα δὲ τελειότης ἑκάστου τὸ ἑκάστου ἀγαθόν ἐστιν, ἐν δὲ τῷ ἀγαθῷ ἕκαστον ἔχει τὸ εἰδέναι τε καὶ σώζεσθαι, διὰ τοῦτο καθόλου ἐπήγαγεν ὅτι πάντες ἄνθρωποι τοῦ εἰδέναι ὀρέγονται φύσει, τουτέστιν αὐτοφυῶς ἐρῶσι τῆς γνώσεως ὡς ταύτης τελειότητος οὔσης αὐτῶν. σημεῖον δὲ τούτου παρέθετο ἐναργέστατον τὴν πρὸς τὰς αἰσθήσεις φιλίαν·
15 χαίρομεν γὰρ ταῖς αἰσθήσεσιν, ἐπειδὴ δι' αὐτῶν τὴν τῶν αἰσθητῶν πραγμάτων λαμβάνομεν γνῶσιν. ἀλλὰ καὶ χωρὶς τούτου αὐτὰς δι' ἑαυτὰς ἀγαπῶμεν τὰς αἰσθήσεις, καὶ μάλιστα πλέον τῶν ἄλλων τὴν ὁρατικὴν αἴσθησιν· καὶ γὰρ χωρὶς τοῦ πράττειν καὶ ἐνεργεῖν τὸ ὁρᾶν αἱρούμεθα ἀντὶ πάντων ὡς εἰπεῖν τῶν ἄλλων. αὕτη οὖν ἡ ὁρατικὴ
20 μάλιστα τῶν ἄλλων αἰσθήσεων ποιεῖ ἡμᾶς γνωρίζειν οὐ μόνον ἀλλήλους ἀλλὰ καὶ τὰ θεῖα καὶ οὐράνια σώματα. καὶ γὰρ ὥς φησι Πλάτων, διὰ ταύτης τῆς αἰσθήσεως τὸ τῆς φιλοσοφίας ἐπορισάμεθα γένος· ἀτενίζοντες γὰρ εἰς τὸν οὐρανὸν καὶ θεωροῦντες τὴν τάξιν καὶ τὸ ἄφραστον κάλλος, ἐρχόμεθα εἰς ἔννοιαν τοῦ δημιουργήσαντος. ἀλλὰ
25 καὶ οὐδὲ δι' ἄλλης αἰσθήσεως οὕτω συμπάσχομεν τοῖς πράγμασιν ὥσπερ διὰ ταύτης· διὸ καί φησιν ὅτι πολλὰς δηλοῖ διαφορὰς αὕτη τῶν αἰσθητῶν. πολλαὶ γὰρ αἱ τῶν χρωμάτων διαφοραὶ μεταξὺ τῶν ἄκρων λευκοῦ καὶ μέλανος τυγχάνουσιν, οἷον φαιόν, ξανθόν, πυρρόν, ἐρυθρόν, ὠχρόν· μεταξὺ δὲ θερμοῦ καὶ ψυχροῦ ἢ ξηροῦ
30 καὶ ὑγροῦ οὐδέν ἐστι πλῆθος τοιούτων διαφορῶν. ἐκ τούτου δείκνυται ὅτι τιμιωτέρα ἐστὶ γνῶσις πράξεως. ἔτι δὲ ἐναργὲς ἐκ τοῦ πᾶσαν μὴ πρᾶξιν ἐπ' ἄλλο τι τέλος τὴν ἀναφορὰν ἔχειν· καὶ γὰρ αἱ κατὰ τὰς ἀρετὰς πράξεις, αἱ μάλιστα δοκοῦσαι τῶν πράξεων δι' ἑαυτὰς εἶναι αἱρεταί, ἐπ' ἄλλο τι τὴν ἀναφορὰν ἔχουσαι φαίνονται· ἐν οἷς γὰρ

τῶν ζῴων οὐκ ἔστι πάθη, ὥσπερ ἐν τοῖς θεοῖς, οὐδὲ τῶν κατὰ τὰς ἀρετὰς πράξεων οὗτοι δέονται. cod. Laur.

3 11. λέγει δὲ τῶν μὴ μόνην αἴσθησιν ἐχόντων τελειότερα εἶναι τὰ πρὸς τῷ αἰσθάνεσθαι καὶ μνημονεύειν ὧν αἰσθάνονται δυνάμενα, ἃ καὶ φρονιμώτερα καὶ μαθητικώτερα εἶναι εἶπε τῶν μὴ δυναμένων μνημονεύειν, καινότερον χρησάμενος τῷ φρονιμώτερα. κυρίως μὲν οὖν ἡ φρόνησις περὶ τὰ βουλευτὰ καὶ ἐν τῷ βουλεύεσθαι, καὶ λέγεται ἕξις βουλευτική. λέγεται δὲ καθ' ἕτερον φρόνησις καὶ αὐτὴ ἡ λογικὴ δύναμις. παρὰ δὲ τὰ σημαινόμενα ταῦτα λέγεται φρόνησις καὶ ἡ κατὰ τὰς φαντασίας ἀκρίβεια καὶ διάρθρωσις, καὶ ἡ περὶ τὰ πρακτὰ φυσικὴ εὐστροφία, ἥτις ἐν τοῖς μνημονεύειν δυναμένοις γίγνεται. ἔστι δὲ μνήμη ἕξις φαντάσματος ὡς εἰκόνος οὗ ἐστὶ φαντασία· οὐ γὰρ ἱκανὸς πρὸς μνήμην ὁ τύπος ὁ κατὰ τὴν φαντασίαν, ἀλλὰ δεῖ τὴν περὶ αὐτὸν ἐνέργειαν καὶ περὶ εἰκόνα γίγνεσθαι, τοιοῦτον ὡς ἀπ' ἄλλου γεγονότος, ὡς ἐν τοῖς περὶ Μνήμης (c. 1 p. 450 *b* 25) δέδεικται. πῶς δὲ εἶπε φρονιμώτερα, ἐξηγήσατο προσθεὶς τὸ μαθητικώτερα. Alexander.

μαθητικώτερα δὲ τὰ καὶ μὴ παρόντων ἔτι τῶν αἰσθητῶν φυλάττειν δυνάμενα τὴν κίνησιν τὴν ἀπ' αὐτῶν. δοκεῖ δὲ ἀντιστρέφειν ἥ τε φαντασία καὶ ἡ αἴσθησις· ἐν οἷς γὰρ τὸ ἕτερον τούτων, καὶ τὸ ἕτερον, ὡς ἐν τῷ τρίτῳ περὶ Ψυχῆς (c. 2) εἶπεν. id.

"φύσει — τὰ ζῷα." ἐντεῦθεν ἀπὸ τῶν αἰσθήσεων ἀνέρχεται μέχρι τοῦ θεωρητικοῦ νοῦ· διὰ γὰρ τούτου τοὺς ὅρους γιγνώσκομεν, ὥστε θεῖον λέγει εἶναι τὸν θεωρητικὸν νοῦν, εἴγε ἁπλαῖς ἐπιβολαῖς δι' αὐτοῦ τὰ θεῖα λαμβάνομεν. ὁ δὲ θεωρητικὸς τοῦ πρακτικοῦ, ὥς φησιν ἐν τῇ περὶ Ψυχῆς πραγματείᾳ (3 9. 10), τῷ τέλει καὶ μόνῳ διαφέρει· τοῦ μὲν γὰρ θεωρητικοῦ τέλος ἡ γνῶσις τῶν ὄντων καὶ ἡ τοῦ θείου καταλήψις, τοῦ δὲ πρακτικοῦ τὸ ἀγαθόν. Asclepius.

φησὶν οὖν ὅτι ἡ αἴσθησις κοινόν ἐστι πάντων τῶν ζῴων, καὶ ἐν τούτῳ τὰ ζῷα τὸ εἶναι ἔχει. πάντα οὖν αἰσθάνεται τὰ ζῷα. καὶ ἀντιστρέφει· εἴ τι οὖν αἰσθάνεται, τοῦτο ζῷον, καὶ εἴ τι ζῷον, τοῦτο αἰσθάνεται ἤτοι αἴσθησιν ἔχει. τῶν οὖν αἴσθησιν ἐχόντων τὰ μὲν οὐ φανταζεται, ἢ ἀμυδρῶς καὶ οὐ διηρθρωμένως, οἷον σκώληκες· τὰ δὲ φανταζεται διηρθρωμένως τε καὶ ὡρισμένως, ὥστε κρίνειν χῆμα

καὶ τόπον, οἷον μέλιττα, μύρμηξ, τὰ δὲ πρὸς τούτοις καὶ κίνησιν καὶ σφοδρότητα ψόφων καὶ ἄνεσιν. καὶ ταύτας μὲν τὰς διαφορὰς τῆς αἰσθήσεως καὶ ἡ τῶν ἀλόγων ζῴων ἔχει φύσις, ἄνθρωπος δὲ πρὸς τούτοις καὶ χρόνου μνήμην. ὅσα μὲν οὖν τῶν ζῴων φανταζεται διηρθρω-
5 μένως, μὴ μέντοι καὶ κίνησιν καὶ σφοδρότητα ἢ ἄνεσιν ψόφου, περιποιητικὰ τοῦ ἑαυτῶν βίου καὶ εὔτροφα ὄντα, ταῦτα φρόνιμά ἐστιν, οἷον μύρμηξ καὶ μέλιττα· ὅσα δὲ καὶ ταύτην τὴν αἴσθησιν ἔχει ὥστε φανταζεσθαι καὶ κίνησιν καὶ σφοδρότητα καὶ ἄνεσιν ψόφου, ταῦτα δὴ καὶ μαθητικώτερα τῶν ζῴων ἐστίν· ὡς εἶναι τὰ μὲν μαθηματικὰ
10 καὶ φρόνιμα, οὐ μὴν τὰ φρόνιμα καὶ μαθηματικά. ἄνθρωπος δὲ πρὸς τούτοις καὶ κρεῖττόν τι, τὴν τέχνην, ἔχει· ἡ γὰρ τέχνη τῶν καθόλου, ἄνθρωπος δὲ μόνον τῶν ζῴων, οὐδὲν δὲ ἄλλο, τὸ καθόλου οἶδε. καὶ ταύτην οὖν τὴν αἴσθησιν εἶπε τὴν δυναμένην ψόφων κρίνειν διαφορὰς φαντασίαν· αἴσθησιν γὰρ τὴν φαντασίαν εἶπε. λέ-
15 γεται οὖν καὶ ἡ κατὰ τὴν φαντασίαν ἀκρίβεια καὶ διάρθρωσις καὶ ἡ περὶ τὰ πρακτὰ φυσικὴ εὐτροφία, ἥτις ἐν τοῖς μνημονεύειν δυναμένοις γίνεται, φρόνησις· κοινότερον ταύτην φρόνησιν καλέσας· κυρίως γὰρ φρόνησίς ἐστιν ἡ περὶ τὰ βουλευτὰ ἕξις βουλευτική. λέγεται δὲ καθ' ἕτερον τρόπον φρόνησις καὶ αὐτὴ ἡ λογικὴ δύναμις τῆς
20 ψυχῆς. cod. Laur.

μικρὸν λέγει ἢ οὔτε ὀλίγον, ὡς τὸ "ἢ ὀλίγον οἱ παῖδα 3 13.
ἐοικότα γείνατο Τυδεύς" (Il. 5 800) ἀντὶ τοῦ οὐδ' ὀλίγον, ἢ μικρόν φησιν ὀλίγον· ἔχουσι γὰρ τὰ ἄλλα ζῶα ὀλίγον ἐμπειρίας ἴχνος. Asclep.

25 τὸ μικρόν ἢ ἀντὶ τοῦ μηδὲν εἶπεν, ἢ ἐπ' ὀλίγον τούτων τῶν ζῴων τισὶν ἐπιγιγνομένης ἐμπειρίας, ἀνάλογον εἰπὼν μετέχειν ἐμπειρίας καθάπερ καὶ φρονήσεως. cod. Laur.

αἱ γὰρ πολλαὶ ἐμπειρίαι ποιοῦσι τὴν τέχνην, ὥς φησι Πῶλος ὁ 4 2.
παρὰ τῷ Πλάτωνι (Gorg. p. 448 c) "ἐμπειρία γὰρ ποιεῖ τὸν αἰῶνα
30 ἡμῶν πορευόμενος κατὰ τέχνην, ἀπειρία δὲ κατὰ τύχην." Asclep.

πράξεις δὲ καὶ γενέσεις εἴρηκε τὰς περὶ τὰ καθ' ἕκαστα ἐνερ- 4 15.
γείας, ταὐτὸν ἐκ παραλλήλου εἰπὼν πρᾶξιν καὶ γένεσιν· ἡ πρᾶξιν μὲν ἐφ' ὧν ἐνέργεια τὸ τέλος, ὡς ἐπὶ αὐλητικῆς, γένεσιν δὲ ἐφ' ὧν ἕτερόν τι τὸ τέλος τῆς ἐνεργείας, ὡς ἐπὶ οἰκίας· ἕτερον γὰρ οἰκία

4 23. οἰκοδομήσεως, ἡ μὲν τέλος ὖσα ἡ δὲ ἐνέργεια. "τὸ δὲ εἰδέναι καὶ τὸ ἐπαΐειν" (v. 24). ἢ καὶ τοῦτο ἐκ παραλλήλου εἴρηται, ταὐτὸν σημαίνοντα, τὴν ὑπὲρ τὴν αἴσθησιν γνῶσιν· ἢ τὸ μὲν εἰδέναι τὴν ἐξ εὑρέσεως εἴδησιν, τὸ ἐπαΐειν δὲ τὴν ἐκ μαθήσεως, ὡς ἐξ ἀκοῆς γενομένην. cod. Laur. 5

5 12. διὸ καὶ ἔλεγεν ὁ Σωκράτης ἐν τῷ Ἀλκιβιάδῃ (1 p. 118) ὅτι οὐκ ἔστιν ἐπιστήμων ὁ Περικλῆς· οὔτε γὰρ δύναται διδάσκειν· οὐδένα γὰρ ἐποίησε καλόν, οὔτε τοὺς παῖδας οὔτε ἄλλον τινά. Asclep.

5 17. κατὰ κοινοῦ δεῖ ἀκούειν τὸ εἰκός· φησὶν οὖν ὅτι τὸ πρῶτον μετὰ τὸν κατακλυσμόν. id. 10

5 23. τὰς δὲ τῶν ἡδέων ποριστικὰς τέχνας καὶ αὐτὰς τοῖς χρειώδεσιν ἐγκατατάττει· ὡς γὰρ δεόμενοι καὶ χρείαν ἔχοντες ἡδονῶν τε καὶ ἀναπαύσεως τὰ ποιητικὰ αὐτῶν ἐζήτουν. ἔστι δὲ καὶ τῶν τοιούτων τεχνῶν πρᾶξίς τις τὸ τέλος· αἱ γὰρ ἀπὸ θεωρίας ἡδοναὶ οὐ τέλος τὴν ἡδονὴν ποιοῦνται, ἀλλ' ἔχουσιν αὐτὴν παρεπομένην. ὅτι δὲ 15 καὶ αἱ μαθητικαὶ ἐπιστῆμαι ἐξ ἐμπειρίας ἤρξαντο, ἐνεδείξατο διὰ τῶν ἱερέων τῶν ἐν Αἰγύπτῳ, οἳ τῷ σχολάζειν διὰ τῶν τηρήσεων τῶν κατ' οὐρανὸν γιγνομένων ἐμπειρίαν πρῶτον ἔσχον, εἶτα τέχνην συνεστήσαντο. οὕτως δὲ καὶ ἡ γεωμετρία κατὰ τὴν ἀρχὴν εὑρέθη ἀπὸ τῆς γεωδαισίας. ὥσπερ δὲ ἡ εὕρεσις τῶν τοιούτων ὑπὸ τῶν σχο- 20 λαζόντων, οὕτω καὶ ἡ περὶ αὐτὰ ἐνέργεια σχολῆς δεῖται. Alex.

6 1. "εἴρηται μὲν οὖν ἐν τοῖς Ἠθικοῖς τίς διαφορὰ τέχνης καὶ ἐπιστήμης." τῷ τῆς τέχνης ὀνόματι χρησάμενος καὶ κατὰ τῆς ἐπιστήμης, περὶ τῆς διαφορᾶς αὐτῶν ἀνέπεμψεν ἡμᾶς εἰς τὰ Ἠθικά· ἐν γὰρ τῷ Z (c. 3) τῶν Νικομαχείων ἡ τούτων διαίρεσις αὐτῷ παραδέδοται, ἐν 25 οἷς λέγει πέντε εἶναι οἷς ἀληθεύει ἡ ψυχὴ τὴν ἐν λόγῳ καὶ συνέσει ἀλήθειαν, ἐπεὶ καὶ τῷ αἰσθάνεσθαι ἀληθεύειν λέγεται, τέχνην φρόνησιν ἐπιστήμην σοφίαν νοῦν. καὶ τέχνην μέν φησιν εἶναι ἕξιν μετ' ἀληθοῦς λόγου ποιητικήν, ἐπιστήμην δὲ ἕξιν ἀποδεικτικήν, ἀποδεικτικὴν δὲ τὴν ἐκ προτέρων καὶ ἀμέσων καὶ γνωριμοτέρων τοῦ συμ- 30 περάσματος συλλογιστικήν, ἢ ὑπόληψιν περὶ τῶν καθόλου καὶ ἐξ ἀνάγκης ὄντων, ἢ γνῶσιν τῆς αἰτίας δι' ἣν τὸ πρᾶγμα ἔστιν, ὅτι ἐκείνου ἔστι, καὶ ὅτι οὐκ ἐνδέχεται αὐτὸ ἄλλως ἔχειν· φρόνησιν δὲ ἕξιν μετ' ἀληθοῦς λόγου πρακτικὴν περὶ τὰ ἀνθρώπῳ ἀγαθὰ ἢ καὶ κακά,

περὶ ὧν ἐςὶ καὶ τὸ βουλεύεσθαι, ἢ ἀρετὴν τοῦ δοξαςικοῦ μέρους τῆς ψυχῆς· νῦν δὲ δύναμιν ψυχῆς ἢ τὰς τῶν ἀποδεικτικῶν ἀρχὰς τὰς ἀναποδείκτους γνωρίζομεν· σοφίαν δὲ νῦν καὶ ἐπιςήμην τῶν τιμιωτάτων τῇ φύσει. ἀναπέμψας δὲ εἰς ἐκεῖνα περὶ τῆς διαφο-
5 ρᾶς ἡμᾶς τῆς τέχνης καὶ τῆς ἐπιςήμης (ἡ μὲν γὰρ αὐτῶν ἐν ποιήσει τε καὶ πράξει, ἡ δ' ἐπιςήμη ἐν γνώσει), οὗ χάριν τούτων μνημονεύει, τούτου ἕνεκα· τοῦ γὰρ λαβεῖν τε καὶ δεῖξαι ὅτι τὴν κυριώτατά τε καὶ μάλιςα ἐπιςήμην, ἣν καὶ ἁπλῶς σοφίαν καλοῦμεν, περὶ τὰ πρῶτα αἴτια καὶ τὰς πρώτας ἀρχὰς πάντες ὑπολαμβάνουσιν εἶναι.
10 τούτου χάριν τῆς ἐμπειρίας τὴν τέχνην ἔδειξε τῇ τῆς αἰτίας γνώσει διαφέρουσαν, καὶ ὅτι τιμιώτεραι αἱ περὶ τὴν τῆς αἰτίας τῶν ὑπ' αὐτῶν μεταχειριζομένων γνῶσιν καταγιγνόμεναι. Alex.

ἐπεὶ οὖν ἡ σοφία τῶν ἀρχῶν καὶ αἰτίων γνῶσίς ἐςι καὶ τὴν 65.
κοινὴν περὶ αὐτῆς ἔννοιαν, τὰ δ' αἴτια πολλαχῶς, εἰκότως πρῶ-
15 τον ζητεῖ ποίων αἰτίων καὶ τίνων ἀρχῶν γνῶσίς ἐςιν ἡ σοφία περὶ ἧς πρόκειται λέγειν ἡμῖν. φθάνει μὲν οὖν εἰρηκέναι ὅτι τὴν ὀνομαζομένην σοφίαν περὶ τὰ πρῶτα αἴτια καὶ τὰς ἀρχὰς ὑπολαμβάνουσι πάντες· ἐπεὶ δὲ τίνες αἱ πρῶται ἀρχαὶ καὶ τὰ πρῶτα αἴτια εὔδηλον, λαβὼν τὸ περὶ ἀρχὰς καὶ αἰτίας τὴν σοφίαν εἶναι ὡς
20 ὁμολογούμενον, τὸ περὶ ποίας ζητήσει, καὶ ὅτι περὶ τὰς πρώτας δείξει. ἢ οὐδὲ ἐκεῖ ἔλαβεν αὐτὸ ὡς ἤδη ὁμολογούμενον, ἀλλ' ὡς ὀφεῖλον δειχθῆναι· διὸ ἀναγκαίως καὶ τῆς τῶν αἰτίων διαιρέσεως μνημονεύει, ὅτι τετραχῶς τὰ αἴτια λέγεται. καὶ τὴν ἱςορίαν τὴν πρὸ αὐτοῦ τι περὶ αἰτιῶν εἰρηκότων παρατίθεται εὐλόγως, ὡς εἰ μὲ-
25 ὀρθῶς εὑρεθῇ τι τῶν εἰρημένων ὑπ' ἐκείνων, ἀκολουθοίημεν αὐτῷ, εἰ δὲ μή, πλέον τι ζητοίημεν αὐτοί. χρὴ οὖν ἐκ τῆσδε τῆς πραγματείας ἀπαιτεῖν τὴν γνῶσιν τῶν πρώτων ἀρχῶν καὶ αἰτίων· αὗται δ' ἂν εἶεν τοῦ ὄντος οἷον ἀρχαί, δι' ἃς τῶν ὄντων ἕκαςόν ἐςιν ὧν τὸ εἶναι κατηγοροῦμεν· τοιαῦται δὲ αἱ πρῶται καὶ κυριώταται οὐσίαι·
30 αὗται μὲν γὰρ τῶν οὐσιῶν ἀρχαί, αἱ δὲ οὐσίαι τῶν ἄλλων ἁπάντων, ὡς δείξει. τήν τε οὖν τούτων γνῶσιν ἀπαιτεῖν χρὴ ἐκ τῆσδε τῆς πραγματείας, καὶ ἔτι ὅσα εἰς τὴν τούτων γνῶσιν συντελεῖ, εἰς ἃ καὶ ὁ πλεῖςος αὐτῷ λόγος ἀναλίσκεται· οὐ γὰρ οἷόν τε ἦν ἐκείνων γνῶσιν

ἄλλως λαβεῖν, μὴ προκαταςήσαντα καὶ προεκκαθάραντα τὰ ἐμποδών. id.

6.26. ἀρχικωτέραν λέγει σοφίαν ἀντὶ τοῦ ἀρχικωτάτην, τὴν πάντων τῶν ἐπιςημῶν γινώσκουσαν τὰς ἀρχάς, τῶν κθ' μέρος δηλαδή. καὶ αὐτῶν δὴ τῶν κθ' μέρος ἐπιςημῶν ἄλλη ἄλλης ἀρχικωτέρα ἐςίν. cod. Laur. 5

6 31. "τούτων δὲ τὸ μ' ἐπίςαται τῷ μάλιςα ἔχοντι τὴν κθ' πάντων ἐπιςήμην·" ἐλλείπει τῷ ἐπίςαται τὸ τὰ πάντα· τὸ γὰρ πάντα ἐπίςαται τῷ μάλιςα ἔχοντι τὴν καθόλου ἐπιςήμην ὑπάρχει· τοῦτο γὰρ ἦν τὸ κείμενον. μάλιςα δὲ καθόλου ἐςὶν ἐπιςήμη ἡ περὶ τῶν ὄντων ᾗ ὄντα· κοινὸν γὰρ τὸ ὂν πᾶσι τοῖς οὖσιν ἐν ὑπάρξει. Alex. 10

7 3. τὰ γὰρ τῶν ὄντων ἁπλούςατά τε καὶ πρῶτα πορρωτάτω τῶν αἰσθήσεων. τὸ δὲ "τοῖς ἀνθρώποις" προσέθηκε πρὸς ἀντιδιαςολὴν τῆς φύσεως· τῇ φύσει γὰρ ἐκεῖνα τῶν αἰσθητῶν γνωριμώτερα. ἀλλὰ καὶ ἀκριβεςάτη τῶν ἐπιςημῶν ἡ τῶν μάλιςα πρώτων γνῶ- 15

7 6. σις· καὶ γὰρ τῶν ἄλλων ἐπιςημῶν ἀκριβέςεραι αἱ ἐκ τῶν πρώτων εἰσίν, εἴγε αἱ ἐξ ἐλαττόνων ἀκριβέςεραι· ἐξ ἐλαττόνων δὲ αἱ ἐγγυτέρω τῶν ἀρχῶν, ὡς ἐν τοῖς Ὑςέροις Ἀναλυτικοῖς (1 27) εἴρηται. id.

7 5. "ἀκριβέςαταί τε τῶν ἐπις.". . οἷον ἀκριβεςέρα γεωμετρία ὀπτικῆς, γεωμετρίας δὲ ἀριθμητική. αἱ πρῶται γὰρ οἰκείαις ἀρχαῖς χρῶνται μόνον, αἱ δὲ ὑπ' αὐτὰς καὶ ταῖς αὐτῶν καὶ ταῖς πρὸ αὐτῶν, οἷον ἀριθμητικὴ μ' ἀριθμοῖς μόνον, γεωμετρία δὲ καὶ ἀριθμοῖς καὶ μεγέθεσι. καὶ ἡ μ' ἀριθμητικὴ ἀθέτας χρῆται τοῖς ἀριθμοῖς καὶ τῇ μονάδι, ἡ δὲ γεωμετρία τῷ σημείῳ καὶ τῇ γραμμῇ θέσιν ἔχουσιν. cod. Laur. 20 25

7 26. τὴν αὐτὴν δὲ ἔθος αὐτῷ καλεῖν σοφίαν τε καὶ πρώτην φιλοσοφίαν. ἡ γὰρ τελειοτάτη φιλοσοφία ἡ ἀρξαμένη ἀπὸ τοῦ θαυμάζειν ἐπὶ τὸ ζητεῖν προελήλυθεν· ἔπειτα εὑροῦσα τὰ ζητούμενα οὕτως ἔχει περὶ αὐτὰ ὡς θαυμάζειν εἰ ἐνδέχεται αὐτὰ ἄλλως ἔχειν, ὡς προελθὼν ἐρεῖ. λέγει δὲ ὅτι τὴν μ' ἀρχὴν ἦλθον ἐπὶ τὸ ζητεῖν τε καὶ φιλοσοφεῖν τὰ πρόχειρά τε καὶ ἐν ποσὶ διὰ τὴν φαινομένην ἀτοπίαν θαυμάσαντες, οἷον, εἰ οὕτως τύχοι, διὰ τί τὸ ἤλεκτρον ἕλκει τὰ ἀχυρώδη, ἡ ἡρακλεία λίθος τὸν σίδηρον, ἢ τίς 30

ἐςιν ἡ Ἶρις, ἢ ὅλως τὴν τῶν νεφῶν σύςασιν, τὰς βροντάς, πόθεν, ἢ περὶ τῶν ἀςραπῶν, πῶς γίνονται. εἶτα κατ' ὀλίγον προϊόντες ἦλθον καὶ ἐπὶ τὰ περὶ τῶν μειζόνων διαπορεῖν τε καὶ θαυμάζειν καὶ φιλοσοφεῖν. καὶ διὰ τοῦτο παρέθετο τὰ "τινων." σελήνης δὲ παθή-
5 ματα εἶπε τάς τε ἐκλείψεις αὐτῆς καὶ τὰς αὐξήσεις καὶ τὰς μειώσεις, ὁμοίως δὲ καὶ ἡλίου τάς τε ἐκλείψεις καὶ τὰς ἀνατολάς τε καὶ δύσεις. Alex.

ἀκολούθως λέγων τοῖς ἐν τοῖς Νικομαχείοις (10 7) εἰρημέ- 8 19.
νοις αὐτῷ, ἔνθα λέγει "οὐ γὰρ χρὴ κατὰ τοὺς παραινοῦντας ἀνθρώπινα
10 φρονεῖν ἄνθρωπον ὄντα καὶ θνητὰ θνητόν." id.

πανταχῇ γὰρ ἡ φύσις δούλη τῶν ἀνθρώπων, οὐχ ὅτι ἡ 8 17.
φύσις δουλεύει τοῖς ἀνθρώποις, ἀλλ' ὅτι οἱ ἄνθρωποι δουλεύουσι διὰ τὰς περιεχούσας αὐτοὺς σωματικὰς ἀνάγκας, ἄρχουσι δουλεύοντες καὶ ἄλλοις μείζοσι διὰ τὰ τραφῆναι ἢ δι' ἄλλο τοιοῦτο. ὥςε κα-
15 λῶς ἔλεγεν ὁ Σιμωνίδης ὅτι τοῦτο τὰ γέρας ὁ θεὸς μόνος ἔχει τὴν ἄκραν ἐπιςήμην τὴν καθ' αὐτήν, τὴν σύμμετρον αὐτῷ· ὥςε εἰ δυνατὰν κἂν τὰ καθόλου μόνον γιγνώσκειν, οὐκέτι δὲ δυνατὰν αὐτοὺς ἐπεκτείνεται καὶ ἐπὶ τὴν ἀπειρίαν τῶν καθ' ἕκαςα. "εἰ δὲ λέγουσιν οἱ ποιηταί." φησὶν ὅτι οἱ ποιηταί φασιν ὅτι φθονερόν ἐςι τὰ
20 θεῖον, καὶ Ἡρόδοτος "φθονερὸν ἐὸν τὰ θεῖον." εἰ τοίνυν φθονερὸν τὰ θεῖον, δυςυχεῖς ὑπάρχουσιν οἱ περιττοί, τυτέςιν οἱ σοφοί, πλέον τι ἔχοντες τῶν ἄλλων, ὥς φησιν ἐκεῖνος "πρὸς γὰρ τὰν ἔχονθ' ὁ φθόνος ἕρπει." Asclep.

"ἀλλ' — εἶναι." φθόνος γάρ, ὥς φησιν ὁ θεῖος Πλάτων, 8 23.
25 ἔξω θείου χοροῦ. ὁ δὲ θεὸς ἀρχὴ πρώτη καὶ αἰτία τῶν ἄλλων. διὰ 8 29.
τούτων δὲ ἔδειξεν ὅτι καὶ εὐλόγως ἥδε ἡ πραγματεία θεολογικὴ καλεῖται. Alex.

ἑξῆς δὲ λέγει τὴν μέθοδον τῆς κτήσεως αὐτῆς· τὰ γὰρ τάναν- 9 3.
τία θαυμάζειν ὧν τὴν ἀρχὴν θαυμάζοντες ἦλθον ἐπὶ τὴν γνῶσιν
30 αὐτῶν. πρὸ μὲν γὰρ τοῦ εἰδέναι ἐθαύμαζον εἰ δύναται οὕτως ἔχειν, γνόντες δὲ θαυμάζουσιν εἰ δύναται μὴ ἔχειν οὕτως. θαύματα δὲ εἶπε τὰ ὑπὸ τῶν θαυματοποιῶν δεικνύμενα παίγνια, ἃ ἐξ αὐτῶν δοκεῖ καὶ αὐτομάτως κινεῖται· ἡλίου δὲ τροπάς, καθ' ἃς χειμὼν καὶ θέρος. Alex.

99. λέγει δὲ ἐπὶ τῆς διαμέτρου· ὡς ὄντος δὲ καὶ ἐν γραμμαῖς ἐλαχίστου τινὸς ὥσπερ καὶ ἐν τοῖς ἀριθμοῖς, θαυμαστὸν φαίνεται τὸ μὴ ἐλαχίστῳ αὐτὰς μετρεῖσθαι πάσας καὶ εἶναι συμμέτρους ἀλλήλαις, ἐχούσας κοινόν τι μέτρον. τὸ δὲ οὐχ οὕτως ἔχει, διότι οἱ μὲν ἀριθμοὶ πάντες μονάδι μετροῦνται, οὐ πᾶσαι δὲ αἱ γραμμαὶ ἑνὶ μετροῦνταί τινι τῷ μὴ εἶναι ἐλαχίστην γραμμήν. διὰ τοῦτο γὰρ οὐδὲ σύμμετροί εἰσι πᾶσαι· σύμμετρα γὰρ μεγέθη ἐστὶ τὰ τῷ αὐτῷ μέτρῳ μετρούμενα. εἰς τοὐναντίον δὲ καὶ τὸ ἄμεινον ἀποτελευτῶσιν οἱ ἐκ τοῦ ἀγνοεῖν καὶ διὰ τοῦτο θαυμάζειν τὰ ἀληθῆ, ὡς οὐχ οἷά τε ὄντως ἔχειν, εἰς τὸ εἰδέναι μεθιστάμενοι. θαυμάζουσι γὰρ οἱ τὴν ἐπιστήμην λαμβάνοντες αὐτῶν εἰ ἐνδέχεταί τι αὐτῶν ἄλλως ἔχειν. Alex.

910. "κατὰ τὴν παροιμίαν." ἴσως λέγοι ἂν τὴν λέγουσαν "δευτέρων ἀμεινόνων." id.

917. προκειμένου δὲ καὶ γεγονότος φανεροῦ τοῦ τῶν πρώτων εἶναι τὴν σοφίαν θεωρητικήν, εὐλόγως πρῶτον τὴν τῶν αἰτίων ποιεῖται διαίρεσιν, καθὸ καὶ ἐν τῇ Φυσικῇ Ἀκροάσει (2 3), εἰς τέσσαρα αἴτια διαιρῶν. καὶ τῶν μὲν ἄλλων σαφῶς ἐμνημόνευσε, περὶ δὲ τοῦ εἴδους τὰ εἰρημένα ἀσάφειάν τινα ἔχει. Alex.

τῶν μὲν "ἐξ ἀρχῆς αἰτίων" εἶπεν ἀντὶ τοῦ τῶν πρώτων. ὅτι δὲ ἡ γνῶσις ἡ κατ' ἐπιστήμην ἐν τοῖς ἔχουσιν ἀρχὰς καὶ αἴτια ἐκ τῆς τῶν ἀρχῶν καὶ αἰτίων τῶν πρώτων γνώσεως ἤρτηται, καὶ ἀρχόμενος τῆς Φυσικῆς Ἀκροάσεως εἶπεν· ἀλλὰ καὶ ἐν τοῖς Ὑστέροις Ἀναλυτικοῖς (1 2) ἔδειξεν αὐτό, καὶ νῦν ὁμοίως λέγει. id.

921. λέγει μὲν τὴν κατὰ τὸ εἶδος οὐσίαν, εἰκότως δὲ εἶπεν οὐσίαν ἑκάστου τὸ εἶδος· κατὰ γὰρ τὸ εἶδος ἑκάστῳ τὸ εἶναι τοῦτο ὅ ἐστιν· διὰ γὰρ τοῦτο καὶ οἱ ὁρισμοὶ κατὰ τοῦτο γίνονται τῶν ὁριστῶν· τί ἦν εἶναι γὰρ τὸν ὁρισμὸν καὶ τὸν λόγον λέγει, id.

"ἀνάγεται — ἔσχατον," τουτέστι τὸν ὁρισμόν· τοῦτο δέ ἐστιν ἡ κατὰ τὸ εἶδος αἰτία· εἰς γὰρ τοῦτό φησιν ἔσχατον ἀνάγεσθαι τὸ διὰ τί. "ἔσχατον" δέ, ὅτι μετὰ τὴν ἀπόδοσιν τοῦ ὁρισμοῦ οὐκέτι τὸ διὰ τί ἐξεταζόμεν, ὡς μεμαθηκότες δηλονότι τὸ τοιοῦτον αἴτιον, περὶ οὗ ἡ ζήτησις ἡμῖν. διὰ τί γὰρ τὸ πῦρ θερμαίνει ζητοῦντες, ὅταν μάθωμεν ὅτι τὸ εἶναι αὐτῷ πυρὶ τὸ πρώτως εἶναι θερμῷ καὶ θερ-

μαντικῷ ἐςίν, ὐκέτι ζητῦμεν διὰ τί θερμαίνει, ὡς μεμαθηκότες ὃ ἐπιζητῦμεν. πάλιν διὰ τί ἡ χιὼν διακριτικὴ ὄψεώς ἐςιν ὅταν ζητῇ τις, ἂν μὴ ἀκύσῃ ὅτι λευκή, ὐδέπω πέπαυ῾ται τῦ τὸ διὰ τί πολυπραγμονεῖν· ἔτι γὰρ ἀπαιτεῖ διὰ τί δὲ τὸ λευκὸν διακρίνει τὴν ὄψιν, ὁ δὲ μὴ τὴν ἀπόδοσίν τινος ἔτι τὸ διὰ τί ζητῶν ὐδέπω τὴν αἰτίαν ἀκήκοεν. ὅταν δὲ μάθῃ ὅτι τῦτ' ἐςὶ τὸ εἶναι αὐτῷ λευκῷ (ἔςι γὰρ λόγος καὶ ὁρισμὸς λευκῦ τὸ διακριτικὸν ὄψεως), ὐκέτι τὴν τῦ διακρίνειν τὴν ὄψιν τὸ λευκὸν αἰτίαν ζητεῖ· ὐ γάρ ἐςι μὴ τὴν τοιαύτην ἀπόδοσιν ἔτι ὑπολειπομένη τῦ διὰ τί ὕτως ζήτησις. εἰκότως ἄρα μίαν εἶπεν εἶναι αἰτίαν τὴν ὐσίαν καὶ τὸ τί ἦν εἶναι ἑκάςῳ. τῦ δὲ αἰτίαν εἶναι ταύτην δεικτικὸν παρέθετο τὸ ὅτι "ἀνάγε῾ται γὰρ τὸ διὰ τί εἰς τὸν λόγον ἔχατον·" ἔχατον δὲ εἶπεν· εἶεν γὰρ ἄν τινες καὶ ἄλλαι ἀποκρίσεις πρὸς τὴν τῦ διὰ τί ἀπαίτησιν ὐδέπω τὸν λόγον καὶ τὸν ὁρισμὸν ἔχῃσαι· διὸ ὐδέπω αἱ τοιαῦ῾ται ἀποδόσεις τῆς αἰτίας τῆς κῦρ τὸ εἶδός εἰσι διδασκαλικαί, ὐδὲ ὁ ζητῶν τὸ διὰ τί τῆς ζητήσεως ἤδη παύε῾ται. id.

εἰπὼν δὲ ἐπὶ ἔχατον τὸν ὁρισμὸν τὸ διὰ τί ἀνάγεται, πῶς τὸ ἔχατον πρῶτόν ἐςι καὶ αἴτιον διὰ τῦ ἑξῆς ἐδήλωσε· τὸ γὰρ ἔχατον λεγόμενον ἐν τῇ ἀποδόσει πρῶτόν ἐςιν ἐν τῇ φύσει καὶ αἴτιον· διὸ ἐπήνεγκεν "αἴτιον δὲ καὶ ἀρχὴ τὸ διὰ τί πρῶτον." τὸ μὴ γὰρ ἐν τῇ τῦ διὰ τί ἀπαιτήσει ἔχατον ἀποδιδόμενον κυρίως αἴτιον· τὸ δὲ ὕτως αἴτιον πρῶτον αἴτιον τῶν ὕτως αἰτίων· τὸ ἄρα ἐν τῇ τῦ διὰ τί ἀπαιτήσει ἔχατον ἀποδιδόμενον πρῶτον αἴτιον τῶν ὕτως αἰτίων ἐςίν. ᾧ εἰ προσληφθείη τὸ ὁ δὲ ὁρισμὸς ἔχατον ἐν τῇ τῦ διὰ τί ἀποδόσει, συνάγοιτο ἂν τὸ τὸν ὁρισμὸν πρῶτον αἴτιον εἶναι τῶν κῦρ τὸ εἶδος αἰτίων. τὸ τί ἦν εἶναι ἄρα καὶ ὁ ὁρισμὸς πρῶτον αἴτιον, τυτέςι τὸ εἶδος· κῦρ γὰρ τὸ εἶδος ἑκάςῳ τὸ τί ἦν εἶναι. ἢ τὸ "αἴτιον δὲ καὶ ἀρχὴ τὸ διὰ τί πρῶτον" ὡς ἴσον εἴρηκε τῷ αἴτιον δὲ καὶ ἀρχὴ καὶ πρῶτον τὸ διὰ τί, τυτέςιν ἡ ὐσία καὶ τὸ τί ἦν εἶναι, ἐπεὶ τὸ ἔχατον ἀποδιδόμενον ἐν τῇ τῦ διὰ τί ἀπαιτήσει πρῶτόν ἐςιν αἴτιον. ἢ τῶν πρὸ αὐτῦ ἀποδοθέντων εἶπεν αἴτιον καὶ ἀρχὴν εἶναι τῶν ἐν τῇ τῦ διὰ τί ἀποδόσει· τῦτο γάρ ἐςι τὸ ἔχατον ἀποδιδόμενον· τὸ γὰρ ἐν τῇ τῦ διὰ τί ἀποδόσει ἔχατον πρῶτόν ἐςιν αἴτιον καὶ ἀρχή. ὐκ εἶπε δὲ ὅτι τὸ ἔχατον ἐν

τῇ ἀποδόσει πρῶτόν ἐςιν ἐν τῇ φύσει, ἀλλὰ ϗ χωρὶς τοῦ τοῦτο εἰπεῖν τὸ ἑπόμενον αὐτοῦ εἰπών, τὸ "αἴτιον δὲ ϗ ἀρχὴ τὸ διὰ τί πρῶτον," ἀσαφῆ τὴν λέξιν ἐποίησε. διὰ γὰρ τοῦτο τὸ διὰ τί πρῶτον, ὅτι τὸ ἔσχατον ἐν τῇ ἀποδόσει τοῦ διὰ τί τὸ πρῶτον τῇ φύσει ἐν τῇ τοῦ διὰ τί ἀποδόσει αἴτιόν τε ϗ ἀρχή. ὅτι δὲ ἡ τοῦ διὰ τί ἀπόδοσις ἡ ὑςάτη πρώτης αἰτίας ἐςὶ δηλωτική, πρόδηλον ἐκ τοῦ ἀρχῆς ἀπαίτησιν εἶναι τὸ διὰ τί· μεθ' ἣν δὲ ἀπόδοσιν ὐκ ἐπιζητεῖ τὸ διὰ τί, τοῦτ' ἂν εἴη ἡ κυρίως ἀρχή, ἡ δὲ ἀρχὴ πρῶτον. Alex.

923. ἐπὶ πλέον τὸ ὑποκείμενον τῆς ὕλης· τὸ γὰρ ἐν τοῖς θείοις ὑποκείμενον ὐχ ὕλη. id.

926. ὅτι δὲ τὸ ἀγαθόν ἐςι τὸ ὡς τέλος αἴτιον ϗ ἡ τοιαύτη ἀρχὴ τέλος γενέσεως ϗ κινήσεως πάσης, ϗ τῶν Ἠθικῶν ἀρχόμενος, ὡς ἤδη προεῖπον, ἐδήλωσεν εἰπὼν "πᾶσα τέχνη ϗ πᾶσα μέθοδος ἀγαθοῦ τινός." εἰ δὲ πάντα τοῦ οἰκείου τέλους ὡς ἀγαθοῦ ἐφίεται, τὸ κυρίως τέλος ϗ οὗ πάντα ἐφίεται τὰ ἐν κινήσει εἴη ἂν τὸ ἀγαθὸν ϗ τὸ τῶν ὄντων ἄριςον· ὃ ϗ αὐτὸς ἐν τοῖς Ἠθικοῖς ἐδήλωσεν εἰπὼν "διὸ καλῶς ἀπεφήναντο τὸ ἀγαθόν, οὗ πάντα ἐφίεται." id.

105. μνημονεύει δὲ τῶν ἀρχαίων ὐχ ὡς τῶν φυσικῶν ὐσιῶν τὰς ἀρχὰς ταύτας οἰομένων (ὐκέτι γὰρ οἰκεία δόξει τοῖς προκειμένοις ἡ ἱςορία), ἀλλ' ὡς τῶν ὄντων πάντων, ἐν οἷς ἦν ϗ τὰ προκείμενα νῦν. ἔθεντο μὲν γὰρ τῶν φυσικῶν ἀρχὰς ἐκεῖνοι ταύτας ἃς λέγει· οἰόμενοι δὲ ταῦτα μόνον εἶναι ϗ ὐδὲν παρὰ ταῦτα, τὰς αὐτὰς ἀρχὰς τῶν τε φυσικῶν ϗ τῶν ὄντων ἁπάντων ἐζήτουν. ὅτι δὲ τὴν κῆ τὴν ὕλην μόνην αἰτίαν ὑπετίθεντο, ἐδήλωσε διὰ τοῦ δεῖξαι λέγοντας αὐτὸς αἰτίαν ϗ ἀρχὴν εἶναι τῶν ὄντων, ἐξ οὗ τι γίνεται πρώτου ϗ εἰς ὃ φθείρεται τελευταῖον, τῆς ὐσίας μενούσης, τοῖς δὲ πάθεσι μεταβαλλούσης. τὸ γὰρ τοιοῦτον ὕλη, ἥτις τὴν μὲν αὐτῆς ὐσίαν ἐν οἷς ἂν ᾖ σῴζει ἄφθαρτον ϗ ἀγένητον, κῆ δὲ τὰ πάθη ἡ μεταβολὴ αὐτῆς ἐν τοῖς τῶν ἐξ αὐτῆς γινομένων γένεσιν. τὸ δὲ "τὰς ἐν ὕλης εἴδει" ἀντὶ τοῦ τὰς ἐν τῷδε τῷ εἴδει τῶν ἀρχῶν τῷ κῆ τὴν ὕλην μόνον ᾠήθησαν εἶναι. id.

1010. τοῖς δὲ ποιοῦσι τὴν μὲν ὕλην σῶμά τι ἐνεργείᾳ, ϗ μὴ ὡς Ἀριςοτέλης λέγει δυνάμει, ἀκολουθεῖ τὸ μηδὲ γίνεσθαι ϗ φθεί-

ρεᾶς ἁπλῶς τι, ἀλλ' εἶναι τὴν καλουμένην γένεσιν ἀλλοίωσιν, ὡς ἐν τοῖς περὶ Γενέσεως (1 4) ἔδειξε· τὴν γὰρ ὕλην ἐνεργείᾳ ὖσαν καὶ ὑπομένουσαν ἀεὶ τὴν αὐτήν (ἄφθαρτον γὰρ τὴν ἀρχὴν καὶ κατ' οὐσίαν ἀμετάβλητον ὑποτίθεν) ὖσαν) καὶ τῶν ἐξ αὐτῆς γιγνομένων οὐσιῶν
5 ἀλλάσσειν τὰ πάθη· ἀλλοίωσις γάρ ἐστιν ἡ κατ' πάθος μεταβολή. Alex.

ἐκ γὰρ τῆς ἀναθυμιάσεως τῆς ἀπὸ τοῦ ὑγροῦ τὴν γένεσιν τοῦ 10 24.
θερμοῦ τε καὶ πυρὸς οἱ περὶ Θαλῆν γίγνεᾶς ἐτίθεντο· καὶ γὰρ τρέφεᾶς ὑπὸ τούτου αὐτὸ καὶ εἶναί τε καὶ σώζεᾶς (τοῦτο γάρ ἐστι "καὶ τούτῳ
10 ζῆν"), ὥστε καὶ τοῦ θερμοῦ τὸ ὑγρὸν αὐτοῖς ἀρχή τε καὶ στοιχεῖον, εἴγε τρέφεῖ καὶ γίνεῖ ἐκ τούτου· καὶ γὰρ ἐξ οὗ γίγνεῖ τὰ γινόμενα, τοῦτο αὐτῶν ἐστὶν ἀρχή. id.

λέγοι δ' ἂν περὶ Ὁμήρου τε καὶ Ἡσιόδου ὡς πρώτων θεολό- 10 30.
γων. id.

15 οἵτινες δὴ ποιηταὶ Ὠκεανὸν ἔλεγον θεῶν πατέρα καὶ μη- 11 2.
τέρα Τηθύν, Ὠκεανὸν μὲν λέγοντες τὸ ὕδωρ τὸ κυκλοῦν τὴν γῆν, Τηθὺν δὲ τὴν γῆν ὡς θρέπτειραν πάντων τῶν γινομένων· τήθη γὰρ ἡ τροφός... φησὶ γὰρ ὁ ποιητὴς (Il. 15 37: cf. 14 271) "καὶ τὸ κατειβόμενον Στυγὸς ἄωτον ὕδωρ," διὰ τούτων τὴν ῥευστὴν
20 γένεσιν αἰνιττομένων τῶν ποιητῶν· ῥεῖ γὰρ ἡ τῶν αἰσθητῶν γένεσις· ἄωτον μὲν λέγων ὁ ποιητὴς τὸ ἐξάκουστον, Στύγα δὲ τὸ μισητόν. ὁ γὰρ ὅρκος ἐν ἀπίστοις παραλαμβάνεῖ, μισεῖ δέ πως ὁ μὴ πιστευόμενος τὸν μὴ πιστεύοντα· εἰ οὖν ὁ ὅρκος πρὸς βεβαίωσιν τῆς ἀπιστίας λαμβάνεῖ, εἰκότως ὁ ὅρκος μισητόν. διὰ δὴ τοῦτο καὶ τὸ ὕδωρ
25 Στὺξ ὠνομάζετο. ἐπεὶ δὲ σύγγραμμα Θαλοῦ φέρεῖ ὑδαμοῦ, ἐξ οὗ τις τὸ βέβαιον ἕξει τοῦ ταῦτα τοῦτον λέγεᾶς τὸν τρόπον ὑπ' αὐτοῦ, εἰκότως τὸ "λέγεῖ οὕτως ἀποφήναᾶς" εἶπεν. cod. Laur.

εἰκότως τὸ "λέγεῖ οὕτως ἀποφήναᾶς·" οὐδὲν γὰρ προφέρεῖ 11 7.
30 αὐτοῦ σύγγραμμα, ἐξ οὗ τις τὸ βέβαιον ἕξει τοῦ ταῦτα λέγεᾶς τοῦτον τὸν τρόπον ὑπ' αὐτοῦ. Alex.

Ἵππωνα ἰσοροῦσιν ἀρχὴν ἁπλῶς τὸ ὑγρὸν ἀδιορίστως ὑποθέᾶς, οὐ διασαφήσαντα πότερον ὕδωρ, ὡς Θαλῆς, ἢ ἀήρ, ὡς Ἀναξιμένης καὶ Διογένης. διὸ καὶ παραιτεῖ αὐτοῦ τὴν δόξαν ὡς

ἐπιπόλαιον καὶ οὐδὲν διασαφοῦσαν. ἢ οὐχ ὡς ἀδιάρθρωτον αὐτοῦ τὴν δόξαν παραιτεῖται· οὐ γὰρ εἶπε διὰ τὴν εὐτέλειαν αὐτοῦ τῆς δόξης, ἀλλ' ὡς οὐκ ὀφείλοντα ἐν τοῖς φιλοσόφοις ἐγκαταριθμεῖσθαι διὰ τὴν τῆς διανοίας εὐτέλειαν. διὰ γὰρ τοῦτο εἶπε τὸ "μετὰ τούτων," λέγων τῶν φιλοσόφων. τοῦτο δὲ λέγοι ἂν περὶ αὐτοῦ, ὅτι ἄθεος ἦν· τοιοῦτο γὰρ καὶ τὸ ἐπὶ τοῦ τάφου αὐτοῦ ἐπίγραμμα

Ἵππωνος τόδε σῆμα, τὸν ἀθανάτοισι θεοῖσιν
ἴσον ἐποίησεν μοῖρα καταφθίμενον. id.

ἄθεος γάρ ἐστιν (ὁ Ἵππων)· οὐ λέγει γὰρ ἄλλο τι εἶναι παρὰ τὰ φαινόμενα φυσικὰ πράγματα. Asclep.

11 16. εἶπε πῶς πλήθει καὶ ὀλιγότητι. ἡ μὲν γὰρ μῖξις αὐτῶν καὶ ἡ εἰς τὸ ἓν σύνοδος ὑπὸ τῆς φιλίας γιγνομένη εἰς ὀλιγότητα καὶ ἑνότητα εἶχε τὴν μεταβολήν, ἡ δὲ ὑπὸ τοῦ νείκους γιγνομένη διάκρισις καὶ χωρισμὸς τούτων ἐκ τοῦ ἑνὸς πολλὰ ἐποίει· ὡς δὲ δυναμένης ἐν τῇ τοιαύτῃ μεταβολῇ σώζειν αὐτῆς τὴν οἰκείαν φύσιν λέγει. ἢ οὐ περὶ τῆς συγκρίσεως καὶ τῆς διακρίσεως ὑπὸ τοῦ νείκους καὶ τῆς φιλίας γιγνομένων λέγει ταῦτα, ἀλλὰ περὶ τῆς δοκούσης αὐτῶν γενέσεώς τε καὶ φθορᾶς· γίγνεσθαι μὲν γὰρ δοκεῖ ἕκαστον αὐτῶν ὅταν πλῆθός τι αὐτῶν ἅμα συγκριθῇ· ὅταν γὰρ ἔν τινι μίγματι πλείω τὰ τοῦ πυρὸς ᾖ μόρια, δοκεῖ γένεσις γίγνεσθαι πυρός, ὅταν δὲ ἐλάττω, φθορά. ἢ τὸ λεγόμενόν ἐστιν ὅτι αὐτὰ μὲν οὐ γίγνεται, τὸ δὲ πλῆθος καὶ ἡ ὀλιγότης τῶν ὄντων ἐκ τῆς τούτων διακρίσεως καὶ συγκρίσεως γίνονται. Alex.

11 17. Ἀναξαγόραν Ἐμπεδοκλέους πρότερον γενόμενον τοῖς ἔργοις φησὶ καὶ τῇ περὶ τῶν φυσικῶν δόξῃ ὕστερον εἶναι, οὐ προκρίνων αὐτοῦ πάντως τὴν δόξαν τῆς Ἐμπεδοκλέους ὡς συνετωτέραν καὶ πλέον τι ἔχουσαν, ἀλλ' ὑστέραν καὶ εὐτελεστέραν ἡγούμενος. ἐν ἄλλοις οὖν αὐτοῦ προκρίνει τὸν Ἐμπεδοκλέα, ὅτι τὰ αὐτὰ σώζει πεπερασμένας ὑποθέμενος τὰς ἀρχάς· ἄμεινον γὰρ τὸ πεπερασμένας τὰς ἀρχὰς ποιεῖν τοῦ ἀπείρους, εἰ δύναιτό τις διὰ τῶν πεπερασμένων ἀποδιδόναι τὰ αὐτά. ἔστι μέντοι ἐν οἷς καὶ τὴν Ἀναξαγόρου δόξαν τῆς Ἐμπεδοκλέους δόξης προκρίνει. νῦν μέντοι ἔοικεν ὕστερον αὐτὸν τοῖς ἔργοις λέγειν διὰ τὴν τῶν στοιχείων ἀπειρίαν· προειπὼν γὰρ ταῦτα ἐπήνεγκε τὸ ἀπείρους εἶναι τὰς ἀρχάς.

προελθὼν μέντοι τὴν δόξαν αὐτῷ σύμφωνον δείκνυσι τῇ Πλάτωνος, ὃς ὕςερος ἐγένετο. ἐξηγησάμενος γὰρ τὴν βούλησιν αὐτοῦ καὶ ὅτι δι' ὧν λέγει λέγοι ἂν τὸ ἓν καὶ τὸ ἀόριςον ἀρχάς, ἐπιλέγει (c. 8 p. 989 *b* 19) "βούλεται μέντοι τι παραπλήσιον τοῖς τε
5 ὕςερον λέγουσι καὶ τοῖς φαινομένοις μᾶλλον." χεδὸν γὰρ ἅπαντα τὰ ὁμοιομερῆ, καθάπερ ὕδωρ πῦρ καὶ ἕκαςον τῶν τεσσάρων σωμάτων, συγκρίσει γίνεσθαί τε καὶ φθείρεσθαι δοκεῖ· τῇ γὰρ τῶν πλειόνων ὁμοίων συνόδῳ ἕκαςον τόδε γίγνεται. οὕτως Ἀναξαγόραν φησὶ ταῦτα τὰ ὁμοιομερῆ ἄπειρα ὄντα καὶ ἀΐδια γίγνεσθαί τε δοκεῖν καὶ
10 φθείρεσθαι, γίγνεσθαι μὲν τῇ τῶν πλειόνων ὁμοίων συνόδῳ, φθείρεσθαι δὲ τῇ διακρίσει. χεδὸν δὲ πάντα εἶπε τὰ ὁμοιομερῆ· οὐ γὰρ πάντα ἐν ταῖς ἀρχαῖς ἐτίθετο· τὸ γὰρ ὕδωρ καὶ τὸ πῦρ καὶ τὴν γῆν καὶ τὸν ἀέρα ὁμοιομερῆ ὄντα, ὡς ἔςιν ἐκ τῆς ἐναργείας μαθεῖν, οὐκ ἔλεγε ςοιχεῖα εἶναι, ἀλλὰ συγκρίματα. id.

15 "οἱ — ἀρχῆς." λέγει πάλιν περὶ τῶν μόνῃ τῇ ὑλικῇ τε καὶ αἰτίᾳ καὶ ἀρχῇ χρησαμένων· δόξει δὲ τὸ πάμπαν ἐξ ἀρχῆς προςεθεικέναι ὑπὲρ τοῦ δηλῶσαι τοὺς περὶ Θαλῆν καὶ Ἀναξιμένην, ἐπεὶ ὧν γε ἐμνημόνευσεν, Ἀναξαγόρας καὶ Ἐμπεδοκλῆς δοκοῦσι τι εἰρηκέναι καὶ περὶ τῆς ποιητικῆς ἀρχῆς, ὡς καὶ αὐτός τε προϊὼν
20 μνημονεύσει, οὐδὲν ἐδυσχέραναν ἐν αὐτοῖς, οἷον οὐκ ἐπέςησαν τοῖς τῶν λεγομένων ὑπ' αὐτῶν ἀτοπίᾳ, οὐδ' ἐμέμψαντο τοῖς λεγομένοις ὡς οὐχὶ καλῶς λεγομένοις, οὐδ' ἐζήτησάν τινα καὶ ἄλλην ἀρχὴν πρὸς τῇ ὑλικῇ, ὡς οὐχ ἱκανῶς ἐχούσης τε καὶ λεγομένης ὑπ' αὐτῶν. id.

25 "τὴν τοιαύτην" τὴν ποιητικήν· οὐδὲ γὰρ γίνεταί τι κατ' αὐτούς. ὅμως ἢ τοῦτο οὐ περὶ τῶν ἓν καὶ ἀκίνητον τὸ πᾶν θεμένων εἶναι λέγει μόνον, ἀλλὰ καὶ περὶ τῶν ἓν τὸ ὑποκείμενον καὶ τὴν ὕλην μίαν· καὶ γὰρ αὐτοὶ ἓν ἐποίουν τὸ πᾶν. ἐκ δὲ τῶν νῦν λεγομένων ἴσως καὶ πρὸ ὀλίγου, ὅτε εἶπεν (*a* 16) "ἐκ μὲν οὖν τούτων μόνην τις αἰτίαν νομίσειε," περὶ τῶν ἓν τὸ ςοιχεῖον ὑποθεμένων ἔλεγε. id.

"πλὴν εἰ ἄρα". περὶ Παρμενίδου καὶ τῆς δόξης αὐτοῦ καὶ Θεόφραςος ἐν τῷ πρώτῳ περὶ τῶν Φυσικῶν οὕτως λέγει "τούτῳ δὲ ἐπιγενόμενος Παρμενίδης Πύρητος ὁ Ἐλεάτης" (λέγει δὲ

καὶ Ξενοφάνην) "ἐπ' ἀμφοτέρας ἦλθε τὰς ὁδούς. καὶ γὰρ ὡς ἀΐδιόν ἐστι τὸ πᾶν ἀποφαίνεται καὶ γένεσιν ἀποδιδόναι πειρᾶται τῶν ὄντων, οὐχ ὁμοίως περὶ ἀμφοτέρων δοξάζων, ἀλλὰ κατ' ἀλήθειαν μὲν ἓν τὸ πᾶν καὶ ἀγέννητον καὶ σφαιροειδὲς ὑπολαμβάνων, κατὰ δόξαν δὲ τῶν πολλῶν εἰς τὸ γένεσιν ἀποδοῦναι τῶν φαινομένων δύο ποιῶν τὰς ἀρχάς, πῦρ καὶ γῆν, τὸ μὲν ὡς ὕλην τὸ δὲ ὡς αἴτιον καὶ ποιοῦν." id.

12 15. "τοῖς — λέγειν" δηλονότι ὡς καὶ ποιητικὴν αἰτίαν πρὸς τῇ ὑλικῇ. λέγοι δ' ἂν ὁ περὶ τῶν ἄντικρυς καὶ ποιητικὸν αἴτιον ὑποθεμένων (Ἀναξαγόρας δέ ἐστι καὶ Ἐμπεδοκλῆς), ἀλλὰ περὶ τῶν πλείω τὰ αἴτια λεγόντων. id.

12 23. τὸ δὲ "καθάπερ ἐν τοῖς ζῴοις" προσέθηκε· καὶ γὰρ ἐν τοῖς ζῴοις τοῖς ἔχουσι νοῦν οὕτος ἀρχὴ καὶ αἰτία τῶν γινομένων καλῶς ὑπ' αὐτῶν. id.

13 9. ὁ γὰρ ἔρως καὶ ἡ ἔφεσις τοῦ καλοῦ καὶ τοὺς οὕτω λέγοντας ἀρχὴ κινήσεως ἂν εἴη. οὕτοι μὲν οὖν τὴν τῶν ἀγαθῶν αἰτίαν ἐν ταῖς ἀρχαῖς ἔθεντο· ἀλλ' Ἀναξαγόρας μὲν ὡς ποιητικὸν τὸ ἀγαθόν, οἱ δὲ ἔρωτα καὶ ἐπιθυμίαν αἰτιώμενοι ἴσως τὸ ὡς τελικὸν ἀγαθὸν λέγοιεν ἄν· τοιοῦτον γὰρ τὸ ὀρεκτόν. ἢ τὸ μὲν ὀρεκτὸν τοιοῦτον, ὁ δὲ ἔρως ποιητικόν, εἰ τῇ ὀρέξει ἑπόμενος ἐποίει ἃ ἐποίει. id.

13 25. "ψελλίζεται" δὲ εἶπε τὸ μὴ σαφῶς λέγειν· οὕτω γὰρ οἱ ψελλιζόμενοι λαλοῦσιν. εἰ δὲ τὸ τῶν ἀγαθῶν αἴτιον ἀγαθὸν καὶ τὸ τῶν κακῶν κακόν, ἀρχὰς ἂν εἴη Ἐμπεδοκλῆς τὸ ἀγαθὸν καὶ τὸ κακὸν τιθέμενος, ἀγαθὸν μὲν τὴν φιλίαν, τὸ νεῖκος δὲ κακόν. εἰπὼν δὲ οὕτως περὶ τοῦ ἀγαθοῦ, περὶ τοῦ κακοῦ ἡμῖν προσδεῖναι κατέλιπε. id.

14 10. μηχανῇ δὲ τῷ νῷ Ἀναξαγόραν εἶπε χρῆσθαι, ὡς ἐν ταῖς τραγῳδίαις οἱ θεοὶ παράγονται ἀπὸ μηχανῆς ἐν τοῖς ἀπόροις· ὃ καὶ αὐτὸς ἐξηγήσατο. λέγει δὲ τὰ αὐτὰ περὶ Ἀναξαγόρου ἃ καὶ Πλάτων ἐν Φαίδωνι (p. 98). id.

15 10. ὁμοίως δὲ καὶ οὗτοι τοῖς ἀρχαιοτέροις ἠρκοῦντο τοῖς πάθεσι τῆς ὑλικῆς αἰτίας πρὸς τὴν γένεσιν τῶν ὄντων, ποιητικὸν δὲ αἴτιον οὐδὲν ἔλεγον, ὥσπερ καὶ οἱ μανώσει καὶ πυκνώσει τῆς ὕλης τὰ ἄλλα γεννῶντες· πλὴν ὅτι ἐκεῖνοι μὲν δύο διαφοραῖς ἐχρῶντο πρὸς τὴν γένεσιν τῶν ἐκ τῆς ὕλης γινομένων, τῇ μανώσει καὶ τῇ πυκνώσει, οὗτοι δὲ τρισὶ ταῖς εἰρημέναις, σχήματι τάξει θέσει. φέρεται δὲ

ἔν τισι γραφῇ τοιαύτῃ "καὶ ὥσπερ τῶν μαθηματικῶν τὸν αὐτὸν τρόπον καὶ οὕτοι·" κἂν ᾖ αὕτη ἡ γραφή, λέγοι ἂν περὶ Πλάτωνος, ὅτι ὡς ἐκεῖνος ἐκ τῶν μαθηματικῶν γένεσιν ποιῶν τῶν σωμάτων κατὰ τὴν τῶν τριγώνων διαφορὰν καὶ τὸ πλῆθος τὰς τῶν σωμάτων γεννᾷ διαφοράς, οὕτως καὶ οὗτοι κατὰ τὰς διαφορὰς τῶν ἐν τοῖς πρώτοις σώμασι σχημάτων ἐγέννων τὰ ἐξ αὐτῶν. id.

λέγει μὲν περὶ Λευκίππου τε καὶ Δημοκρίτου· οὗτοι γὰρ λέγουσιν ἀλληλοτυπούσας καὶ κρουομένας πρὸς ἀλλήλας κινεῖσθαι τὰς ἀτόμους, πόθεν μέντοι ἡ ἀρχὴ τῆς κινήσεως τοῖς κατὰ φύσιν, οὐ λέγουσιν· ἡ γὰρ κατὰ τὴν ἀλληλοτυπίαν βίαιός ἐστι κίνησις καὶ οὐ κατὰ φύσιν, ὑστέρα δὲ ἡ βίαιος τῆς κατὰ φύσιν. οὐδὲ γὰρ τὸπόθεν ἡ βαρύτης ἐν ταῖς ἀτόμοις λέγουσι· τὰ γὰρ ἀμερῆ τὰ ἐπινοούμενα ταῖς ἀτόμοις καὶ μέρη ὄντα αὐτῶν ἀβαρῆ φασὶν εἶναι· ἐκ δὲ ἀβαρῶν συγκειμένων πῶς ἂν βάρος γένηται; εἴρηκε δὲ περὶ τούτων ἐπὶ πλέον ἐν τῷ τρίτῳ περὶ Οὐρανοῦ (c. 4). id. 15 19.

λέγει περὶ τῶν Πυθαγορείων, ὅτι οἱ μὲν πρὸ Δημοκρίτου τε καὶ Λευκίππου γεγόνασιν, οἱ δέ τινες ἦσαν καὶ κατὰ τούτους. ἢ τὸ "ἐν δὲ τούτοις καὶ πρὸ τούτων" οὐ περὶ Δημοκρίτου τε καὶ Λευκίππου μόνον λέγει, ἀλλὰ περὶ πάντων τῶν φυσικῶν τῶν προειρημένων· τῶν μὲν γὰρ ἦσαν πρεσβύτεροι, τοῖς δὲ συνήκμασαν. ἢ μᾶλλον ὅτι αὐτὸς μὲν Πυθαγόρας πρὸ Δημοκρίτου τε καὶ Λευκίππου ὀλίγον ἐγένετο, πολλοὶ δὲ τῶν Πυθαγόρου ἀκουσάντων συνήκμασαν τούτοις. id. 15 23.

τῆς μὲν γὰρ δικαιοσύνης ἴδιον ὑπολαμβάνοντες εἶναι τὸ ἀντιπεπονθός τε καὶ ἴσον, ἐν τοῖς ἀριθμοῖς τοῦτο εὑρίσκοντες ὄν, διὰ τοῦτο καὶ τὸν ἰσάκις ἴσον ἀριθμὸν πρῶτον ἔλεγον εἶναι δικαιοσύνην· τὸ γὰρ πρῶτον ἐν ἑκάστῳ τῶν τὸν αὐτὸν λόγον ἐχόντων μάλιστα εἶναι τοῦτο ὃ λέγεται. τοῦτον δὲ οἱ μὲν τὸν τέσσαρα ἔλεγον, ἐπεὶ πρῶτος ὢν τετράγωνος εἰς ἴσα διαιρεῖται καὶ ἔστιν ἴσος, δὶς γὰρ δύο· οἱ δὲ τὸν ἐννέα, ὃς ἐστι πρῶτος στερεὸς ἀπὸ περιττοῦ τοῦ τρία ἐφ' αὑτὸν γενομένου. καιρὸν δὲ πάλιν ἔλεγον τὸν ἑπτά· δοκεῖ γὰρ τὰ φυσικὰ τοὺς τελείους καιροὺς ἔχειν καὶ γενέσεως καὶ τελειώσεως κατὰ ἑβδομάδας, ὡς ἐπ' ἀνθρώπου. καὶ γὰρ τίκτεται ἑπταμηνιαῖα, καὶ ὀδοντοφυεῖ τοσούτων ἐτῶν, καὶ ἡβάσκει περὶ τὴν δευτέραν ἑβδομάδα, καὶ γενειᾷ περὶ τὴν 15 30.

τρίτην. καὶ τὸν ἥλιον δέ, ἐπεὶ αὐτὸς αἴτιος εἶναι τῶν καρπῶν, φησί, δοκεῖ, ἐνταῦθά φασιν ἱδρύσασθαι καθ' ὃ ὁ ἕβδομος ἀριθμός ἐστιν, ὃν καιρὸν λέγουσιν· ἑβδόμην γὰρ αὐτὸν τάξιν ἔχειν τῶν περὶ τὸ μέσον καὶ τὴν ἑστίαν κινουμένων δέκα σωμάτων· κινεῖσθαι γὰρ μετὰ τὴν τῶν ἀπλανῶν σφαῖραν καὶ τὰς πέντε τὰς τῶν πλανήτων, μεθ' ἣν ὀγδόην τὴν σελήνην, καὶ τὴν γῆν ἐνάτην, μεθ' ἣν τὴν ἀντίχθονα. ἐπεὶ δὲ ὅτε γεννᾷ τινὰ τῶν ἐν τῇ δεκάδι ἀριθμῶν ὁ ἑπτὰ ὅτε γεννᾶται ὑπό τινος αὐτῶν, διὰ τοῦτο καὶ Ἀθηνᾶν ἔλεγον αὐτόν. ὁ μὲν γὰρ δύο τὸν τέσσαρα καὶ ὁ τρία τὸν ἐννέα καὶ τὸν ἓξ καὶ ὁ τέσσαρα τὸν ὀκτὼ καὶ ὁ πέντε τὸν δέκα γεννᾷ, γεννῶνται δὲ ὁ τέσσαρα καὶ ὁ ἓξ καὶ ὁ ὀκτὼ καὶ ὁ ἐννέα καὶ ὁ δέκα· ὁ δὲ ἑπτὰ ὅτε τινὰ γεννᾷ ὅτε ἔκ τινος γεννᾶται· τοιαύτη δὲ καὶ ἡ Ἀθηνᾶ ἀμήτωρ καὶ ἀεὶ παρθένος. γάμον δὲ ἔλεγον τὸν πέντε, ὅτι ὁ μὲν γάμος σύνοδος ἄρρενός ἐστι καὶ θήλεος, ἔστι δὲ κατ' αὐτοὺς ἄρρεν μὲν τὸ περιττὸν θῆλυ δὲ τὸ ἄρτιον, πρῶτος δὲ οὗτος ἐξ ἀρτίου τοῦ δύο πρώτου καὶ πρώτου τοῦ τρία περιττοῦ τὴν γένεσιν ἔχει· τὸ μὲν γὰρ περιττὸν ἄρρεν αὐτοῖς ἐστίν, ὡς εἶπον, τὸ δὲ ἄρτιον θῆλυ. νοῦν δὲ καὶ οὐσίαν ἔλεγον τὸ ἕν· τὴν γὰρ ψυχὴν ὡς τὸν νοῦν εἶπε. διὰ τὸ μόνιμον δὲ καὶ τὸ ὅμοιον πάντῃ καὶ ἀρχικὸν τὸν νοῦν μονάδα τε καὶ ἓν ἔλεγον· ἀλλὰ καὶ οὐσίαν, ὅτι πρῶτον ἡ οὐσία. δόξαν δὲ τὰ δύο διὰ τὸ ἐπ' ἄμφω μεταβλητὴν εἶναι· ἔλεγον δὲ καὶ κίνησιν αὐτὴν καὶ ἐπίδεσιν. τὰς δὴ τοιαύτας τῶν πραγμάτων πρὸς τοὺς ἀριθμοὺς ἐκλέγοντες ὁμοιότητας ἀρχὰς αὐτῶν τοὺς ἀριθμοὺς ὑπέθεντο, πάντα τὰ ὄντα ἐξ ἀριθμῶν συγκεῖσθαι λέγοντες. ἀλλὰ καὶ τὰς ἁρμονίας κατ' ἀριθμόν τινα ὁρῶντες συγκειμένας καὶ τούτων ἀρχὰς ἔλεγον τοὺς ἀριθμούς· ἡ μὲν γὰρ διὰ πασῶν ἐν διπλασίῳ ἐστὶ λόγῳ, ἡ δὲ διὰ πέντε ἐν ἡμιολίῳ, ἡ δὲ διὰ τεσσάρων ἐν ἐπιτρίτῳ. ἔλεγον δὲ καὶ τὸν ὅλον οὐρανὸν κατὰ ἁρμονίαν συγκεῖσθαί τινα (τοῦτο γὰρ δηλωτικὸν αὐτῷ τὸ καὶ "τὸν ὅλον οὐρανὸν εἶναι ἀριθμόν") διότι ἐξ ἀριθμῶν καὶ κατ' ἀριθμὸν καὶ ἁρμονίαν. τῶν γὰρ σωμάτων τῶν περὶ τὸ μέσον φερομένων ἐν ἀναλογίᾳ τὰς ἀποστάσεις ἐχόντων, καὶ τῶν μὲν θᾶττον φερομένων τῶν δὲ βραδύτερον, ποιούντων δὲ καὶ ψόφον ἐν τῷ κινεῖσθαι τῶν μὲν βραδυτέρων βαρὺν τῶν δὲ ταχυτέρων ὀξύν, τοὺς ψόφους τούτους κατὰ τὴν τῶν ἀποστάσεων ἀναλογίαν γινομένους ἐναρμόνιον τὸν ἐξ αὐτῶν ἦχον ποιεῖν· ἧς ἁρμονίας τὸν ἀριθ-

BIBLIOTECA NAZ. ROMA VITTORIO EMANUELE

μὸν ἀρχὴν λέγοντες εἰκότως καὶ τοῦ οὐρανοῦ καὶ τοῦ παντὸς τὸν ἀριθμὸν ἐτίθεντο ἀρχήν. ἐν διπλασίῳ μὲν γὰρ λόγῳ φέρε εἰπεῖν τὸ διάστημα τὸ τοῦ ἡλίου ἀπὸ τῆς γῆς εἶναι ἢ τὸ τῆς σελήνης, ἐν τριπλασίῳ δὲ τὸ τῆς Ἀφροδίτης, ἐν τετραπλασίῳ δὲ τὸ τοῦ Ἑρμοῦ, καὶ ἐπὶ τῶν
5 ἄλλων ἑκάστου εἶναί τινα λόγον ἀριθμητικὸν ἡγοῦντο, καὶ ἐναρμόνιον τὴν κίνησιν εἶναι τοῦ οὐρανοῦ· κινεῖσθαι δὲ τάχιστα μὲν τὰ τὸ μέγιστον διάστημα κινούμενα, βραδύτατα δὲ τὰ τὸ ἐλάχιστον, τὰ δὲ μεταξὺ κατὰ τὴν ἀναλογίαν τοῦ μεγέθους τῆς περιφορᾶς. id.

εἰ δέ τινα ἐφαίνοντο διαφωνεῖν τῇ κατὰ τοὺς ἀριθμοὺς ἀκολουθίᾳ τῶν κατὰ τὸν οὐρανὸν φαινομένων, ταῦτα δὲ προσετίθεσαν αὐτοὶ καὶ ἐπειρῶντο ἀναπληροῦν πρὸς τὸ ὡμολογημένην αὐτοῖς εἶναι τὴν πραγματείαν πᾶσαν. αὐτίκα γοῦν τέλειον ἀριθμὸν ἡγούμενοι τὴν δεκάδα, ὁρῶντες δὲ ἐν τοῖς φαινομένοις ἐννέα τὰς κινουμένας σφαίρας, ἑπτὰ μὲν τὰς τῶν πλανωμένων, ὀγδόην δὲ τὴν τῶν ἀπλανῶν, ἐνάτην δὲ
15 τὴν γῆν (καὶ γὰρ καὶ ταύτην ἡγοῦντο κινεῖσθαι κύκλῳ περὶ μέσην τὴν ἑστίαν, ὃ πῦρ ἐστι κατ' αὐτούς), αὐτοῖς προσέθεσαν ἐν τοῖς δόγμασι καὶ τὴν ἀντίχθονά τινα, ἣν ἀντικινεῖσθαι ὑπέθεντο τῇ γῇ καὶ διὰ τοῦτο τοῖς ἐπὶ τῆς γῆς ἀόρατον εἶναι. λέγει δὲ περὶ τούτων καὶ ἐν τοῖς περὶ Οὐρανοῦ (3 1 p. 300 *a* 14) μὲν καὶ ἐν ταῖς τῶν Πυθαγορικῶν δόξαις
20 ἀκριβέστερον. κατ' ἁρμονίαν δὲ τὴν τούτων τάξιν ἐποίουν λαβόντες τε τὰ δέκα τὰ κινούμενα σώματα, ἐξ ὧν ὁ κόσμος, διεστάναι ἀπ' ἀλλήλων κατὰ τὰς ἁρμονικὰς ἀποστάσεις, κινεῖσθαί τε κατ' ἀναλογίαν τῶν διαστημάτων, ὡς προείρηκε, τὰ μὲν θᾶττον αὐτῶν τὰ δὲ βραδύτερον, καὶ φερόμενα ἤχους ποιεῖν τὰ μὲν βραδύτερον βαρυτέρους τὰ δὲ θᾶτ-
25 τον ὀξυτέρους, ἐξ ὧν γιγνομένων ἀναλογίαις ἁρμονικαῖς ἐναρμόνιον ἦχον γίγνεσθαι, ὃ μὴν κατακούειν ἡμᾶς διὰ τὴν ἐκ παίδων συντροφίαν. εἴρηκε δὲ περὶ τούτου καὶ ἐν τοῖς περὶ Οὐρανοῦ (2 9), καὶ ὅτι μὴ ἀληθές ἐστιν ἐν ἐκείνοις ἔδειξεν. ὅτι δὲ καὶ τὸ μὲν ἄρτιον αὐτοῖς τὸ ἄπειρόν ἐστι τὸ δὲ περιττὸν πεπερασμένον, καὶ ἀρχὴ τῆς τε μονάδος
30 (ἐκ τούτων γὰρ ἡ μονὰς ὅσα ἀρτιοπέριττός ἐστιν), ἀλλὰ καὶ τοῦ παντὸς ἀριθμοῦ, εἴγε αἱ μονάδες πάλιν αἱ ἀρχαὶ τῶν ἀριθμῶν, ἀριθμὸς δὲ ὁ ὅλος οὐρανός, τουτέστι πάντα τὰ ἐν τῷ οὐρανῷ, ἅπερ ἐστὶ τὰ ὄντα, ταῦτα δὲ λέγει μὲν καὶ νῦν, ἐπὶ πλέον δὲ ἐν ἐκείνοις εἴρηκεν ὑπὲρ αὐτοῦ. id.

16 24. τὸ δὲ "ὡς πάθη τε καὶ ἕξεις" εἴη ἂν δηλωτικὸν τοῦ τοὺς ἀριθμοὺς αὐτοῖς καὶ τῶν παθῶν καὶ τῶν ἕξεων εἶναι γενητικούς τε καὶ αἰτίους, ὅπερ εἴη ἂν τὸ ὡς ποιητικὸν αἴτιον· κατὰ γὰρ τὰς ἐν τούτοις διαφορὰς τά τε πάθη καὶ τὰς ἕξεις ἐγγίνεται τοῖς ἐξ αὐτῶν συγκειμένοις. τὰ γὰρ πάθη τε καὶ αἱ ἕξεις τῶν ἀριθμῶν τῶν ἐν τοῖς οὖσι παθῶν τε καὶ ἕξεων αἴτια, οἷον τὸ διπλάσιον, τὸ ἐπίτριτον, τὸ ἡμιόλιον. ἢ ὡς Ἀσπάσιος, ὁ μὲν ἀριθμὸς ὕλη, πάθος δὲ τὸ ἄρτιον, ἕξις δὲ τὸ περιττόν. ἢ τῶν ἀριθμῶν ὁ μὲν ἄρτιος ὕλη τε καὶ πάθος, ὁ δὲ περιττὸς ἕξις. id.

17 28. εὐλόγως δὲ ἐχρήσατο ἐπὶ τῆς τοιαύτης γενέσεως τῷ πεπλασμένῳ· πλάσματι γὰρ ἔοικεν ἡ γένεσις ἡ τοιαύτη ὀδὲν εὔλογον ἔχουσα. id.

17 29. "πλείω" δὲ λέγει ἤτοι τὰ ὑλικά, ἢ πλείω τὰ στοιχεῖα ἀντὶ τοῦ τὰ αἴτια· πρὸς γὰρ τῇ ὕλῃ καὶ τὴν ποιητικήν τινες εἶπον, ὡς ἱστόρησε. id.

18 3. ὁ γὰρ τὸν αὐτὸν τρόπον ἀμφότεροι ἀπεφήναντο περὶ τοῦ παντός, ἓν αὐτὸ λέγοντες εἶναι, ὅτε τοῦ καλῶς ὅτε τοῦ κατὰ φύσιν, τοῦ μὲν κατὰ φύσιν, ὅτι αὐτῶν ὁ μὲν ἐπὶ τὴν ὕλην, φησίν, ἔβλεψεν, ὁ δὲ ἐπὶ τὴν ὡς εἶδος· τοῦ δὲ καλῶς, ὅτι ὁ μὲν αὐτῶν κάλλιον ὁ δὲ χεῖρον εἶπε καὶ ὁ μὲν εὐλογώτερον ὁ δὲ ἧττον. τὸν μὲν γὰρ Παρμενίδην φησὶν ἐπὶ τὸ εἶδος βλέψαντα καὶ τὸν λόγον ἀποφήνασθαι τὸ ὂν ἓν εἶναι, διὰ τοῦτο καὶ πεπερασμένον (τοῦ γὰρ λόγου καὶ εἴδους τὸ περατοῦν τοῦτο ἐν ᾧ ἂν γένηται), Μέλισσον δὲ ἐπὶ τὴν ὕλην ἐνεχθῆναι, διὸ καὶ ἄπειρον αὐτὸ ὑποθέσθαι· ἡ γὰρ ἀπειρία τῆς ὕλης. id.

18 25. λέγομεν οὖν ὅτι ἐν τοῖς περὶ δόξης, ἐπειδὴ περὶ αἰσθητῶν διελέγετο, ὑπετίθετο δύο εἶναι τὰ στοιχεῖα, πῦρ καὶ γῆν, καὶ τὰ μεταξὺ συνεπινοεῖται, καὶ ἐκ τούτων τὰ αἰσθητὰ πάντα ὑπετίθετο· ἡνίκα δὲ περὶ νοητῶν διελέγετο, ἓν εἶναι τὸ ὄν, δηλῶν τὴν μίαν τῶν πάντων ἀρχὴν ἐξ ἧς τὰ πάντα· διό φησιν

ὁ γὰρ ἔην, οὐκ ἔσται ὁμοῦ πάντ,' ἔστι δὲ μοῦνον,
ὀλοφυές.

λέγων οὖν πῦρ καὶ γῆν τὸ μὲν θερμὸν ἔλεγεν εἶναι ὄν, τὸ δὲ ψυχρὸν μὴ ὄν, ὡς χεῖρον καὶ κρεῖττον. Asclep.

ἐπὶ τοσοῦτον δέ φησι χρήσιμον εἶναι καὶ τὴν τούτων ἱστορίαν, ὅτι καὶ τούτων ὁ μὲν ἐπὶ τὴν ὕλην βλέψας ἄπειρον εἶπε τὸ ὄν, ὁ δὲ ἐπὶ τὸ εἶδος πεπερασμένον· ἐν μὲν γὰρ ταῖς αἰτίαις καὶ ἡ ὕλη καὶ τὸ εἶδος. Alex.

5 ἱστορεῖ δὲ Παρμενίδου καὶ τὴν διττὴν δόξαν, ὃς ἀναγκαζόμενος καὶ τοῖς φαινομένοις ἀκολουθεῖν ἓν μὲν κατὰ λόγον καὶ τὴν ἀλήθειαν ἔλεγε τὸ ὂν εἶναι, πλείω δὲ κατὰ τὴν αἴσθησιν· καθ' ἣν δόξαν γεννητὸν τὸν κόσμον καὶ δύο ἀρχὰς ὑπέθετο αὐτοῦ τε καὶ τῶν ὄντως ὄντων, πῦρ τε καὶ γῆν, ὧν τὸ μὲν πῦρ ὂν τὴν δὲ γῆν μὴ ὂν καὶ τὸ ψυχρὸν ἔλεγεν·
10 ὥστε ὁ Δημόκριτος μόνος καὶ Λεύκιππος ἐν ταῖς ἀρχαῖς τὸ ὂν καὶ τὸ μὴ ὂν ἐτίθεντο. ἔλεγε δὲ ἴσως Παρμενίδης μὴ ὂν τὸ ψυχρὸν καθὸ ὑλικὴ αἰτία μᾶλλον αὕτη, δοκεῖ δὲ ἡ ὕλη μὴ ὄν τι εἶναι. id.

"συνηδρευκότων" ἀντὶ τοῦ ἐζητηκότων τε καὶ πεφροντικότων 19 1.
περὶ ὧν λέγομεν. ἢ συνηδρευκότων ἤδη τῷ λόγῳ σοφῶν, τού-
15 των ὧν εἰρήκαμεν· ὧν γὰρ ἐμνημόνευσεν ἤδη, τούτους λέγοι ἂν συνηδρευκέναι ἤδη τούτῳ τῷ λόγῳ καὶ οἷον παραγεγονέναι. id.

εἰπὼν δὲ μέχρι τῶν Ἰταλικῶν προσέθηκε τὸ "καὶ χωρὶς ἐκείνων," ἵνα μὴ ἐγκαταριθμῶμεν καὶ τούτους ταῖς λεγομέναις δόξαις, ἐπεὶ τοῦ μέχρι τινὸς ἔξιν ἀκούειν ὡς ἐκείνου τοῦ μέχρι ἐγκατα-
20 ριθμουμένου τοῖς πρὸ αὐτοῦ. τὸ δὲ "μέχρι" οὐ κατὰ χρόνον λέγει ἄν· οὐ γὰρ πρὸ Πυθαγόρου Ἐμπεδοκλῆς, οὗ τῆς δόξης μνημονεύει ὡς οὔσης ἐν τοῖς μέχρι τῶν Ἰταλικῶν· ἀλλὰ τὸ μέχρι ἐπὶ τῆς ἐξαριθμήσεως τῶν δοξῶν ὧν καταριθμεῖται κέχρηται. πρῶτον γὰρ ἐκείνων τῶν δοξῶν, εἶθ' οὕτως τῶν Πυθαγορείων ἐμνημόνευσεν. εἰπὼν
25 δὲ μέχρι τῆς τῶν Πυθαγορικῶν δόξης τοὺς πλείους μαλακώτερον περὶ αἰτίας εἰρηκέναι, τουτέστιν ἑνὶ αἰτίῳ χρῆται, τῷ γὰρ ὑλικῷ, χωρὶς τῶν δύο Ἀναξαγόρου τε καὶ Ἐμπεδοκλέους· οὗτοι γὰρ πρὸς τῇ ὑλικῇ καὶ τὴν ποιητικὴν προσέλαβον, ὁ μὲν ἓν τοῦτο λέγων ὁ Ἀναξαγόρας, ὁ δὲ διελὼν εἰς δύο, Ἐμπεδοκλῆς γάρ· ὃ ἐδήλωσε διὰ
30 τοῦ εἰπεῖν "πλὴν ὥσπερ εἴπομεν δυοῖν αἰτίαν τυγχάνουσι κεχρημένοι, καὶ τούτων τὴν ἑτέραν οἱ μὲν μίαν ποιοῦσιν οἱ δὲ δύο, τὴν ὅθεν ἡ κίνησις," ᾧ λείποι ἂν τὸ τινὲς ἐξ αὐτῶν. γράφεται ἔν τισιν ἀντὶ τοῦ μοναχώτερον "μορυχώτερον," ὃ ἐξηγούμενοι οἱ μὲν σκο-

τεινότερον λέγουσιν, οἱ δὲ μαλακώτερον. οὔτε δὲ τὸ ὄνομα γνώριμον, οὔτε ἀκόλουθον τοῖς προειρημένοις τὸ τοὺς μέχρι τῶν Πυθαγορείων εἰρηκότας περὶ ἀρχῶν σκοτεινότερον εἰρηκέναι· μᾶλλον γὰρ ἔςιν εὑρεῖν σκοτεινότερον εἰρημένα τὰ ὑπὸ τῶν Πυθαγορείων λεγόμενα. εἰ δὲ μαλακώτερον εἰπεῖν ἐβούλετο, ἐχρήσατο ἂν τῷ 5 ὀνόματι αὐτῷ, ὥσπερ καὶ ἐν ἄλλοις. προελθὼν μέντοι περὶ πάντων τῶν εἰρηκότων πρὸ αὐτοῦ περὶ ἀρχῶν λέγει "ἀλλὰ πάντες ἀμυδρῶς μέν." τοὺς δὲ Πυθαγορικοὺς φησι δύο μὲ καὶ αὐτοὺς τὰς ἀρχὰς λέγειν ὥσπερ καὶ ἄλλοι· τὸ γὰρ κατὰ τὸν αὐτὸν εἰρήκασι τρόπον τούτου ἂν εἴη σημαντικόν. ἀλλὰ καὶ πρὸ ὀλίγου εἴρηκε καὶ αὐτοὺς μόνη 10 τῇ ὑλικῇ αἰτίᾳ κεχρῆσθαι, πῶς οὖν νῦν δύο λέγει; ἢ δύο λέγει οὐκ εἴδη αἰτίων, ἀλλὰ δύο τὰς ἀρχὰς τὰς ὑλικὰς ἐποίουν, ὥσπερ καὶ ἄλλοι· οἱ γὰρ γῆν καὶ πῦρ θέμενοι δύο καὶ αὐτοὶ τὰς ὑλικὰς ἀρχὰς ἐποίουν. ἢ λέγει ὡς ἀρέσκον αὐτοῖς, ἢ καὶ ἑπόμενον ἐξ ὧν ἔλεγον, τὸ εἶναι μὲ αὐτοῖς ὕλην τὸν ἄπειρον ἀριθμόν (οὗτος δὲ ἦν ὁ ἄρτιος), 15 εἶδος δὲ τὸν πεπερασμένον, ὃς ἦν ὁ περιττός· καὶ γὰρ προελθὼν οὕτως περὶ αὐτῶν μνημονεύει. πῶς δὲ δύο ἔτι αἱ ἀρχαὶ κατὰ τοὺς Πυθαγορικούς, εἴγε, ὡς λέγει, τὸ πεπερασμένον καὶ τὸ ἄπειρον καὶ τὸ ἕν; τρεῖς γὰρ οὕτω γίγνονται. ἢ τὸ ἓν οὐκ ἦν ἔξω τούτων· προείρηκε γὰρ ὅτι ἀρτιοπέριττον ἔλεγον τὴν μονάδα· εἰ δὲ ἀρτιοπέριττον, καὶ πε- 20 περασμένον καὶ ἄπειρον, ἄπειρον δὲ τὸ περιττὸν καὶ πεπερασμένον τὸ ἄρτιον κατ' αὐτούς· ἀρχαὶ γὰρ κατ' αὐτοὺς περιττὸν καὶ ἄρτιον πρώτης τῆς μονάδος. καὶ οἱ τὰς δέκα δὲ ἐναντιώσεις ἐν ταῖς ἀρχαῖς θέμενοι τῶν Πυθαγορικῶν εἶεν καὶ αὐτοὶ δυοῖν ἀρχαῖν χρώμενοι· ἀνήγαγον γὰρ ταύτας εἴς τε τὸ ἀγαθὸν καὶ κακόν, τὴν μὲ ἑτέραν τῶν 25 συςοιχιῶν ἀγαθὸν τὴν δὲ ἑτέραν κακὸν λέγοντες. Asclep.

199. ἤρξαντο οὖν οἱ παλαιοὶ φυσικοὶ πρὸ τῶν Ἰταλικῶν, φημὶ δὲ τῶν Πυθαγορείων· καὶ συνήκμασαν γὰρ καὶ συνεπεξετάθησαν τοῖς Πυθαγορείοις. μέχρις οὖν τῶν Ἰταλικῶν ἐγίνοντο καὶ πάλιν χωρὶς ἐκείνων. "μονιμώτερον" εἰρήκασιν, τουτέςι μετριώτερον, ἤγουν 30 σκοτεινότερον ἢ μαλακώτερον· οὐ γὰρ διηρθρωμένως εἰρήκασιν οἱ Πυθαγόρειοι περὶ τῶν ἀρχῶν. πλὴν οἱ μὲ αὐτῶν μίαν ποιοῦσι τὴν ἀρχὴν τὴν ὑλικήν, οἱ δὲ δύο· πρὸς γὰρ τῇ ὑλικῇ ὑπετίθεντο καὶ ποιητικήν, ὥσπερ οἱ περὶ Ἀναξαγόραν. id.

εἶτα τίνα τὰ πολλὰ ἐξηγούμενος προσέθεικε τὸ "τῶν συνωνύ- 20 18.
μων τοῖς εἴδεσιν," ὃ ἴσον ἂν εἴη τοῖς συνωνύμοις αὐτοῖς εἴδεσι· τὰ γὰρ συνώνυμα τοῖς εἴδεσι τοιαῦτα. τοῦτο δέ ἐστιν ὅτι μὴ πάντων τῶν αἰσθητῶν ἔλεγον εἶναι ἰδέας· τῶν γὰρ κατ' χέσιν τῶν ἐν τοῖς πρός τι οὐκ
5 ἔθεντο εἶναι ἰδέας, ἀλλ' οὐδὲ τῶν παρὰ φύσιν τινός, οὐδ' ὅλως τῶν κακῶν. ἢ εἴη ἂν λέγων "τὰ πολλά" ἀντὶ τοῦ τὰ αἰσθητά, ὡς εἶναι τὸ λεγόμενον, κατ' μέθεξιν τὰ πολλά τε καὶ αἰσθητά ἐστι τῶν εἰδῶν τούτων οἷς ἐστὶ συνώνυμα· οἱ γὰρ ἄνθρωποι κατ' μέθεξιν ἀνθρώπου καὶ ἵπποι ἵππου. ὡς εἶναι τὸ λεγόμενον, κατ' μέθεξιν γὰρ τὸ εἶναι ἔχει τὰ αἰσθητά τε καὶ
10 συνώνυμα τοῖς εἴδεσι, τὴν τῶν εἰδῶν. δύναται καὶ οὕτω τις ἀκούειν τῆς λέξεως· κατ' μέθεξιν γὰρ τῶν εἰδῶν εἶναι τὰ πολλά, πολλὰ δὲ ταῦτα τὰ συνώνυμα ἀλλήλοις· τὰ γὰρ πολλὰ καὶ συνώνυμα ἀλλήλοις τὸ εἶναι ἔχει κατ' μέθεξιν ἰδέας μιᾶς. οὐ γὰρ πάντα μιᾶς ἰδέας μετέχει, ἀλλ' ὅσα ὁμοειδῆ τέ ἐστιν ἀλλήλοις καὶ συνώνυμα. οὐ γὰρ
15 ἂν ταῖς ἰδέαις λέγοι τὰ αἰσθητὰ συνώνυμα εἶναι, ἰσορῶν τὴν Πλάτωνος δόξαν, ὁμωνύμους ἐκείνου λέγοντος τὰς ἰδέας τοῖς γινομένοις πρὸς αὐτάς. ἢ καὶ κατ' Πλάτωνα οὐχ ὁμώνυμοι ἂν εἶεν αἱ ἰδέαι τοῖς πρὸς αὐτάς, ἀλλὰ συνώνυμοι· ἐν οἷς γὰρ χρῆται τῷ ὁμωνύμῳ ὀνόματι, κοινότερον ἀντὶ τοῦ συνωνύμου χρῶτο ἄν. εἰ γὰρ μὴ κατ' τὸν
20 λόγον καὶ τὸ εἶδος ὡμοίωται τῇ ἰδέᾳ τὰ πρὸς αὐτήν, κατ' τί ἂν ἄλλο; οὐδὲν γὰρ ἐκείναις ἄλλο ὑπάρχει, οὐδέ τι αὐταῖς συμβέβηκε. τὰ δὲ κατ' τὸ εἶδος ὅμοια συνώνυμα· εἰ γὰρ ὁ αὐτοάνθρωπος εἶδός τί ἐστιν ἁπλῶν, δῆλον ὅτι τὸ ὡμοιωμένον αὐτῷ κατ' τὸ εἶδος ἂν ὡμοίωτο.
Alex.

25 "τὴν — μετέβαλε" τουτέστι μετέθηκε· τὴν γὰρ ὑπὸ τῶν Πυθα- 20 19.
γορικῶν μίμησιν λεγομένην αὐτὸς μεταβαλὼν μέθεξιν εἶπε. id.

ἐξ ἐκείνων, τουτέστι τοῦ μεγάλου καὶ μικροῦ, συνιόντων καὶ εἰδο- 21 2.
ποιουμένων ὑπὸ τοῦ ἑνός. κατ' μέθεξιν, τουτέστι τῷ μεταλαμβάνειν αὐτοῦ, τὰ εἴδη εἶναι, τουτέστι τὰς ἰδέας, αἵτινες καὶ αὐταὶ ἀριθμοί
30 εἰσιν· εἰδητικοὺς γὰρ ἀριθμοὺς τὰς ἰδέας λέγουσιν. εἰπὼν δὲ τὰ εἴδη προσέθηκε "τοὺς ἀριθμούς·" τὰ γὰρ ὡς ἀριθμοὶ εἴδη αἱ ἰδέαι, ἐπεὶ εἴδη καὶ ἄλλα ἐστίν, ὥσπερ ὕν καὶ ἀριθμοί. id.

ὅτι ἐκεῖνοι μὲν ἓν τὸ ἄπειρον καὶ μίαν τινὰ φύσιν ἔθεντο, τοῦτο δὲ 21 7.
ἣν ὑποκείμενον καὶ ὑλικὸν αὐτοῖς (ἔστι δὲ τοῦτο ὁ ἄρτιος ἀριθμός· ἓν

γὰρ τῷ εἴδει τὸ ἄρτιον, τὸ γὰρ εἰς ἴσα διαιρούμενον), Πλάτων δὲ δυάδα ἐποίει τὸ ὑποκείμενον καὶ τὸ ἄπειρον λέγων, καθὸ μὴ εἰδοποιεῖται καθ' αὑτό· μέγα γὰρ καὶ μικρὸν καὶ ὑπεροχὴν καὶ ἔλλειψιν· ἐν τούτοις γὰρ εἶναι τὴν τοῦ ἀπείρου φύσιν, ἃ ἦν αὐτῷ ἡ ὑλικὴ αἰτία. οὐ ταὐτὸν δὲ τῷ εἴδει τὸ μέγα τῷ μικρῷ, οὐδὲ ἡ ὑπεροχὴ τῇ ἐλλείψει· ἐναντία γὰρ ὥςε οὐκ ἕν. "τὸ δὲ ἄπειρον" εἶπεν ἀντὶ τοῦ τὸ γὰρ ἄπειρον, ὃ κατ' αὐτὸν ἐκ μεγάλου γίνεται καὶ μικροῦ· τοῦτο γὰρ τὸ ἐν τῇ λέξει καταλληλον. id.

ὥσπερ τὰ ἐκμαγεῖα καὶ οἱ τύποι πάντα τὰ ἐναρμοσθέντα αὐτοῖς ὅμοια ποιοῦσιν, οὕτω καὶ ἡ δυὰς ὥσπερ τι οὖσα ἐκμαγεῖον τῶν μετ' αὐτὴν γεννητικὴ ἀριθμῶν γίνεται ἑκάςῳ ᾧ ἂν προσαχθῇ, δύο τε καὶ διπλοῦν ποιοῦσα. τῷ μὲν γὰρ ἑνὶ προσαχθεῖσα τὰ δύο ἐποίησε, δὶς γὰρ ἓν δύο, τοῖς δὲ δύο τὰ τέσσαρα, δὶς γὰρ δύο τὰ τέσσαρα, τοῖς δὲ τρισὶ τὰ ἕξ, δὶς γὰρ τρία ἕξ. ὁμοίως καὶ ἐπὶ τῶν ἄλλων. τὸ δὲ "ἕξω τῶν πρώτων" εἶπεν ἀντὶ τοῦ ἕξω τῶν περιττῶν. οὐκέτι γὰρ τοῦτον τὸν τρόπον ἡ γένεσις τῶν περιττῶν ἀριθμῶν γίνεται· οὐ γὰρ κατὰ διπλασιασμὸν ἢ τὴν εἰς δύο διαίρεσιν ἡ γένεσις τῶν περιττῶν ἀριθμῶν. νῦν μὲν οὖν πρώτους ἀριθμοὺς ἁπλῶς πάντας εἶπε τοὺς περιττούς· πρῶτοι γὰρ οὗτοι τῶν ἀρτίων συνήθως. πρῶτοι δὲ ἀριθμοὶ λέγονται ἁπλῶς οἱ μονάδι μόνῃ μετρούμενοι, ὡς ὁ τρία καὶ ὁ πέντε καὶ ὁ ἑπτά· εἴη δ' ἂν καὶ ἡ δυὰς τοιαύτη. πρὸς ἀλλήλους οἱ κοινὸν μέτρον μονάδα μόνην ἔχοντες, μετρούμενοι μέντοι καθ' ἑαυτοὺς καὶ ὑπ' ἀριθμοῦ τινός. οὕτως ἔχουσι πρὸς ἀλλήλους ὁ ὀκτὼ καὶ ὁ ἐννέα· κοινὸν γὰρ τούτων μέτρον μόνη μονάς, καίτοι ἑκάτερος αὐτῶν ἔχει τινὰ ἀριθμὸν μέτρον, ὁ μὲν ὀκτὼ τόν τε δύο καὶ τὸν τέσσαρα, ὁ δὲ ἐννέα τὸν τρία. νῦν μέντοι πρώτους λέγοι ἂν πάντας τοὺς περιττοὺς ὡς πρώτους τῶν ἀρτίων ὄντας· οὐδεὶς γὰρ αὐτοῖς κατὰ τὸν προειρημένον τρόπον ὑπὸ τῆς δυάδος γεννᾶται· μονάδος γὰρ προςιθεμένης ἑκάςῳ τῶν ἀρτίων ἀριθμῶν οἱ περισσοὶ γίγνονται· μονάδος δὲ καὶ τοῦ ἑνὸς ὡς ἀρχῆς· εἰδοποιὸν γὰρ τοῦτο ἀλλ' οὐκ ὑλικόν. ἀλλ' ὥσπερ ἦν δυὰς τὸ μέγα καὶ τὸ μικρὸν ὁριζόμενα τῷ ἑνί, οὕτω καὶ ἑκάτερον ἐκείνων ὁριζόμενον τῷ ἑνὶ μονὰς αὐτοῦ λέγεται. τὸ δὲ "ἕξω τῶν πρώτων" εἴρηκεν ἀντὶ τοῦ τῶν ἁπλῶς πρώτων· οὗτοι δὲ ἦσαν οἱ μονάδι μόνῃ μετρούμενοι, ὡς τρία, πέντε, ἑπτά. τούτους δὲ μόνους μὴ γεννᾶσθαι ὑπὸ τῆς δυά-

δος, ὅτι οἱ μὴ ἄλλοι πάντες οἱ παρὰ τὺς πρώτυς γεννῶνθ ἀριθμῦ ἐπ' ἀριθμῷ γενομένυ. διὸ ἐπειδὴ ἡ γένεσις αὐτῶν ἐκ δύο ἀριθμῶν, ἐκ δυάδος ἂν εἶεν γενόμενοι· οἱ δὲ ἁπλῶς πρῶτοι μὴ γενόμενοι ὕτως ὐδ' ἂν ὑπὸ τῆς δυάδος γεννᾶθαι λέγοιντο. id.

5 τῶν τεσσάρων αἰτίων ὧν ἐξέθετο ὗτος, τοῖς δύο φησὶ κε- 21 26.
χρῆθαι Πλάτωνα, τῇ τε ὑλικῇ καὶ τῇ κατ' τὲ εἶδος· τὰ γὰρ εἴδη καὶ αἱ ἰδέαι αὐτῷ τῦ εἴδυς εἰσὶ παρεκτικαὶ αἰτίαι, ὥσπερ ἂν καὶ αὐτοῖς πάλιν τοῖς εἴδεσι καὶ ταῖς ἰδέαις τὲ ἓν αἴτιον τῦ εἴδυς· ἡ γὰρ δυὰς ὕλης ἐν αὐτοῖς ἐπέχει λόγον. φέρεθ ἔν τισι γραφὴ τοιαύτη "τὰ
10 γὰρ εἴδη τῦ τί ἐςιν αἴτια τοῖς ἄλλοις, τοῖς δὲ εἴδεσι τὲ ἓν καὶ τῇ ὕλῃ." καὶ εἴη ἂν δι' αὐτῆς λεγόμενον ἔτι τοῖς ὐκ εἰδόσι τὴν Πλάτωνος δόξαν τὴν περὶ τῶν ἀρχῶν ὅτι τὲ ἓν καὶ τῇ ἰδέᾳ αἴτιον τῦ τί ἔςιν. ἀμείνων μέντοι ἡ πρώτη γραφὴ ἡ δηλῦσα ὅτι τὰ μὴ εἴδη τοῖς ἄλλοις τῦ τί ἔςιν αἴτιον, τοῖς δὲ εἴδεσι τὲ ἕν. ἱςορεῖ δὲ Ἀσπά-
15 σιος ὡς ἐκείνης μὴ ἀρχαιοτέρας ὕσης τῆς γραφῆς, μεταγραφείσης δὲ ταύτης ὕςερον ὑπὸ Εὐδώρυ καὶ Εὐαρμόςυ. id.

εἰπὼν δὲ "τὰ γὰρ εἴδη τῦ τί ἔςιν αἴτια τοῖς ἄλλοις, τοῖς δὲ 21 29.
εἴδεσι τὲ ἕν," λέγων καὶ περὶ τῆς ὕλης τῆς ὑπὸ τῶν προειρημένων εἰδοποιυμένης, ἧς ἐν ἀμφοτέροις ἐμνημόνευσεν εἰπὼν "καθ'
20 ἧς τὰ εἴδη τὰ μὴ ἐπὶ τῶν αἰθητῶν τὰ δὲ ἐπὶ τοῖς εἴδεσι λέγεθ," ἴσον λέγων τῷ καθ' ἧς τὰ εἴδη λέγεθ τά τε ἐπὶ τοῖς αἰθητοῖς καὶ τὰ ἐπὶ τοῖς εἴδεσι, τυτέςι ταῖς ἰδέαις· λέγεθ γὰρ καὶ ἐν ἐκείναις καὶ ἐν τοῖς αἰθητοῖς εἶναί τις ὕλη ὑποκειμένη, καθ' ἧς τὰ εἴδη, τυτέςιν ἡ εἰδοποιυμένη· ὅτι γὰρ δυὰς ἐςιν αὕτη, δυὰς δὲ πο-
25 ταπή, διὰ τῆς προθήκης ἐδήλωσεν· ὐ γὰρ ἡ ὡρισμένη καὶ ἐν τοῖς ἀριθμοῖς, ἀλλ' ἡ ἀόριςος· τοιαύτη γὰρ τὲ μέγα καὶ τὲ μικρόν. γράφεθ καὶ ὕτως "καθ' ἧς τὰ εἴδη μὴ ἐπὶ τῶν αἰθητῶν, τὲ δὲ ἓν ἐν τοῖς εἴδεσι λέγεθ," καὶ εἴη ἂν τὲ λεγόμενον, καθ' ἧς ὕλης τὰ μὴ εἴδη ἔςι τε καὶ λέγεθ ἐν τοῖς αἰθητοῖς· ἐν γὰρ τῇ ὕλῃ ταύτῃ τὰ
30 εἴδη ἔςι τὰ τῶν αἰθητῶν, τὲ δὲ ἓν ἐπὶ τῶν ἐν τοῖς εἴδεσι καὶ ταῖς ἰδέαις· ἡ γὰρ ἐν ἐκείναις ὕλη ὑπὸ τῦ ἑνὸς εἰδοποιεῖθ. id.

εἰπὼν δὲ τὴν ὑλικὴν ἀρχὴν τὺς μὴ σωματικὴν τὺς δὲ ἀσώ- 22 14.
ματον ὑποτιθέναι, πρῶτον ἐμνημόνευσε τῶν ἀσώματον λεγόντων Πλάτωνος, ὃς τὲ μέγα καὶ τὲ μικρὸν ἔλεγεν, καὶ τῶν Πυθαγορικῶν,

οἷ τὸ ἄπειρον, τοῦτο δ' ἦν τὸ ἄρτιον. οὐκ ἐμνημόνευσε δὲ Λευκίππου τε καὶ Δημοκρίτου, καθ' οὓς καὶ σῶμά τι καὶ ἀσώματον ἡ ὕλη· τὸ γὰρ κενὸν οὕτως ἦν. φθάνει δὲ καὶ προειρηκέναι περὶ τούτων. προσέθηκε δὲ τῇ ἱστορίᾳ καὶ τὴν Ἀναξιμάνδρου δόξαν, ὃς ἀρχὴν ἔθετο τὴν μεταξὺ φύσιν ἀέρος τε καὶ πυρός, ἢ ἀέρος τε καὶ ὕδατος· λέγει γὰρ ἀμφοτέρως. id.

22 9. "περὶ δὲ τῆς ἀληθείας." ἀλήθειαν ἔθος αὐτῷ λέγειν τὴν θεωρητικὴν φιλοσοφίαν. id.

22 12. ὅτι δὲ καὶ περὶ τῶν τεσσάρων αἰτίων λόγον ἐν τῷ πρώτῳ τῆς Φυσικῆς Ἀκροάσεως προηγουμένως πεποίηται, πρόχειρον εἰδέναι τοῖς ἐντυγχάνουσι· διὸ εἶπε "τῶν ἐν τοῖς περὶ φύσεως ἡμῖν διωρισμένων." καὶ ἔπεισι καὶ δείκνυσι πῶς οὐδεὶς ἔξω τῶν ἐν τοῖς περὶ φύσεως αἰτίων εἰρημένων ἥψατο. id.

23 7. ὁ γὰρ Ἀναξαγόρας τὸν νοῦν εἰσαγαγὼν καὶ ὁ Ἐμπεδοκλῆς τὴν φιλίαν ἀγαθὰ μὲν καὶ ἀγαθοποιὰ αἴτια τίθενται ταῦτα, οὐ μὴν τούτου χάριν τὰ γινόμενα γίνεσθαί φασιν, ἀλλ' αὐτὰ ταῦτα τὰ ποιητικὰ ἀγαθά ἐστιν αὐτοῖς. τούτων δὲ ὁμοίως καὶ τοὺς τὸ ἓν καὶ τὴν ἰδέαν ἀρχὰς θεμένους φησὶν εἰρηκέναι· τοὺς αὐτοὺς δὲ λέγει ἂν καὶ τὸ ὂν λέγειν· τὸ γὰρ ἓν καὶ τὸ ὂν Πλάτων ἔλεγεν, ὃν λέγων τό τε ἓν καὶ τὴν ἰδέαν· ταῦτα γὰρ κυρίως ὄντα. οὐ γὰρ τούτων ἕνεκεν γίγνεσθαι τὰ γιγνόμενα, ἀλλ' ἔστι ταῦτα αὐτοῖς τοῦ εἶναι αἴτια παρεκτικά· τοῦ γὰρ εἴδους τοῦτο αἴτιον, ἀλλ' οὐ τούτων χάριν ἐκεῖνα γίγνεταί τε καὶ ἔστι κατ' αὐτούς. id.

23 15. "κατὰ συμβεβηκός." καὶ λέγει αὐτοὺς τοῦ ὡς ἀγαθοῦ αἰτίου μνημονεύειν, ὅτι τὸ ἀγαθῷ αὐτῷ αἴτιον εἶναι ἔστι τὸ τούτου ἕνεκα τὰ γιγνόμενα γίγνεσθαι. id.

23 20. τὸ δὲ "ἢ ὅτως" σημαίνει ἂν ἴσον τῷ ἢ ὅτως ἀπάσας ζητεῖσθαι, ἢ ἐκ τῶν τεσσάρων τούτων τινάς· καὶ γὰρ εἰ μὴ ἡ παροῦσα πραγματεία ἀπαιτεῖ τὸν περὶ πάντων τῶν αἰτίων λόγον, ἀλλ' ὅ γε ζητούμενος τῶν αἰτίων τρόπος ἐν τοῖς τέτρασι καὶ αὐτός ἐστι, καὶ οὐκ ἐκπίπτει τὰ αἴτια ταῦτα, διὰ τὸ μηδὲ εἶναι τρόπον ἄλλον τινὰ παρὰ τούτους αἰτίου. id.

23 31. τρίτον δὲ τὸ τὸ εἶδος μηδενὸς αἴτιον θέσθαι, πάντων τῶν ὄντων παρὰ τοῦ εἴδους τὸ εἶναι ἅπερ ἔστιν ἐχόντων· κοινὴν γὰρ τὴν ὕλην οὐδὲν

ἀλλήλων διαφέρουσιν· ἡ αὐτὴ γὰρ ἐν πᾶσιν. εὐλόγως δὲ οὐσίαν εἶπε τὸ εἶδος· τὸ γὰρ εἶναι ἑκάστῳ παρ' αὐτοῦ. τετάρτη ἁμαρτία τὸ τῶν πρώτων σωμάτων λαβόντας προχείρως τὸ δόξαν αὐτοῖς τοῦτο ἀρχὴν θέσθαι· τοῦτο δὲ ὅτι ἀδύνατον, δείκνυσι καὶ ἐν
5 τῷ δευτέρῳ περὶ Γενέσεως (c. 6), καὶ αὐτὸ ἐπισημαίνεται εἰρηκέναι ἐν τοῖς περὶ φύσεως, λέγων οὕτως πᾶσαν τὴν φυσικὴν πραγματείαν. εἰ γὰρ ἢ τὰ τέσσαρα σώματα ἢ τινα ἐξ αὐτῶν ἀρχαὶ ἢ ἕν τι τὸ τυχὸν τῶν τεσσάρων, ἢ οὐκ ἔσονται ἐξ ἀλλήλων, ἵνα ᾖ ἄφθαρτα, ἢ ὅταν γένηται ἐξ ἀλλήλων, ὑπομένοντα ἅ ποτε ἔστιν
10 ἅμα καὶ τἀναντία εἰς ἃ μεταβάλλει ἔσται, καὶ οὕτως τῷ ὄντι ἅμα ἔσται τὰ ἐναντία, πῦρ τε καὶ ὕδωρ, ἂν οὕτω τύχοι. ἢ εἰ μὴ ὑπομένει, φθαρήσεται καὶ οὕτως καὶ ἡ ἀρχή· ὅπερ ἄτοπον· ἔστι γὰρ ἀρχὴ ἐξ ἧς πρώτης γίγνεται καὶ εἰς ἣν ἐσχάτην ἀναλύεται, αὕτη δὲ ἐκ μηδενός. ἀλλὰ τούτου μὴ οὐ νῦν τοῦ καὶ αὐτοῦ ἑπομένου αὐτοῖς ἀτόπου
15 μνημονεύει· ἐκεῖνο δὲ αἰτιᾶται, ὅτι ῥᾳδίως καὶ χωρὶς τοῦ ἐπισκέψασθαι πῶς τοῖς ἁπλοῖς σώμασιν ἡ γένεσις ἐξ ἀλλήλων, ἔθεντό τι τῶν ἁπλῶν σωμάτων τῶν τριῶν ἓν στοιχεῖον τῶν ἄλλων· χωρὶς γὰρ τῆς γῆς τῶν ἄλλων ἕκαστον ὑπό τινων στοιχεῖον εἴρηται. ὁ δὲ αἰτιᾶται αὐτός ἐστιν ὅτι ἔδει μὴ ἀπὸ τοῦ τρόπου τῆς ἐξ ἀλλήλων γενέσεως
20 ἐξ αὐτῶν τὸ πρῶτον καὶ τὴν ἀρχὴν λαβεῖν, ἐπεὶ τὸ ἐξ ἀλλήλων αὐτὰ γίνεσθαι κοινὸν πᾶσι, καὶ κατὰ τοῦτο οὐδὲν αὐτῶν ἄλλο ἄλλου πρῶτον ἢ ὕστερον· οἱ δὲ οὐκ ἐποίησαν τοῦτο. τίς δὲ ἡ τῆς ἐξ ἀλλήλων γενέσεως αὐτοῖς διαφορά, αὐτὸς εἶπε· τὰ μὲν γὰρ διακρίσει γίγνεται 24 5.
ἐξ ἀλλήλων, ἐξ ὧν ἔστι λαβεῖν τὸ πρῶτόν τε καὶ ὕστερον, τὰ δὲ
25 συγκρίσει. εἰπὼν δὲ ταῦτα δείκνυσιν ὅτι κατὰ τοὺς τῆς γενέσεως τρόπους σκοπουμένους κατὰ τὶ μὲν δόξει πρῶτον εἶναι τῶν σωμάτων, ἐξ οὗ πρώτου κατὰ σύγκρισιν ἡ τῶν ἄλλων γένεσις· τοιοῦτον δ' ἂν εἴη τὸ μικρομερέστατον καὶ λεπτότατον. id.

ἴσως δ' ἂν περὶ τῆς γῆς λέγοι τὸ ὅτι εἰ μὴ διὰ τὸν τρόπον τῆς 24 17.
30 γενέσεως ἔλεγον ἐκεῖνα στοιχεῖα, διὰ τί ποτε οὐ καὶ τὴν γῆν ἔλεγον, τῆς κοινῆς ταύτην δόξης λεγούσης; εἰπὼν δὲ ταῦτα ἀνατρέχει πάλιν ἐπὶ τὰ εἰρημένα, τὰ ὅτι δοκεῖ τὸ λεπτομερέστερον στοιχεῖον, καί φησιν ὅτι κατὰ τὴν δόξαν ταύτην οὐδεὶς τῶν παρὰ τὸ πῦρ ἄλλο τι σῶμα τὸ στοιχεῖον θεμένων ἢ τούτων τῶν τεσσάρων ἢ τῶν μεταξὺ σῶμα

πυρός τε καὶ ἀέρος ὀρθῶς ἂν εἴη λέγων. ὃ εἰπὼν προσίθησι καθ' ὃν
24 25. λόγον δύναιτο ἂν πάλιν ἡ γῆ στοιχεῖον λέγεσθαι, λέγων "εἰ δέ ἐστι
τὸ τῇ γενέσει πρότερον τῇ φύσει ὕστερον." ἔστι γὰρ ὃ λέγει τοιοῦτον·
δοκεῖ ἀεὶ τῇ φύσει πρότερον εἶναι τὸ τελειότερον τοῦ ἀτελεστέρου, καὶ
ἔστι τὸ ὕστερον μὲν τῇ γενέσει γινόμενον τελειότερον, προϋπάρχον τῷ 5
χρόνῳ. id.

25 2. "καὶ εἴ τις ταῦτα πλείω τίθησι," τουτέστι καὶ εἴ τις τὰς σωματικὰς ἀρχὰς πλείους τίθησιν. ἢ οὐχ ἁπλῶς περὶ τῶν σωματικάς τε τὰς ἀρχὰς καὶ πλείους θεμένων λέγει, ἀλλὰ καὶ περὶ τῶν μὴ ἓν ἀλλὰ πλείω τῶν σωμάτων τούτων τῶν τεσσάρων ἐν ταῖς ἀρχαῖς 10 θεμένων, ὧν σωμάτων ἕν τι ἐν ἀρχῇ ὑπὸ τῶν προειρημένων ἐτίθετο. μνημονεύει γὰρ Ἐμπεδοκλέους, ὃς τὰ τέσσαρα σώματα ὕλην τῶν ὄντων ἐτίθετο. id.

25 8. ἐπὶ πλέον δὲ εἴρηκε περὶ τούτων καὶ ἐν τῷ τρίτῳ περὶ Οὐρανοῦ (c. 7), ὡς ὑπομιμνήσκων ἡμᾶς εἶπεν "εἰρηται δὲ ἐν τοῖς περὶ φύ- 15 σεως περὶ αὐτῶν." ἢ γὰρ οὐκ ἔσται ἐξ ἀλλήλων, εἰ ἀΐδια καὶ ἀριθμόν, φαίνεται δὲ γιγνόμενα, ἢ ἔσται ἅμα τὰ ἐναντία περὶ τὸ αὐτό. ἔτι τὸ τὴν οὐσίαν καὶ τὸ εἶδος μὴ θεῖναι ἐν τοῖς αἰτίοις· καὶ γὰρ τοῦτο κοινόν. ἴδιον δὲ πρὸς τὰς κινητικὰς ἀρχὰς λεγόμενον ὑπ' αὐτοῦ, εἴεν δὲ αὗται ἥ τε φιλία καὶ τὸ νεῖκος, πότερον δύο ἀρχὰς κατ' 20 αὐτὸν θετέον ταύτας ἢ μίαν. φαίνεται γὰρ καὶ ἡ φιλία τὰ τοῦ νείκους ποιοῦσα· διαιρεῖ γὰρ καὶ διακρίνει τὰ κατ' ἰδίαν ὅλα ὄντα, ἵνα συγκρίνῃ καὶ ἓν σῶμα ποιήσῃ. ἀλλὰ καὶ τὸ νεῖκος αὐτῷ οὐ μόνον διακρίνει, ἀλλὰ καὶ συγκρίνει καὶ συνάγει τὰ ὅμοια πρὸς ἄλληλα, χωρίζον ἐκ τῆς ἑνώσεως αὐτά· ὥστε οὐδὲν θάτερον θατέρου μᾶλλον 25 τῶν ἀντικειμένων ἐστὶν αὐτῷ ποιητικόν. ἢ ἄμεινον γεγράφθαι τὸ "ὅτε ἀλόγως," ἵνα ᾖ τὸ λεγόμενον ὅτε πάντῃ ὀρθῶς ὅτε ἀλόγως πάντῃ. id.

24 25. γῆν γὰρ μόνον αὐτὴν καθ' αὐτὴν οὐδεὶς ὑπέθετο· ὁ γὰρ Ξενοφάνης γῆν καὶ πῦρ ὑπετίθετο ἀρχὰς τῶν ὄντων. Asclep. 30

25 19. συνάγει γὰρ ἐκ μὲν τοῦ λέγειν πάντα αὐτὸν ἐν πᾶσι μεμῖχθαι ὅτι τὴν ὕλην ὀνειροπολεῖ, ἥτις δυνάμει μέν ἐστι πάντα, ἐνεργείᾳ δὲ οὐδὲν ὧν δύναται. καὶ γὰρ εἰ μὴ εἶπε σαφῶς ταῦτα, ἀλλ' ἐπηκολούθησε τοῖς τὴν δόξαν αὐτοῦ οὕτως ἐξηγουμένοις, ὡς καὶ αὐτὸς

ταῦτα βυλόμενος λέγειν, ὅτι ταῦτα μὴ λόγον ἔχει, ἃ δὲ δοκεῖ λέγεσθαι ὑπ' αὐτοῦ ἄτοπα παντάπασιν. Alex.

ἔτι δὲ διὰ τὸ ἀκολουθεῖν τῷ ὕτως λέγοντι τὰ πάθη καὶ τὰ συμβεβηκότα χωρίζεσθαι τῆς οὐσίας καθ' αὐτὰ ὑφέσταναι· ὧν γὰρ μῖξις, τούτων καὶ χωρισμός· ὥστε καὶ εἰ ταῦτα μέμικται, τῶν πάντων γὰρ καὶ ταῦτα, χωρίζοιτο ἄν. ὄντος δὴ τοῦ ταῦτα λέγειν ἀτόπου (ὁ γὰρ καὶ σύνδεσμος ἐκ περισσοῦ δοκεῖ προσκεῖσθαι). id.

λέγει γὰρ πλὴν τοῦ νοῦ πάντα μεμῖχθαι, τοῦτον δὲ μόνον ἀμιγῆ καὶ καθαρὸν εἶναι. τὸ δὲ "ἐξ ἀνάγκης" τοῦ ἤδη εἶναι καὶ ἐνεργείᾳ δηλωτικὸν παρέθετο. id.

"βούλεται μέντοι παραπλήσιον τοῖς τε ὕστερον λέγουσι," τοῖς περὶ Πλάτωνα λέγει, τοῖς τὸ ἓν καὶ τὴν ἀόριστον δυάδα ἀρχὰς θεμένοις τῶν ὄντων. "καὶ τοῖς φαινομένοις μᾶλλον," ἐλλείπει τὸ ἀκόλουθα· ἀκόλουθα γὰρ ταῦτα μᾶλλον τοῖς φαινομένοις ὧν λέγει δοκεῖ. id.

αἰτιᾶται τοὺς Πυθαγορικούς, οἳ δοκοῦσι καὶ αὐτοὶ τῆς ἀσωμάτου φύσεως μνημονεύειν, ὅτι ἀρχὰς μὴ ὑπέθεντο ξενικωτέρας καὶ ἀπηρτημένας τῶν φυσικῶν καὶ ἐκτοπωτέρας, τουτέστιν ἐπὶ πλέον ἐκτεταμένας καὶ ἐκβεβηκυίας καὶ δυναμένας καὶ ἄλλων φύσεων ἀρχὰς εἶναι· ἀσωμάτους γὰρ καὶ ἀκινήτους· οἱ γὰρ ἀριθμοὶ τοιοῦτοι· οὐ γὰρ προσεχεῖς τοῖς φυσικοῖς. οὐδὲ οἰκείας καὶ ὁμολογουμένας ταῖς κοιναῖς προλήψεσι καὶ ταῖς τῶν φυσικῶν δόξαις ὑπέθεντο τὰς ἀρχάς· προσεχέστεραι γὰρ τοῖς φυσικοῖς σώμασιν αἱ ὑπ' ἐκείνων ἀρχαὶ τεθεῖσαι καὶ φανερώτεραι. οὗ τὸ αἴτιον ἅμα ἀποδίδωσιν, ὅτι οὐκ ἐκ τῶν αἰθητῶν ὁρμώμενοι ἔθεντο καὶ ἔλαβον αὐτάς (τὸ γὰρ "παρέλαβον" ἀντὶ τοῦ ἔλαβον εἶπεν), ἀλλὰ ἐκ τῶν μαθημάτων, οἷς ἐντραφέντες ἐκ τούτων καὶ τούτοις ἀκολούθως ἔθεντο καὶ τὰς ἀρχάς. ταῦτα δέ ἐστι τὰ μαθηματικά, ὧν κατ' αὐτοὺς ἀρχαὶ οἱ ἀριθμοί. id. 26 36.

ἃ γὰρ λέγουσι περὶ τῶν σωμάτων, οὐ μᾶλλον ταῦτα ἁρμόζει τοῖς φυσικοῖς ἢ τοῖς μαθηματικοῖς σώμασιν· ἰσότητες γὰρ καὶ ἀνισότητες καὶ σχήματα καὶ τὰ τοιαῦτα κοινὰ τούτων τε κἀκείνων τῶν σωμάτων. εἰ δὲ τὰ ἴδια μὴ τοῖς φυσικοῖς σώμασι καθ' ἅ ἐστι φυσικὰ μὴ ἀποδιδόασι (ταῦτα δέ ἐστι βαρύτης κουφότης, θερμότης ψυχρότης, ὑγρότης ξηρότης), οὐδ' ἂν περὶ τῶν φυσικῶν σω- 27 15.

μάτων εἶεν λέγοντες, περὶ ὧν λέγειν ἐβούλοντο τότε καὶ προετίθεντο. id.

27 22. δεῖ μὲν γὰρ ἄλλο τι εἶναι τὸ αἴτιον καὶ τὸ αἰτιατόν, οἱ δὲ ἀριθμοὺς λέγοντες εἶναι τόν τε κόσμον καὶ ἕκαστον τῶν ἐν τῷ κόσμῳ, καὶ τούτων ἀρχὰς τοὺς ἀριθμοὺς ὑποθέμενοι, ἀριθμὸν ἄλλον παρὰ τοῦτον οὐ λέγουσιν, ὥσπερ Πλάτων ἐποίει, ἄλλον μὲν λέγων τὸν εἰδητικὸν ἀριθμόν, ὃν καὶ αἴτιον ἐτίθετο, ἄλλον δὲ τὸν ἐν τοῖς αἰσθητοῖς. οὕτως δὲ λέγοντες αὐτὸν αὐτοῦ ἂν τὸν ἀριθμὸν αἴτιον λέγοιεν, εἴγε αἴτιον ἔν ἐστι τῶν ἐν τῷ κόσμῳ ὄντων, ταῦτα δὲ αὐτός ἐστιν. id.

27 19. ἐπειδὴ τοὺς ἀριθμοὺς ἀρχὰς ἔλεγον τοῦ τε οὐρανοῦ καὶ τῶν κατ' οὐρανὸν πάντων οἱ Πυθαγόρειοι, καὶ τὰ πάθη τῶν ἀριθμῶν, οἷον ἄρτιον καὶ περισσὸν καὶ τὸ πεπερασμένον καὶ τὸ ἄπειρον, ὡς πολλάκις εἴρηται, ἄλλους δὲ ἀριθμοὺς κεχωρισμένους τῶν αἰσθητῶν, καθάπερ Πλάτων, οὐκ ἔλεγον εἶναι, ἵν' ᾖ ὁ μὲν κεχωρισμένος αἴτιος, ὁ δὲ θεωρούμενος ἐν τῷ παντὶ καὶ ἀπ' ἐκείνου, πῶς, φησί, δεῖ λαβεῖν τὸν ἀριθμὸν καὶ τὰ τοῦ ἀριθμοῦ πάθη αἴτια τῶν ὄντων καὶ γινομένων καὶ τῶν ἐξ ἀρχῆς ὄντων καὶ νῦν; εἴπερ ἕτερος οὐκ ἔστιν ἀριθμός, αὐτὸς ἄρα αὐτοῦ αἴτιός ἐστιν. τὸ δὴ αἴτιον ἕτερον δεῖ εἶναι τοῦ οὗ ἐστὶν αἴτιον, καὶ πρότερον τὸ αἴτιον αὐτοῦ· αὐτὸς ἄρα ὁ ἀριθμὸς πρότερος αὐτὸς αὐτοῦ ἐστὶ καὶ ὕστερος, καὶ ὧν καὶ γινόμενος. τοῦτο δὲ ἄτοπον. δείκνυσι δὲ τὸ ἄτοπον ἐφεξῆς λέγων "ὅταν γάρ." cod. Laur.

27 23. "ὅταν — ἢ." διὰ τούτων δείκνυσι πῶς ἐποίουν τὸν κόσμον καὶ τοὺς ἐν αὐτῷ ἀριθμούς. ἀεὶ ἀριθμοὺς λέγοντες καὶ αἰτίας αὐτῶν ἀριθμοὺς τιθέμενοι, ἄλλους ἀριθμοὺς παρὰ τούτους οὐκ ἔλεγον, αὐτοὺς δὲ αὐτῶν ἔλεγον εἶναι τοὺς ἀριθμοὺς αἰτίους, καὶ τὸ αὐτὸ αὐτοῖς γίνεσθαι αἴτιόν τε καὶ αἰτιατόν. ἔλεγον γὰρ ἐν τινὶ μὲν μέρει τοῦ κόσμου δόξαν συνίσταθαι, ἐν ἄλλῳ δὲ καιρόν, πάλιν δ' αὖ ἐν ἄλλῳ ἢ κάτωθεν τούτων ἢ ἄνωθεν ἢ ἀδικίαν ἢ κρίσιν ἢ μῖξιν ἢ ἄλλο τι τῶν ἐν τῷ οὐρανῷ. τῆς δὲ τούτων κατὰ τὴν τάξιν τὴν τοιαύτην συστάσεως ἀπόδειξιν ἔφερον ὅτι τούτων μὲν ἕκαστον τοῦ ἀριθμοῦ ἐστίν, ἑκάστῳ δὲ τόπῳ ἐν τῷ κόσμῳ οἰκεῖός τίς ἐστιν ἀριθμός. τῷ μὲν γὰρ μέσῳ τὸ ἕν, πρῶτον γάρ ἐστιν ἐνταῦθα· μετὰ δὲ τὸ μέσον τὰ δύο, ἃ δόξαν τε ἔλεγον καὶ τόλμαν· καὶ οὕτως ἀεὶ ἀφιστάμενον ἀπὸ τοῦ μέσου πλείονα τὸν ἀριθμὸν γίγνεσθαι τῶν συνιστάμενων διὰ τὸ καὶ τοὺς

ἀριθμὺς ἐξ ὧν συνίςαν), μᾶλλον δὲ οἷς ἔςι ταῦτα, τοιύτυς εἶναι· τὰ γὰρ τῶν ἀριθμῶν πάθη καὶ τὺς ἀριθμὺς τοῖς τόποις ἀκολυθεῖν τοῖς ἐν τῷ ὑρανῷ καὶ οἰκείυς αὐτοῖς εἶναι· διὸ καὶ τὰ μεγέθη ἐκ τύτων ἐπισυμβαίνειν. δύναται τὸ "συμβαίνει δὲ καὶ τὸν τόπον τῦτον ἤδη πλῆθος εἶναι τῶν συνιςαμένων μεγεθῶν" εἰρηκέναι ἢ τὺς παρ' ἡμῖν καὶ ἐπὶ τῆς γῆς τόπυς, ὡς ἐν τύτῳ διὰ τῦτο πλήθυς μεγεθῶν συνιςαμένυ, διὰ τὸ καὶ τὸν ἀριθμὸν ἤδη ἐν τύτῳ πλείω εἶναι, ὧν τὰ πλείω ὄντα τὰς διαφοράς τε καὶ τὸ πλῆθος τῶν μεγεθῶν ποιεῖν· τὺς γὰρ ἀριθμὺς καὶ τὰ πάθη αὐτῶν ἀκολυθεῖν κατ' οἰκειότητα τοῖς τόποις ἑκάςοις. ἢ καὶ ἁπλύςερον καὶ κοινότερον τῦ ἕν τινι τόπῳ πλείοσιν αὐτὰ συνιςάμενα αἴτια λέγειν τε καὶ ἀριθμὺς ἤδη πλείυς εἶναι ἐν τῷ τόπῳ τύτῳ, ὡς τῷ πλήθει τύτων ἀκολυθῦντος τῦ τῶν πραγμάτων πλήθυς· διὰ τὸ τὰ πράγματα καὶ τὺς ἀριθμὺς αὐτῦ καὶ αὐτὸν ἐν ἀριθμῷ τὸν κόσμον ποιῦσι. πότερον δὲ ὗτος ὁ ἐν τῷ ὑρανῷ ἀριθμός ἐςιν ὃν δεῖ λαβεῖν τὸν αἴτιον τῶν ἐν τῷ ὑρανῷ γινομένων, ὡς αὐτὸν αὐτῦ εἶναι αἴτιον, ἢ ἄλλος τις τύτυ αἴτιος; εὐλογώτερον γὰρ ἄλλον λέγειν, ὡς καὶ Πλάτων ἐποίει. τῆς δὲ τάξεως τῆς ἐν τῷ ὑρανῷ, ἣν ἐποιῦντο τῶν ἀριθμῶν οἱ Πυθαγόρειοι, μνημονεύει ἐν τῷ δευτέρῳ περὶ τῆς Πυθαγορικῶν δόξης. Alex.

τὴν γὰρ γῆν κέντρον ἔλεγον καὶ ἀναλογεῖν τῇ μονάδι. ὥσπερ ὧν αἱ ἀπὸ τῦ κέντρυ ἐπὶ τὴν περιφέρειαν ἠγμέναι εὐθεῖαί εἰσι μείζονες, ὕτως καὶ ὁ ἀπὸ τῆς μονάδος ἀρχόμενος ἀριθμὸς ἐπ' ἄπειρον αὔξεται. συμβαίνει ὧν καὶ τῦτον τὸν τρόπον ἤδη πλῆθος εἶναι μεγεθῶν. λέγει δὲ περὶ τῦ ἐν τῇ γῇ τόπυ ὡς ἐν τύτῳ διὰ τῦτο πλήθυς μεγεθῶν συνιςαμένυ, διὰ τὸ καὶ τῶν ἀριθμῶν εἴδη πλείονα ἐν τύτῳ εἶναι, ἐπειδὴ αἱ ἀπὸ τῦ κέντρυ, ὡς εἰρήκαμεν, περιφέρειαι μείζονές εἰσι τῶν μὴ ἀπὸ τῦ κέντρυ. καὶ τὸ ἀπὸ τῆς μονάδος ὧν ἐπ' ἄπειρον αὔξεται· μονὰς δὲ ἡ γῆ ὡς κέντρον. ἢ πλῆθος λέγει τὸν ἀριθμὸν ὡς τῷ πλήθει τῶν ἀριθμῶν ἀκολυθῦντος τῦ τῶν πραγμάτων πλήθυς διὰ τὸ τὰ πράγματα τὺς ἀριθμὺς εἶναι. Asclep. 27 23.

"μικρὸν — κρίσις." οἱ τὰ πράγματα τὺς ἀριθμὺς εἶναι λέγοντες ταύτην τὴν τάξιν αὐτοῖς ἀπένειμαν ἐν τῷ ὑρανῷ, ἣν ἔχειν ᾤοντο καὶ τὺς ἀριθμύς, οἷς ἔλεγον εἶναι ταὐτά. οἷον ἣν ᾤοντο τά- 27 24.

ξιν ἔχειν τὴν δυάδα, ταύτην ἔλεγον ἔχειν τὴν τάξιν ἐν τῷ κόσμῳ τὴν δόξαν, ἐπειδὴ δυὰς ἦν δόξα αὐτοῖς. πάλιν ἣν τάξιν ἡ ἑπτάς, ταύτην ἀπεδίδοσαν ἐν τῷ κόσμῳ τῷ καιρῷ, ἐπεὶ καὶ τὸν ἑπτὰ ἀριθμὸν καὶ καιρὸν ἡγοῦντο εἶναι. μικρὸν δὲ ἄνωθεν τοῦ καιροῦ ἢ κάτωθεν ἐποίουν, εἰ ἔτυχεν, ἀδικίαν ἢ κρίσιν, ὅτι καὶ ἡ τῶν αὐτῶν τούτοις ἀριθμῶν τάξις ἡ αὐτὴ ἦν. γράφεται δὲ ἔν τισιν ἀντιγράφαις ἀντὶ τοῦ ἀδικίαν "ἀνικίαν·" ἀνικίαν δέ φασιν ὑπὸ τῶν Πυθαγορείων λέγεσθαι τὴν πεντάδα, τοῦτο δὲ ὅτι τῶν ὀρθογωνίων τριγώνων τῶν ἐχόντων ῥητὰς τὰς πλευρὰς πρῶτόν ἐστι τῶν περιεχουσῶν ὀρθὴν γωνίαν πλευρῶν, ἡ μὲν τριῶν ἡ δὲ τεττάρων, ἡ δὲ ὑποτείνουσα πέντε. ἐπεὶ τοίνυν ἡ ὑποτείνουσα ἴσον δύναται ἀμφοτέραις ἅμα, διὰ τοῦτο ἡ μὲν δυναμένη καλεῖται αἱ δὲ δυναστευόμεναι, καὶ εἰσὶ πέντε. τήν τε πεντάδα ἀνικίαν ἔλεγον ὡς μὴ νικωμένην ἀλλ' ἀήττητον καὶ κρατοῦσαν. εἴτε δὲ "ἀνικίαν" χρὴ γράφειν εἴτε "ἀδικίαν," ὁ νοῦς τῶν λεγομένων γνώριμος. καὶ περὶ μὲν τῶν Πυθαγορικῶν, φησίν, ἀφείσθω τὰ νῦν, ἱκανὸν γὰρ αὐτῶν ἅψασθαι μόνον, παραιτούμενος τὴν ἐπιπλεῖον ἐξέτασιν τούτων τὰ νῦν, ὅτι μηδὲν πλέον ἐν τοῖς οὖσι τῶν φυσικῶν κατέλιπον· ἐρεῖ μέντοι τὴν περὶ τῶν ἀρχῶν δόξαν αὐτῶν ἔτι πᾶσαν τῆσδε τῆς πραγματείας ἐπὶ τέλει. Alex.

28 8. "οἱ — αἰτίας." αἰτιᾶται τῶν τὰς ἰδέας αἰτίας θεμένων πρῶτον μὲν ὅτι ζητοῦντες τῶν φύσει συνεστώτων τὰς αἰτίας (τοῦτο γὰρ αὐτῷ δύναται δὴ τὸ "τωνδὶ τῶν ὄντων") ἄλλας ἰσαρίθμους τούτοις οὐσίας προσέθεσαν ὡς ἐσομένων μᾶλλον γνωρίμων τῶν πραγμάτων, εἰ πλείω τὰ αὐτὰ γένοιτο· οὐδενὶ γὰρ ἢ τῷ ἀϊδίῳ διαφερούσας τὰς ἰδέας τῶν πρὸς αὐτὰς ὄντων ἐποίουν, ὥστε ἐπεὶ ταῦτα ἄγνωστα, ὁμοίως ἂν κἀκεῖνα τούτοις, ὧν εἶναί φασιν αὐτὰς παραδείγματα, εἴεν ἂν ἄγνωστοι. id.

28 11. εἴη δ' ἂν μάλιστα τὸ ἀπορούμενον ἰσχὺν ἔχον οὐ κατὰ τὸ ἰσάριθμον τοῖς ζητουμένοις αὐτοὺς τὸ πλῆθος τίθεσθαι, ἀλλὰ κατὰ τὸ ὅμοια καὶ διὰ τοῦτο ὁμοίως ἄγνωστα. ὅτι γὰρ μηδὲν διαφέρει τὰ εἴδη τῶν πρὸς αὐτὰ τὸ εἶναι ἐχόντων κατ' αὐτούς, ἢ μόνῳ τῷ ἀϊδίῳ, ἐρεῖ· τὸ δὲ εἶναι ὁμοίως ἄγνωστα διὰ τῆς τοῦ ἀριθμοῦ παραθέσεως ἐνεδείξατο. ὅτι δὲ μὴ αἴτια ἃ προσέθεσαν τούτοις περὶ ὧν ἐζήτουν, ὀλίγον προελθὼν δείξει. ἢ ὃ αἰτιᾶται ἔστιν ὅτι προσθέντες ἰσάριθμα χεδὸν τοῖς

περὶ ὧν ἐζήτων, ὅτως ἁπάντων ἐζήτων καὶ ἀπεδίδοσαν τὰς αἰτίας τῶν τε πρώτων καὶ τῶν προςεθέντων· τούτῳ γὰρ ὅμοιον καὶ τὸ τῆ ἀριθμῆ παράδειγμα. χεδὸν δὲ εἶπεν ὐκ ἐλάττω εἶναι τὰ εἴδη τούτοις, ὁ τοῖς καθ' ἕκαςα καὶ ἀτόμοις λέγων, ἀλλὰ τοῖς ἐπ' αὐτοῖς
5 εἴδεσιν. ὐδὲ γὰρ Σωκράτης καὶ Πλάτωνος ἐζήτων τὰς αἰτίας, ἀλλ' ἀνθρώπου καὶ ἵππου. τούτοις γὰρ χεδὸν ἰσάριθμα τὰ εἴδη κατ' αὐτούς. τὸ "χεδόν" δὲ προσέθηκεν ἴσως, ἐπεὶ μὴ πάντων τῶν κοινῶν ἰδέας ἐτίθεντο· ὐδὲ γὰρ τῶν ἐπὶ τοῖς τεχνητοῖς, ὅτε τῶν ἐπὶ τοῖς κακοῖς, εἰ καὶ εἴπετο αὐτοῖς καὶ τούτων εἶναι λέγειν ἰδέας, δι' ὧν περὶ αὐτῶν
10 λέγουσιν, ὡς ἐρεῖ μετ' ὀλίγον. id.

28 14. εἰπὼν δὲ "καθ' ἕκαςον γὰρ ὁμώνυμόν τί ἐςιν," πῶς "καθ' ἕκαςον," δείκνυσι. τὸ δὲ "καὶ παρὰ τὰς ὐσίας τῶν τε ἄλλων ἅ ἐςιν ἓν ἐπὶ πολλῶν, καὶ ἐπὶ τοῖσδε καὶ ἐπὶ τοῖς ἀϊδίοις" ἴσον ἂν εἴη τῷ παρά τε γὰρ τὰς τῆδε ὐσίας ἔςιν ὁμώνυμα αὐτοῖς εἴδη,
15 ὁμοίως δὲ καὶ παρὰ τὰ ἄλλα ὄντα τὰ παρὰ τὴν ὐσίαν, ἅ ἐςι τὰ ἄλλα γένη, ἐφ' ὧν ἔςιν ἕν τι καὶ κοινὸν ἐπὶ πολλῶν τοῖς καθ' ἕκαςα. οἷς γάρ ἐςι τὰ κοινὰ τὰ ἐπὶ τοῖς καθ' ἕκαςα, ὧν κοινῶν αἱ ἰδέαι, εἴησαν ἂν κατ' αὐτὰς αἰτίαι τῆ εἶναί τε καὶ γίγνεσθαι. τὸ δὲ "καὶ ἐπὶ τοῖσδε καὶ ἐπὶ τοῖς ἀϊδίοις" δηλωτικὸν ἂν εἴη τῆ καὶ ἐπὶ τοῖς ἐν γε-
20 νέσει καὶ φθορᾷ (τούτων γὰρ τὸ "ἐπὶ τοῖσδε" δηλωτικόν) καὶ ἐπὶ τοῖς ἀϊδίοις· καὶ γὰρ ὁ κόσμος κατ' αὐτὰς καὶ τὰ ἐν αὐτῷ ἀϊδίως τὸ εἶναι ἔχει. διὸ εὐλόγως εἴρηται τὸ ἰσάριθμα τῶν τε ἄλλων "ὧν ἐςὶν ἓν ἐπὶ πολλῶν," ἀντὶ τῆ τῶν τε ἄλλων ἐφ' ὧν ἐςὶν ἓν ἐπὶ πολλῶν τινῶν· καὶ γὰρ ἄλλων βουληθεὶς δηλῶσαι τοῦτο προσέθηκε· τῶν γὰρ
25 κοινῶν τῶν ἐπὶ τοῖς καθ' ἕκαςα αἰτίαι αἱ ἰδέαι κατ' αὐτούς. ἡ τὸ "ἓν ἐπὶ πολλῶν" ἐπὶ τῆς ἰδέας εἴρηκε· καὶ γὰρ εἰ μὴ τῶν καθ' ἕκαςά ἐςιν ἰδέα, ἀλλὰ τῆ ἐν τοῖς καθ' ἕκαςα κοινῆ· ἄνθρώπου γάρ, ἀλλ' ὁ Σωκράτης καὶ Πλάτωνος, ὃς ἄνθρωπος ἐν τούτοις τε καὶ ἐν πᾶσι τοῖς ὁμοειδέσιν αὐτοῖς κοινὸς εἴη διὰ τὸ ἐνυπάρχειν
30 πᾶσι. id.

28 16. τὸ "δείκνυμεν" δηλωτικόν ἐςι τῆ ὡς πρὸς οἰκείαν δόξαν λέγειν αὐτόν, λέγοντα τὰ Πλάτωνος· ὁ γὰρ ὡς ἀλλοτρίοις ἀντιλέγων λόγοις καὶ δόγμασιν, ἀλλ' ὡς οἰκείαν δόξαν βασανίζων τε καὶ

ἐξετάζων, ὅτως ποιεῖ τὴν ἀντιλογίαν τῆς τοῦ ἀληθοῦς εὑρέσεως χάριν. id.

28 18. ἢ τινας τῶν λεγομένων λόγων ὑπ' αὐτῶν ὡς τέλειον ψευδεῖς καὶ μηδὲν δεικνύντας αἰτιᾶται, οἷος εἴη ἂν ὁ λέγων, εἰ ἔστι τι τἀληθές, εἴη ἂν τὰ εἴδη, τῶν γὰρ ἐνταῦθα οὐδὲν ἀληθές· καὶ εἰ μνήμη ἔστιν, ἔστι τὰ εἴδη, ἡ γὰρ μνήμη τοῦ μένοντος· καὶ ὁ τὸν ἀριθμὸν ὄντος εἶναι λέγων, ταῦτα δὲ οὐκ ὄντα, εἰ δέ, τῶν εἰδῶν, ἔστιν ἄρα τὰ εἴδη. ὁμοίως καὶ ὁ τοὺς ὁρισμοὺς τῶν ὄντων εἶναι λέγων, τούτων δὲ μηδὲν εἶναι. οἱ δὲ τοιοῦτοι λόγοι ψευδεῖς τε καὶ τὸ δέον οὐδὲν δεικνύντες. διὸ τῶν μὴ τοιούτων οὐδενὸς μνημονεύει νῦν. id.

28 11. δεῖ προσθεῖναι τὸ πολλῷ ἀντὶ τοῦ οὐ πολλῷ ἐλάττονα τὰ εἴδη ἐστὶ τῶν αἰσθητῶν· ἐπεὶ οὔτε τῶν τεχνητῶν ἰδέαι ὑπάρχουσιν οὔτε τῶν κακῶν κατ' αὐτούς, οὔτε δὴ τῶν παρὰ φύσιν ἀλλὰ μόνον τῶν κατὰ φύσιν. ἡ γὰρ φύσις οὐδέν ἐστιν ἕτερον ἢ ἔλλαμψις ἐκεῖθεν προϊοῦσα καὶ καταλάμπουσα τὰ τῇδε, καὶ ἔχουσα ἐν ἑαυτῇ τοὺς δημιουργικοὺς λόγους, οὐ μέντοι γε ἐπιστρέφουσα πρὸς ἑαυτήν. Asclep.

28 20. οὐ πάντως δέ, εἴ τινα ἔστιν ἃ εἰσι παρὰ τὰ καθ' ἕκαστα, ταῦτά εἰσιν ἰδέαι· ἔστι γὰρ παρὰ τὰ καθ' ἕκαστα τὰ κοινά, ὧν φαμὲν καὶ τὰς ἐπιστήμας εἶναι. ἔτι τε τὸ καὶ τῶν ὑπὸ τὰς τέχνας ἰδέας εἶναι· καὶ γὰρ πᾶσα τέχνη πρὸς ἕν τι ἀναφέρει τὰ γιγνόμενα ὑπ' αὐτῶν, καὶ ὧν εἰσὶν αἱ τέχναι, ταῦτα ἔστι, καὶ ἄλλων τινῶν παρὰ τὰ καθ' ἕκαστά εἰσιν αἱ τέχναι. καὶ ὁ ὕστερος δέ, πρὸς τῷ μηδὲ οὗτος δεικνύναι τὸ εἶναι ἰδέας, καὶ ὧν οὐ βούλονται ἰδέας εἶναι κατασκευάζειν ἰδέας δόξει. Alex.

28 22. καὶ γὰρ ἡ ἀπόφασις κατὰ πολλῶν κατηγορεῖται μία καὶ ἡ αὐτὴ καὶ κατὰ μὴ ὄντων, καὶ οὐδενὶ τῶν καθ' ὧν ἀληθεύεταί ἐστιν ἡ αὐτή· τὸ γὰρ οὐκ ἄνθρωπος κατηγορεῖται μὲν καθ' ἵππου καὶ κυνὸς καὶ πάντων τῶν παρὰ τὸν ἄνθρωπον, καὶ διὰ τοῦτό ἐστιν ἓν ἐπὶ πολλῶν καὶ οὐδενὶ τῶν καθ' ὧν κατηγορεῖται ταὐτόν ἐστιν. ἔτι ἀεὶ μένει κατὰ τῶν ὁμοίων ὁμοίως ἀληθευόμενον· τὸ γὰρ οὐ μουσικὸν κατὰ πολλῶν ἀληθεύει, πάντων γὰρ τῶν μὴ μουσικῶν, ὁμοίως καὶ τῶν οὐκ ἀνθρώπων τὸ οὐκ ἄνθρωπος· ὥστε εἰσὶ καὶ τῶν ἀποφάσεων ἰδέαι. ὅπερ ἐστὶν ἄτοπον· πῶς γὰρ ἂν εἴη τοῦ μὴ εἶναι ἰδέα; εἰ γὰρ τοῦτό τις παραδέξεται, τῶν γε ἀνομογενῶν καὶ πάντῃ διαφερόντων μία ἔσται ἰδέα,

γραμμῆς, ἂν ὅτω τύχῃ, καὶ ἀνθρώπου· οὐχ ἵπποι γὰρ ταῦτα παντα. ἔτι ἔςαι καὶ τῶν ἀορίςων τε καὶ τῶν ἀπείρων μία ἰδέα. id.

οἷον Σωκράτους, Πλάτωνος· καὶ γὰρ τούτους νοῦμεν καὶ φαντα- 23 23.
σίαν αὐτῶν φυλάσσομεν καὶ μηκέτι ὄντων σώζομεν· φάντασμα
5 γάρ τι καὶ τῶν μηκέτι ὄντων. ἀλλὰ καὶ τὰ μηδ' ὅλως ὄντα νοῦμεν, ὡς Ἱπποκένταυρον, Χίμαιραν· ὥςε οὐδὲ ὁ τοιοῦτος λόγος ἰδέας εἶναι συλλογίζεται. id.

ὁ μὴ ἐκ τῶν πρός τι κατασκευάζων ἰδέας λόγος τοιοῦτός 23 25.
ἐςιν. ἐφ' ὧν ταὐτόν τι πλειόνων κατηγορεῖται μὴ ὁμωνύμως,
10 ἀλλ' ὡς μίαν τινὰ δηλοῦν φύσιν, ἤτοι τὸ κυρίως τὸ ὑπὸ τοῦ κατηγορουμένου σημαινόμενον εἶναι ταῦτα ἀληθεύεται κατ' αὐτῶν, ὡς ὅταν ἄνθρωπον λέγωμεν Σωκράτην καὶ Πλάτωνα, ἢ τῷ εἰκόνας αὐτὰ εἶναι τῶν ἀληθινῶν, ὡς ἐπὶ τῶν γεγραμμένων ὅταν τὸν ἄνθρωπον κατηγορῶμεν· δηλοῦμεν γὰρ ἐπ' ἐκείνων τὰς τῶν ἀν-
15 θρώπων εἰκόνας τὴν αὐτήν τινα φύσιν ἐπὶ πάντων σημαίνειν· ἢ ὡς τὸ μὴ αὐτῶν ὂν τὸ παράδειγμα, τὰ δὲ εἰκόνας, ὡς εἰ ἀνθρώπους Σωκράτη τε καὶ τὰς εἰκόνας αὐτοῦ λέγοιμεν. κατηγοροῦμεν δὲ τῶν ἐνταῦθα τὸ ἴσον αὐτὸ ὁμωνύμως αὐτῶν κατηγορούμενον· οὔτε γὰρ ὁ αὐτὸς πᾶσιν αὐτοῖς ἐφαρμόζει λόγος, οὔτε τὰ ἀληθῶς ἴσα
20 σημαίνομεν· κινεῖται γὰρ τὸ ποσὸν ἐν τοῖς αἰσθητοῖς καὶ μεταβάλλει συνεχῶς καὶ οὐκ ἔςιν ἀφωρισμένον. ἀλλ' οὐδὲ ἀκριβῶς τὸν τοῦ ἴσου λόγον ἀναδεχόμενον τῶν ἐνταῦθά ἐςί τι. ἀλλὰ μὴν ἀλλ' οὐδὲ ὡς τὸ μὴ παράδειγμα αὐτῶν τὸ δὲ εἰκόνα· οὐδὲν γὰρ μᾶλλον θάτερον θατέρου παράδειγμα ἢ εἰκών. εἰ δὲ καὶ δέξαιτό τις μὴ ὁμώνυμον
25 εἶναι τὴν εἰκόνα τῷ παραδείγματι, ἀεὶ ἕπεται ταῦτα τὰ ἴσα ὡς εἰκόνας εἶναι ἴσα τοῦ κυρίως καὶ ἀληθῶς ἴσου. εἰ δὲ τοῦτο, ἔςι τι αὐτοῖσον καὶ κυρίως, πρὸς ὃ τὰ ἐνθάδε ὡς εἰκόνες γίνεταί τε καὶ λέγεται ἴσα, τοῦτο δέ ἐςιν ἰδέα, παράδειγμα καὶ εἰκὼν τοῖς πρὸς αὐτὸ γινομένοις. εἷς μὲν οὖν οὗτος λόγος ὁ καὶ τῶν πρός τι κατασκευά-
30 ζων ἰδέας, δοκῶν ἐπιμελέςερον καὶ ἀκριβέςερον καὶ προσεχέςερον ἅπτεσθαι τῆς δείξεως τῶν ἰδεῶν. οὐδὲ γὰρ τὸ κοινὸν εἶναί τι παρὰ τὰ καθ' ἕκαςα ἁπλῶς οὗτος ὁ λόγος δοκεῖ δεικνύναι, οἷσπερ οἱ πρὸ αὐτοῦ, ἀλλὰ τὸ παράδειγμά τι εἶναι τῶν ἐνταῦθα ὄντων κυρίως ὄν· τοῦτο γὰρ χαρακτηριςικὸν εἶναι δοκεῖ τῶν ἰδεῶν μάλιςα. τοῦ-

τον δὴ τὸν λόγον φησὶ καὶ τῶν πρός τι ἰδέας κατασκευάζειν. ἡ γὰρ δεῖξις ἡ νῦν ἐπὶ τοῦ ἴσου προῆλθεν, ὅ ἐστι τῶν πρός τι· τῶν δὲ πρός τι οὐκ ἔλεγον ἰδέας εἶναι διὰ τὸ τὰς μὴ ἰδέας καθ' αὑτὰς ὑφεστάναι αὐτοῖς οὐσίας τινὰς οὔσας, τὰ δὲ πρός τι ἐν τῇ πρὸς ἄλληλα σχέσει τὸ εἶναι ἔχειν. ἔτι δὲ εἰ τὸ ἴσον ἴσῳ ἴσον, πλείους ἰδέαι τοῦ ἴσου ἂν εἶεν· τὸ γὰρ αὐτοΐσον αὐτοίσῳ ἴσον· εἰ γὰρ μηδενὶ ἴσον, οὐδὲ ἴσον ἂν εἴη. ἔτι δεήσει καὶ τῶν ἀνίσων καὶ τὸν αὐτὸν λόγον ἰδέας εἶναι· ὁμοίως γὰρ τῶν ἀντικειμένων ἔσονταί γε ἢ οὐκ ἔσονται ἰδέαι· τὸ δὲ ἄνισον ὁμολογεῖται καὶ κατ' αὐτοὺς ἐν πλείοσιν εἶναι. πάλιν δὲ ἐκοινοποίησε τὴν δόξαν ὡς πρὸς οἰκείαν οὖσαν αὐτὴν λέγων, διὰ τοῦ εἰπεῖν "ὧν οὗ φαμεν εἶναι καθ' αὑτὸ γένος," γένος λέγων ἀντὶ τοῦ ὑπόστασιν καὶ φύσιν, εἴγε τὸ πρός τι παραφυάδι ἔοικεν, ὡς ἐν ἄλλοις εἶπεν. ὁ δὲ λόγος ὁ τὸν τρίτον ἄνθρωπον εἰσάγων τοιοῦτος. λέγουσι τὰ κοινῶς κατηγορούμενα τῶν οὐσιῶν κυρίως τε εἶναι τοιαῦτα, καὶ ταῦτα εἶναι τὰ ἴσα. ἔτι τὰ ὅμοια ἀλλήλοις τοῦ αὐτοῦ τινὸς μετουσίᾳ ὅμοια ἀλλήλοις εἶναι, ὃ κυρίως ἐστὶ τοῦτο· καὶ τοῦτο εἶναι τὴν ἰδέαν. ἀλλ' εἰ τοῦτο, καὶ τὸ κατηγορούμενον τινῶν κοινῶς, ἂν μὴ ταὐτὸν ᾖ ἐκείνων τινὶ ὧν κατηγορεῖται, ἄλλο τί ἐστι παρ' ἐκεῖνα· διὰ τοῦτο γὰρ γένος ὁ αὐτοάνθρωπος, ὅτι κατηγορούμενος τῶν καθ' ἕκαστα οὐδενὶ αὐτῶν ἦν ὁ αὐτός. τρίτος ἄνθρωπος ἔσται τις παρά τε τὸν καθ' ἕκαστα, οἷον Σωκράτη καὶ Πλάτωνα, καὶ παρὰ τὴν ἰδέαν, ἥτις καὶ αὐτὴ μία κατ' ἀριθμόν ἐστιν. id.

28 28. μᾶλλον μὲν καὶ μάλιστα βούλονται τὰς ἀρχὰς εἶναι· αἱ γὰρ ἀρχαὶ αὐτοῖς καὶ αὐτῶν τῶν ἰδεῶν εἰσὶν ἀρχαί. ἀρχαὶ δέ εἰσι τό τε ἓν καὶ ἡ ἀόριστος δυάς, ὡς πρὸ ὀλίγου τε εἴρηκε καὶ ἱστόρηκεν αὐτὸς ἐν τοῖς περὶ τ'Αγαθοῦ· ἀλλὰ καὶ τοῦ ἀριθμοῦ ἀρχαὶ αὗται κατ' αὐτούς. ταύτας δή φησι τὰς ἀρχὰς τοὺς λόγους τούτους τοὺς κατασκευάζοντας τὰς ἰδέας ἀναιρεῖν· ἀναιρουμένων δὲ τούτων ἀναιρεθήσεται καὶ τὰ μετὰ τὰς ἀρχάς, εἴγε ταῦτα ἐκ τῶν ἀρχῶν, ὥστε καὶ αἱ ἰδέαι. εἰ γὰρ ἐπὶ πάντων ὧν τὸ κοινὸν κατηγορεῖται χωριστόν τε καὶ ἰδέα, κατηγορεῖται δὲ καὶ κατὰ τῆς ἀορίστου δυάδος ἡ δυάς, εἴη ἂν αὐτῆς πρῶτόν τι καὶ ἰδέα· οὕτως δὲ ἂν οὐκέτι ἀρχὴ εἴη ἡ ἀόριστος δυάς. ἀλλ' οὐδὲ ἡ δυὰς πάλιν εἴη ἂν πρώτη τε καὶ ἀρχή· πάλιν γὰρ κἀκείνης ὁ ἀριθμὸς κατηγορεῖται ὡς ἰδέας, αἱ γὰρ ἰδέαι ἀριθμοὶ αὐτοῖς

κεῖν)· ὥςε εἴη ἂν αὐτοῖς πρῶτον ὁ ἀριθμός, ἰδέα τις ὤν. εἰ δὲ ταῦτα, ἔςαι τῆς ἀορίςου δυάδος, ἥτις ἐςὶν αὐτοῖς ἀρχή, ὁ ἀριθμὸς πρῶτος, ἀλλ' ὑ τῦ ἀριθμῦ ἡ δυάς· εἰ δὲ τῦτο, ὑκέτι ἂν ἀρχὴ ἐκείνη, εἴγε μεταχέσει τινός ἐςι τοιαύτη. ἔτι δὲ ὑπόκειν μ̄ εἶναι ἀρχὴ τῦ ἀριθμῦ, γίγνεν δὲ ὁ ἀριθμὸς κ̄ τὸν προειρημένον λόγον πρῶτος αὐτῆς· ἀλλ' εἰ ὁ ἀριθμὸς πρός τι (πᾶς γὰρ ἀριθμός τινός ἐςι), καὶ ἔςι πρῶτος ὁ ἀριθμὸς τῶν ὄντων, εἴγε καὶ τῆς δυάδος ἣν ἀρχὴν ὑπέθεντο, εἴη ἂν κατ' αὐτὸς τὸ πρός τι πρῶτον τῦ καθ' αὐτὸ ὄντος. τῦτο δὲ ἄτοπον· πᾶν γὰρ τὸ πρός τι δεύτερον. χέσιν γὰρ προϋποκειμένης φύσεως τὸ πρός τι σημαίνει, ἥτις πρώτη τῆς συμβεβηκυίας χέσεως αὐτῇ· παραφυάδι γὰρ ἔοικε τὸ πρός τι, ὡς εἶπεν ἐν τοῖς Ἠθικοῖς (1 4). ἀλλ' εἰ καὶ λέγοι τις εἶναι τὸν ἀριθμὸν ποσὸν ἀλλὰ μὴ πρός τι, εἴη ἂν ἑπόμενον αὐτοῖς τὸ πόσον τῆς ὑσίας πρῶτον εἶναι, αὐτὸ δὲ τὸ μέγα καὶ τὸ μικρὸν τῶν πρός τι. ἔτι ἕπεν αὐτοῖς τὸ πρός τι τῦ καθ' αὐτὸ ἀρχήν τε καὶ πρῶτον λέγειν εἶναι, καθ' ὅσον ἀρχὴ μ̄ ἡ ἰδέα κατ' αὐτὸς τῶν ὑσιῶν, ἔςι δὲ τῇ ἰδέᾳ τὸ εἶναι ἰδέα ἐν τῷ παραδείγματι εἶναι, τὸ δὲ παράδειγμα πρός τι· τινὸς γὰρ τὸ παράδειγμα παράδειγμα. ἔτι εἰ ταῖς ἰδέαις τὸ εἶναι ἐν τῷ παραδείγμασιν εἶναι, εἴη ἂν τὰ πρὸς αὐτὸ γιγνόμενα καὶ ὧν εἰσὶν αἱ ἰδέαι εἰκόνες εἰκόνων, ὥτως τε λέγοι ἄν τις πάντα τὰ κ̄ φύσιν συνεςῶτα πρός τι γενέν κατ' αὐτός· πάντα γὰρ εἰκόνες καὶ παραδείγματα. ἔτι εἰ τὸ εἶναι ταῖς ἰδέαις ἐν τῷ παραδείγμασιν εἶναί ἐςι, τὸ δὲ παράδειγμα τῦ πρὸς αὐτὸ γιγνομένυ χάριν ἐςί, τὸ δὲ δι' ἄλλο ὂν ἀτιμότερον ἐκείνυ, ἔσον αἱ ἰδέαι ἀτιμότεραι τῶν γιγνομένων πρὸς αὐτάς. id.

τοιῦτοί τινές εἰσι λόγοι οἱ διὰ τῆς τῶν ἰδεῶν θέσεως τὰς 23 31.
ἀρχὰς αὐτῶν ἀναιρῦντες πρὸς τοῖς προειρημένοις. εἰ τὸ κοινῶς τινῶν κατηγορύμενον ἀρχή τε καὶ ἰδέα ἐκείνων, κ̄ τῶν ἀρχῶν κοινῶς ἡ ἀρχὴ κατηγορεῖν καὶ κ̄ τῶν ςοιχείων τὸ ςοιχεῖον, εἴη ἂν τῶν ἀρχῶν πρῶτόν τι καὶ ἀρχὴ καὶ τῶν ςοιχείων· ὥτως δὲ ὥτε ἀρχὴ ὥτε ςοιχεῖον εἴη. ἔτι ἰδέα ἰδέας ὑκ ἔςι πρότερον· ὁμοίως γὰρ αἱ ἰδέαι ἅπασαι ἀρχαί· ἔςι δὲ τὸ αὐτοὲν καὶ ἡ αὐτοδυὰς ὁμοίως ἰδέα καὶ αὐτοάνθρωπος καὶ αὐτόἵππος καὶ ἑκάςη τῶν ἄλλων ἰδεῶν· ὑκ ἔςαι ἄρα αὐτῶν ἄλλη ἄλλης πρώτη, ὥςε ὑδὲ ἀρχή· ὑκ ἄρα

ἀρχὴ τὸ ἓν καὶ ἡ ἀόριστος δυάς. ἔτι ἰδέαν ὑπὸ ἰδέας εἰδοποιεῖσθαι ἄτοπον, πᾶσι γὰρ εἶδη· εἰ δέ εἰσιν ἀρχαὶ τὸ ἓν καὶ ἡ ἀόριστος δυάς, ἔσται ἰδέα ὑπὸ ἰδέας εἰδοποιουμένη· ἡ γὰρ αὐτοδυὰς ὑπὸ τοῦ αὐτοενός· οὕτως γὰρ αὐτὰς ἀρχὰς λέγουσιν εἶναι, ὡς τοῦ μὲν ἑνὸς εἴδους ὄντος, ὕλης δὲ τῆς δυάδος· οὐκ ἄρα ἀρχὴ ταῦτα. εἰ δὲ μὴ φήσουσι τὴν ἀόριστον δυάδα ἰδέαν εἶναι, πρῶτον μὲν ἔσται πρῶτόν τι αὐτῆς οὔσης ἀρχῆς· ἡ γὰρ αὐτοδυάς, ἧς κατὰ μετουσίαν καὶ αὐτὴ δυάς, ἐπεὶ μή ἐστιν αὕτη ἡ αὐτοδυὰς κατὰ μετουσίαν· κατηγορηθήσεται γὰρ αὐτῆς ἡ δυάς, ἐπεὶ καὶ τῶν δυάδων. ἔτι εἰ ἁπλαῖ αἱ ἰδέαι, οὐκ ἂν ἐξ ἀρχῶν διαφόρων εἶεν, διάφορα δὲ τὸ ἓν καὶ ἡ ἀόριστος δυάς. ἔτι τὸ πλῆθος τῶν δυάδων θαυμαστὸν ἔσται, εἰ ἔστιν ἄλλη μὲν ἡ αὐτοδυάς, ἄλλη δὲ ἡ ἀόριστος δυάς, ἄλλη δὲ ἡ μαθηματική, ἣ ἀριθμοῦντες χρώμεθα, οὐδεμιᾷ ἐκείνων ἡ αὐτὴ οὖσα, καὶ ἔτι παρὰ ταύτας ἡ ἐν τοῖς ἀριθμητοῖς καὶ αἰσθητοῖς. ἄτοπα δὲ ταῦτα, ὥστε δηλονότι αὐτοῖς τοῖς τιθεμένοις ὑπ' αὐτῶν περὶ τῶν ἰδεῶν ἔν ἐστιν ἀκολουθοῦν τὸ ἀναιρεῖν τὰς ἀρχάς, αἵ εἰσιν αὐτοῖς προτιμότεραι τῶν ἰδεῶν. Alex.

29 6. τὸ δὲ "καὶ ἄλλα μυρία συμβαίνει" εἶπεν, ἐπεὶ καὶ ἄλλοι τινές εἰσι λόγοι δεικνύναι βουλόμενοι τὰς ἰδέας, ἐξ ὧν συμβαίνει μὴ μόνων τῶν οὐσιῶν τὰ εἴδη λέγειν. ὅ τε γὰρ ἀπὸ τοῦ κατηγορεῖσθαι ἓν ἐπὶ πολλῶν, ὃ ταὐτὸν πᾶσι διαφέρουσιν ἀλλήλων ὑπάρχει καὶ ἄλλο ὂν ἑκάστου αὐτῶν, οὐκ οὐσιῶν μόνον τὰς ἰδέας λέγει. id.

29 11. τουτέστιν, ἀλλὰ δεῖ ταύτῃ ἑκάστου τῶν εἰδῶν τὰ πρὸς αὐτὰ τὸ εἶναι ἔχοντα μετέχειν, ᾗ μὴ ἐν ὑποκειμένῳ τι καὶ αὐτὸ ἔχει, τουτέστιν ᾗ μὴ κατὰ συμβεβηκὸς καὶ ἀπὸ συμβεβηκότος τινὸς αὐτῷ λέγεται. τῷ γὰρ "καθ' ὑποκειμένου" νῦν ἀντὶ συμβεβηκότος κέχρηται. καθ' αὐτὸ οὖν φησὶ τὰ πρὸς τὰς ἰδέας ὄντά τε καὶ γινόμενα καὶ δι' αὐτὰς ὄντα μεθέξει αὐτῶν, οὐκέτ' ἂν συμβεβηκότος τινὸς αὐτοῖς. οὕτως δὲ οὐσίαι τὰ πρὸς τὰς ἰδέας ὄντα εἶεν, τῶν οὐσιῶν καθ' αὐτὸ καὶ οὐ κατὰ συμβεβηκὸς μετέχοντα. παρέθετο δὲ τοῦ κατὰ συμβεβηκὸς παράδειγμα· ἡ γὰρ δυὰς ἡ κατὰ μετουσίαν τῆς δυάδος οὖσα δυάς, εἰ ἀϊδίου μετέχει, ἀλλὰ κατὰ συμβεβηκὸς ἀϊδίου, ἐπεὶ ἀϊδίου ἡ δυὰς μετέχουσα δυάς ἐστιν· οὐκέτι δὲ κατὰ συμβεβηκὸς δυάδος, ἐπεὶ ὁμοίως ἂν ἦν δυὰς ὡς καὶ ἀΐδιος·

οὐκ ἐκείνῃ δὲ τῇ δυάδι τὸ εἶναι δυάδι ἐν τῷ ἀϊδίῳ αὐτῇ εἶναι, ἀλλ' ἣν τοῦτο συμβεβηκὸς αὐτῇ. διὸ εἰ καὶ ἀϊδίου τι μετέχον δυάδος λέγοιτο μετέχειν, κατὰ συμβεβηκὸς ἂν μετέχοι δυάδος. ἐπεὶ τοίνυν δυάδος μὲν καθ' αὐτὸ μετέχει, ἀϊδίου δὲ κατὰ συμβεβηκός, δυὰς μέν ἐστι καὶ κατὰ τοῦτο ὁμοία ἐκείνῃ, ἀΐδιος δὲ οὔ· οὐ γὰρ ὅμοια τὰ κατὰ συμβεβηκὸς μετέχοντά τινων ἐκείνῳ ᾧ οὕτω μετέχει. εἰ τοίνυν τὰ ἐνταῦθα ὅμοια ταῖς ἰδέαις, οὐ κατὰ συμβεβηκὸς αὐτῶν ἀλλὰ καθ' αὐτὸ μετέχει· τὸ δὲ οὐσίας καθ' αὐτὸ μετέχον οὐσία. τῶν οὐσιῶν ἄρα μόνων ἔσονται ἰδέαι κατὰ τὸ ἀκόλουθον αὐτοῖς καὶ τὸ ἀναγκαῖον, εἴγε οὐσίαι μὲν ἐκεῖναι, τὰ δὲ τῶν οὐσιῶν μετέχοντα καθ' αὐτὸ οὐσίαι· τὰ γὰρ αὐτὰ ἐνθάδε οὐσίαν σημαίνει καὶ ἐπὶ τῶν ἀϊδίων, οἷον ἄνθρωπος ἐνταῦθα οὐσία κἀκεῖ, τὸ θερμὸν ποιὸν καὶ ἐνταῦθα κἀκεῖ. οὐ ὄντος ὑγιοῦς, τῶν παρ' ἡμῖν οὐσιῶν μόνων ἀκολουθήσει λέγειν αὐτοῖς ἰδέας εἶναι, εἰ αἱ ἰδέαι οὐσίαι. γράφεται ἔν τισιν "ἀλλὰ δὴ ταῦτα ἑκάστου μετέχειν, ἢ καθ' ὑποκειμένου λέγεται." καὶ εἴη ἂν λέγων διὰ ταύτης τῆς γραφῆς τὸ δεῖν τὰ μετέχοντα τῆς ἰδέας καθ' αὐτὸ μετέχειν αὐτῆς, καὶ κατὰ τοῦτο καθὸ καθ' ὑποκειμένων αὐτῶν κατηγορηθήσεται. ὥστε εἰ μὲν τῆς δυάδος ὁ λόγος ἐφαρμόζει τῷ μετέχειν δυάδος λεγομένῳ, δυάδος μετέχειν, εἰ δὲ μὴ δυάδος ἀλλ' ἀϊδίου ὁ λόγος ἐφαρμόζει τῷ μεταχόντι, ἐκείνου μετέχειν. τὸ δὲ "ὥστε ἔσται οὐσία τὰ εἴδη" εἶπεν ἀντὶ τοῦ ὥστε εἰ ἔσται τὰ εἴδη, οὐσία· ἢ ὥστε ἔσται μόνη οὐσία τὰ εἴδη. τοῦτο γὰρ κεῖται. "ταῦτα δὲ ἐνταῦθα οὐσίαν σημαίνει κἀκεῖ." οὐ γὰρ δὴ εἰ ἡ παρ' ἡμῖν ποιότης ἐν ἐκείνοις ἐστὶν οὐσία, δεήσει τῶν οὐσιῶν τῶν ἐνταῦθα μόνων ἰδέας εἶναι λέγειν· οὐ γὰρ δὴ οἵων τε ἐκείνων οὐσιῶν οὐσῶν, τῶν πρὸς αὐτὰς γιγνομένων τὰ μὲν οὐσίας αὐτοῦ τὰ δὲ ἄλλο τι. "ταῦτα γὰρ ἐνταῦθά τε οὐσίαν σημαίνει κἀκεῖ. ἢ τί ἔσται τὸ εἶναι φάναι τι παρὰ ταῦτα, τὸ ἐν ἐπὶ πολλῶν;" εἰ μὴ καθ' αὐτὸ ἀλλὰ κατὰ συμβεβηκὸς μετέχει τὰ ἐνταῦθα τῶν ἰδεῶν, τί, φησί, σημαίνει αὐτοῖς τὸ λέγειν εἶναί τι παρὰ ταῦτα, τοιούτοις τὰ αἰσθητά, τοῦτο ὃ ἓν ὂν ἐπὶ πολλῶν λέγεται καὶ ἔστιν ἓν πολλῶν τῶν ἐνταῦθα παράδειγμα; οὐ γὰρ ἔσται τὸ ἓν ἐπὶ πολλῶν ἐπὶ τῶν πρὸς αὐτὸ γεγονότων λεγόμενον κατὰ συμβεβηκός (οὕτω γὰρ πάντα πάντων μετέχειν δύναται)· καὶ οὐκ ἔστι τὸ κατὰ συμβεβηκὸς μετέχειν τινός, οὔτε κυρίως ἐκείνου μετέχον, οὔτε τὸ

εἶναι ἔχον ἀπ' ἐκείνυ καθὸ ἐκεῖνο ἐςίν, ὅτε ὡμοιωμένον αὐτῷ. ἢ δύναϑ τὸ "ἢ τί ἔςαι τὸ εἶναι φάναι παρὰ ταῦτα τὸ ἓν ἐπὶ πολλῶν;" εἰρῆϑζ ὡς ἑπόμενον τῷ "ταῦτα δὲ ἐνταῦθα ὑσίας σημαίνει κἀκεῖ·" εἰ γὰρ μὴ τοῦτο, τί ἔςι τὸ λεγόμενον ὑπ' αὐτῶν τὸ εἶναί τι παρὰ αὐτὰ τὰ αἰϑητὰ τὸ ἓν ἐπὶ πολλῶν κατηγορούμενον; ὡς γὰρ τῆς αὐτῆς φύσεως δηλυμένης ὑπό τε τοῦ ἑνὸς ἐπὶ πολλῶν καὶ τῶν πολλῶν, καθ' ὧν τὸ ἕν, οὕτω λέγεϑ. δεδειγμένυ δὲ τούτυ προϑείη ἄν τις τούτῳ τό, εἰ κὰ τὴν ὑσίαν τὰ ἐνθάδε τῶν ἰδεῶν μετέχει, διαφέρει δὲ τὰ ἐνθάδε, ἤτοι καὶ ἐν ταῖς ἰδέαις, πρὸς ἃς τὰ διαφέροντά ἐςιν, αἱ αὐταί εἰσι διαφοραί, ἢ ἀνάλογον ταύταις. παρὰ γὰρ ἐκείνων τὰ ἐνταῦθα τὸ εἶναι ἔχοντα, παρ' ἐκείνων ἕξει τὸ διαφέρειν, ἐπεὶ κατ' ὑσίαν αὐτοῖς ἡ διαφορά, ἣν παρ' ἐκείνων ἔχυσι. διὰ τοῦτο γὰρ ἄλλη ἰδέα ἄλλυ εἴδυς ἐςὶ παρεκτική, ἐπεὶ ὐδὲν ἐκώλυεν ἂν μίαν αὐτῶν πάντων. ὥςε ἑκάςη ἰδέα ἤτοι κὰ τὴν ὑσίαν καὶ τὸ εἶδος ἡ αὐτὴ ἔςαι τοῖς πρὸς αὐτὴν γιγνομένοις, ἢ πάντως γε δύναμίν τινα ἕξει τοῦ ἡ μὴ τοῦδε ἡ δὲ τοῦδέ τινος ποιητική εἶναι καὶ παρεκτική, καθὸ καὶ αἱ διαφοραὶ τοῖς πρὸς αὐτὰς τὸ εἶναι ἔχυσιν. ἔςαι δὲ ἡ τοιαύτη καὶ ἐν ἐκείναις διαφορά, ἥτις καὶ τοῖς ἐνθάδε τοῖς διαφέρυσιν ἀλλήλων, ἢ ἀνάλογόν γε. ἔςι δὲ τῶν ἐνταῦθα τὸ μὴ ζῷον λογικὸν τὸ δὲ ζῷον ἄλογον, καὶ ἔςιν ἑκατέρυ τῶν ἰδίων τούτων ἰδέα παρεκτική· καὶ ἐν ἐκείναις ἄρα ἐςὶ τὸ λογικόν τε καὶ ἄλογον ἢ ἀνάλογόν τι τούτοις, καθ' ἃ ἡ μὴ τοῦ λογικοῦ ἡ δὲ τοῦ ἀλόγυ ἐςὶ παρεκτική. καὶ ὃν λόγον ἔχει πρὸς ἄλληλα τὰ πρὸς ἐκείνας καὶ ἀπ' ἐκείνων τὸ εἶναι ἔχοντα, τοῦτον κἀκεῖνα πρὸς ἃ ταῦτα γέγονε, τὸ λογικὸν καὶ ἄλογον, ἤτοι ἐναντία, ἢ τὸ μὴ ἕξις τὸ δὲ σέρησις. ἔςιν ἄρα καὶ ἐν ταῖς ἰδέαις θάτερον τούτων. εἰ δὲ τοῦτο, πῶς ἁπλαῖ ἔτι; ἔτι δέ, εἰ ἔςι νοήματα, ὥσπερ φασί τινες, καὶ ἐν τῷ νοεῖϑζ ἰδέας ἡ ὑπόςασις, πῶς ἅμα ὁ νοῶν αὐτοῖς νοήσει; ἀδύνατον γὰρ ἅμα τὰ ἐναντία νοεῖν ἢ τὰ ἀντικείμενα, ὅπυ γε ὐδὲ ἁπλῶς πλείω. εἰ δὲ παρὰ μέρος νοῦνϑ, ὠκύμοροι, ὐκ ἀίδιοι· ὅτε γὰρ μὴ νοῦνϑ, ὐκ ἔσονϑ. εἰ δὲ τὸ αὐτὸ αὐτῶν ἐν τῷ νοεῖϑζ· τὰ γὰρ τῇ αὐτῇ φύσει ἀδύνατα πᾶσίν ἐςιν ἀδύνατα, ὥσπερ ἀδύνατον ἢν τὸ τὴν διάμετρον σύμμετρον εἶναι τῇ πλευρᾷ, ὁμοίως πανταχοῦ καὶ παρὰ πᾶσίν ἐςι τοιοῦτον· καὶ γὰρ καὶ παρὰ τοῖς θεοῖς. ἔτι εἰ

νοήματα, ὑκ ὑσίαι, ϗ ἔσονθ αἱ ἀρχαὶ ὑκ ὑσίαι. ἔτι πῶς πρὸς μὴ ὑσίαν ὑσία γίνεθ; ὡς γὰρ ἄτοπον τὲ πρὸς ὑσίαν γινόμενον μὴ εἶναι ὑσίαν, ὕτως ἄτοπον ϗ τὲ πρὸς μὴ ὑσίαν ὑσίαν γίνεαθ. Alex.

"ϗ — μετεχόντων." ἐκ διαιρέσεως ἡ ἐπιχείρησις, ϗ ἐκ διαι- 29 17.
5 ρέσεως ἀντιφάσεως διῃρημένης. ἤτοι γὰρ ταὐτὸν εἶδος ϗ ὁ λόγος τῶν τε ἰδεῶν ϗ τῶν μετεχόντων αὐτῶν, ἢ ὑ τὲ αὐτό. εἰ μὴ ὖν τὲ αὐτό, ὥσπερ ἐπὶ τοῖς μετέχυσιν, ὕσιν ὁμοειδέσιν, ἔςι τι κοινόν, ὕτω ϗ ἐπὶ τύτοις ϗ τῇ ἰδέᾳ ἀφ' ἧς ταῦτα, κοινόν τι ἔςαι κατηγορύμενον· ὁμοειδὴς γὰρ κἀκείνη τύτοις. εἰ δὲ τῦτο, ἔςαι αὐτῶν
10 τὲ κοινῶς κατηγορύμενον ἰδέα, ϗ ὕτως ἰδέα ἂν ἰδέας εἴη, ϗ τῦτο εἰς ἄπειρον ἂν προΐοι. ἔςι δὲ τὲ νῦν λεγόμενον ὑπ' αὐτῦ, ὃ ἐξηγύμενοι τὲν τρίτον ἄνθρωπον δεύτερον ἐθήκαμεν. δείξας ὅτι τὰ μὴ τῶν ἰδεῶν μετέχοντα ὑ κῇ συμβεβηκὸς αὐτῶν μεθέξει, εἴγε τὲ εἶναί τε ϗ αὐταῖς ὅλως ϗ τοῖσδέ τισι διὰ τὲ μετέχειν ἐκείνων,
15 ἐπήνεγκε τῦτο ὡς ἴσον ὂν τῷ, εἰ μὴ ὖν, ὡς δέδειχθ, τὲ αὐτὲ εἶδος τῶν τε ἰδεῶν ϗ τῶν μετεχόντων ἔςαι, τί κοινὸν ἐπί τε τῇ ἰδέᾳ ἑκάςῃ ϗ τοῖς πρὸς ἑκάςην αὐτῶν ὕσιν; ὕτως δὲ ὁμοειδῆ ὄντα τὰ τῇδε ἐκείνοις, ἐπεὶ ὑσίαι ἐκεῖναι, ὑσίαι ϗ τὰ πρὸς αὐτὰ ἔςαι· ὕτω δὲ μόνων ἂν εἶεν τῶν ὑσιῶν ἰδέαι. εἰ δὲ μή, ϗ ὕτως ἐρεῖ τὲ
20 ἑπόμενον ἄτοπον. τὲ δὲ "τί γὰρ μᾶλλον ἐπὶ τῶν φθαρτῶν δυάδων, ϗ τῶν δυάδων τῶν πολλῶν μὲν ἀϊδίων δέ, τὲ δυὰς εἶναι ἓν ϗ ταὐτόν, ἢ ἐπὶ ταύτης ϗ τῆς τινός;" τῦτο κατασκευαςικὸν τῦ ἔσεθαί τι κοινὸν τῶν τε ἰδεῶν ϗ τῶν πρὸς αὐτάς. εἰ γὰρ τῷ ὁμοειδεῖς εἶναι τὰς ἐν τοῖς αἰθητοῖς ϗ φθαρτοῖς δυάδας ταῖς δυσὶ ταῖς
25 ἀφθάρτοις, καθ' ἃς τὰ αἰθητὰ ἀριθμῦμεν (αὖθ' ἂν εἶεν αἱ μαθηματικαί), ἔλεγον μεταξὺ εἶναι τῶν τε αἰθητῶν ϗ τῶν ἰδεῶν τὰ μαθηματικὰ ἀΐδια μένοντα, πλείω δὲ ὅμοια ἀλλήλοις· εἰ δὲ τύτων ἓν ϗ ταὐτὲν ἡ δυὰς κατηγορεῖθ, ὑδὲν φυλάσσομένων ἡμῶν περὶ τὲ τὴν μὴ ἀΐδιον εἶναι τὴν δὲ μὴ ἀΐδιον, ἀλλ' ἐπεὶ ὁμοειδεῖς
30 εἰσὶ καθὸ δυάδες, τὲ κῇ μετυσίαν τῆς αὐτοδυάδος ἑκατέρᾳ δυάδι τὲ εἶναι κατηγορύντων ἡμῶν κοινῶς κῇ πάντων αὐτῶν ὁμοίως τὴν δυάδα, ὑδὲν ἔλαττον ϗ ἐπὶ τῆς αὐτῆς ἰδέας τῆς αὐτοδυάδος ϗ τῶν τινῶν δυάδων τῶν ἀπ' ἐκείνης τὲ εἶναι ἐχόντων κοινῶς τὲ δυὰς κατηγορηθήσεθ, διότι εἰσὶν ὁμοειδεῖς. εἰ δὲ μὴ εἶεν τὰ πρὸς τὰς

ἰδέας μηδὲ κᾳ τὴν ὑσίαν αὐταῖς ὡμοιωμένα κ᾽ τὸ εἶδος, ὁμώνυμα ἂν εἴη ταῦτα ταῖς ἰδέαις. εἰ δὲ τοῦτο, τί μᾶλλον ἰδέα τις εἴη ἰδέα τῶν ὁμωνύμων αὕτη αἰτία τοῦ εἶναι ἢ ἄλλων τινῶν, εἴγε μὴ κᾳ τὴν ὑσίαν κ᾽ τὸ εἶδος ὁμοιοῦ ταῦτα αὐτῇ τὰ ὁμωνύμως αὐτῇ λεγόμενα. ὁμοίως γὰρ ἕξει ὡς εἴ τις καλοίη ἄνθρωπον τόν τε Καλλίαν κ᾽ τὸ ξύλον μηδὲν ὅμοιον ἔχοντα ἀλλήλοις καθὸ ἄνθρωποι. κ᾽ καθόλου πῶς ἂν λέγοιτο μετέχειν αὐτὰ ἐκείνων μὴ ἔχοντα μηδεμίαν κοινωνίαν κᾳ τὴν ὑσίαν πρὸς αὐτά; κ᾽ εἴη ἂν τοῦτο ἴσον τῷ πρὸ ὀλίγου εἰρημένῳ τῷ "ἢ τί ἔσται τὸ εἶναι φάναι τι παρὰ ταῦτα τὸ ἓν ἐπὶ πολλῶν;" εἰ γὰρ λέγοιμεν ὡς τὰς εἰκόνας ὁμωνύμως τοῖς ἀφ᾽ ὧν γεγόνασιν εἶναι, οὕτως κ᾽ τὰ τῇδε ταῖς ἰδέαις, κᾳ τί ἐροῦσιν ὡμοιῶσθαι ταῦτα ἐκείνοις, εἰ μὴ κᾳ τὴν ὑσίαν; πότερον κᾳ χῆμα κ᾽ χρῶμα εἰκόνες; ἀλλ᾽ οὐδὲν ἐκείνοις τοιοῦτον. ἀλλὰ κᾳ τὸ ἀΐδιον ἢ τὸ ἀσώματον ἢ τὸ ἀκίνητον ταύταις ὡμοίωνται; ἀλλ᾽ ἀδύνατον. οὕτως τ᾽ ἐξετάζοντες εὑρήσομεν κατ᾽ οὐδὲν ἢ κᾳ τὴν ὑσίαν. κ᾽ γὰρ εἰ μὴ κατά τι τῶν ἄλλων τῶν συμβεβηκότων αὐταῖς μετεῖχεν αὐτῶν τὰ μετέχοντα, κατά τι τούτων ἂν μετεῖχεν ἃ κοινὰ ταῖς ἰδέαις. ἔστι δὴ πρὸς ἄλληλα, οἷον τὸ ἀΐδιον, τὸ ἀσώματον, τὸ ἀκίνητον. ἀλλὰ κατά τι τῶν κοινῶν εἰ μετεῖχε, τί δήποτε τῶν μετεχόντων τὸ μὴ ἄνθρωπός ἐστι τὸ δὲ ἵππος τὸ δὲ δυάς; μὴ καθὸ ταῦτά ἐστιν ἢ κ᾽ ἐκεῖνα μετέχοντα αὐτῶν, ἀλλὰ διὰ τί τῶν κοινῶς αὐτοῖς ὑπαρχόντων; id.

εἰπὼν δὲ μὴ δύνασθαι εἰς τὸ εἶναι συντελεῖν τὰ εἴδη τοῖς συνεστῶσι φύσει διὰ τὸ μὴ ἐνυπάρχειν αὐτοῖς, λέγει δ᾽ ἂν νῦν συντέλειαν εἰς τὸ εἶναι, ἣν ὡς τὰ στοιχεῖα ἑκάστοις, ὧν ἐστὶ στοιχεῖα, συντελεῖν λέγει· ὡς γὰρ ἐνυπάρχοντα ταῦτα συντελεῖ, οὕτω κ᾽ ἡ ὕλη κ᾽ τὸ εἶδος. ὅτι γὰρ μὴ ὡς ποιητικά, ἔδειξε διὰ τοῦ μὴ δύνασθαι ἐκεῖνα τούτοις αἴτια κινήσεώς τινος ἢ μεταβολῆς εἶναι. id.

Ἀναξαγόρας τε γὰρ ἕκαστον τῶν ὄντων ἔλεγε μὴ ἐκ πάντων μεμῖχθαι τῶν ὁμοιομερῶν· ὃ δὲ πλεῖστον ἐν αὐτῷ μέμικται, ἐξ αὐτοῦ τούτου δοκεῖν εἶναι τὴν ὑσίαν τοῦ πράγματος· ὥστε ἕκαστον αὐτῶν ἦν τοῦτο ὃ ἦν τῷ μεμῖχθαι αὐτῷ τινὰ ἄλλα. κ᾽ Εὔδοξος τῶν Πλάτωνος γνωρίμων μίξει τῶν ἰδεῶν ἐν τοῖς πρὸς αὐτὰς τὸ εἶναι ἔχουσιν ἡγεῖτο ἕκαστον εἶναι, κ᾽ ἄλλοι δέ τινες, ὡς ἔλεγε.

τοῦτον δὲ τὸν λόγον λίαν φησὶν εὐέλεγκτον εἶναι τὸν μεθέξει τινὸς ἕκαστον τῶν ὄντων τὸ εἶναι τόδε τι ἔχειν λέγοντα. καὶ ὅτι μὴ οὐκ οὕτως ἔχει καθόλου ἡ τῶν ὄντων φύσις, ἔδειξεν ἐν οἷς πρὸς Ἀναξαγόραν εἶπεν. οὔτε γὰρ πᾶν παντὶ μεμῖχθαι πέφυκε· τῶν γὰρ κεχωρισμένων καὶ καθ' αὑτὸ ὑφίστασθαι δυναμένων ἡ μῖξις, οὐ τοιαῦτα δὲ τὰ συμβεβηκότα. εἰ δὲ τὸ μεμιγμένον οἷόν τε χωρισθῆναι, χωριστὰ ἂν εἴη τὰ πάθη τῶν οὐσιῶν. ἀναιρεῖται τε καὶ γένεσις καὶ φθορὰ κατὰ τοὺς οὕτω λέγοντας, καὶ ὅσα ἄλλα εἶπεν ἐν τῷ πρώτῳ τῆς Φυσικῆς Ἀκροάσεως (c. 4) πρὸς τήνδε τὴν δόξαν. ὅτι δὲ μὴ ὡς Εὔδοξος ἡγεῖτο καὶ ἄλλοι τινές, μίξει τῶν ἰδεῶν τὰ ἄλλα, ῥᾴδιόν φησιν εἶναι συναγαγεῖν πολλὰ καὶ ἀδύνατα ἑπόμενα τῇ δόξῃ τῇδε. εἴη δ' ἂν τοιαῦτα. εἰ μίγνυνται αἱ ἰδέαι τοῖς ἄλλοις, πρῶτον μὲν σώματα ἂν εἶεν· σωμάτων γὰρ ἡ μῖξις. ἔτι ἕξουσιν ἐναντίωσιν πρὸς ἀλλήλας· ἡ γὰρ μῖξις κατ' ἐναντίωσίν ἐστιν. ἔτι οὕτως μιχθήσεται ὡς ἡ ὅλην ἐν ἑκάστῳ τῶν οἷς μίγνυνται εἶναι ἢ μέρος. ἀλλ' εἰ μὲν ὅλη, ἔσται ἐν πλείοσι τὸ ἓν καὶ τὸν ἀριθμόν· ἓν γὰρ καὶ τὸν ἀριθμὸν ἡ ἰδέα· εἰ δὲ πρὸς μέρος, τὸ μέρος τοῦ αὐτοανθρώπου μετέχον, οὐ τὸ αὐτοανθρώπου ἔσται ἄνθρωπος. ἔτι διαιρεταὶ ἂν εἶεν αἱ ἰδέαι καὶ μερισταί, οὖσαι ἀπαθεῖς. ἔπειτα ἔσται μὲν ὁμοιομερῆ, εἴγε πάντα τὰ ἔχοντά τι μέρος ἐξ αὐτοῦ ὅμοιά ἐστιν ἀλλήλοις· πῶς δὲ οἷόν τε τὰ εἴδη ὁμοιομερῆ εἶναι; οὐ γὰρ οἷόν τε τὸ μέρος τοῦ ἀνθρώπου ἄνθρωπον εἶναι, ὡς τὸ τοῦ χρυσοῦ μέρος χρυσόν. ἔτι, ὡς καὶ αὐτὸς ὀλίγον προελθὼν λέγει, ἐν ἑκάστῳ οὐ μία ἔσται ἰδέα μεμιγμένη ἀλλὰ πολλαί· εἰ γὰρ ἄλλη μὲν ζῴου ἰδέα ἄλλη δὲ ἀνθρώπου, ὁ δὲ ἄνθρωπος καὶ ζῷόν ἐστι καὶ ἄνθρωπος, ἀμφοτέρων ἂν μετέχοι τῶν ἰδεῶν· καὶ ὁ αὐτοάνθρωπος δὲ ἰδέα, ἣ μὲν καὶ ζῷόν ἐστι, μετέχοι ἂν καὶ αὐτὸ τοῦ ζῴου· οὕτως δὲ οὐκέτι ἂν ἁπλαῖ αἱ ἰδέαι εἶεν, ἀλλ' ἐκ πολλῶν συγκείμεναι, καὶ αἱ μὲν αὐτῶν πρῶται αἱ δὲ δεύτεραι. εἰ δὲ μή εἰσι ζῷον, πῶς οὐκ ἄτοπον ἄνθρωπον λέγειν μὴ εἶναι ζῷον; ἔτι δέ, εἰ μίγνυται τοῖς πρὸς αὐτὰ οὖσι, πῶς ἂν ἔτι εἶεν παραδείγματα, ὡς λέγουσιν; οὐδὲ γὰρ οὕτως τὰ παραδείγματα ταῖς εἰκόσι τῆς ὁμοιότητος τῆς πρὸς αὐτὰ αἴτια τῷ μεμῖχθαι. ἔτι τε καὶ συμφθείροιντο ἂν τοῖς ἐν οἷς εἰσὶ φθειρομένοις. id.

εἰσὶ δὲ οἱ εἰωθότες λέγεσθαι τοῦ ἔκ τινος τρόποι οἱ μὴ κυρίως ὅ τε ἐκ τῆς ὕλης καὶ τοῦ εἴδους. ἐκ μὲν τῆς ὕλης λέγομεν εἶναι τὰ ἔνυλα, ὁμοίως δὲ καὶ ἐκ τοῦ εἴδους τοῦ ἐν αὐτῷ, ἀλλὰ καὶ ἐξ ἀμφοῖν. ὧν τρόπων κατ' οὐδένα ἐκ τῆς ἰδέας τὰ πρὸς αὐτάς, ὡς δέδεικται· ἐνυπῆρχε μὲν ἂν αὐτοῖς. λέγεται δὲ ἔκ τινος καὶ ὡς ἐκ τοῦ ποιοῦντος καὶ ὡς ἐκ τοῦ ἀτελοῦς τὸ τέλειον, ὡς λέγομεν ἐκ παιδὸς ἄνδρα γίγνεσθαι, καὶ ὡς ἐκ τῶν μερῶν τὸ ὅλον, καὶ ὡς ἐκ τῶν ἐναντίων τὰ ἐναντία. λέγεται ἔκ τινος καὶ τὸ μεταγιγνόμενον, ὡς ἐξ Ὀλυμπίων Ἴσθμια. κατ' οὐδένα δὴ τῶν τρόπων τοῦ ἔκ τινος ἐκ τῶν ἰδεῶν τὰ ἐνταῦθα· οὔτε μὲν ὕλη αὐτῶν, ὡς ἐδείχθη, οὔτε εἶδος αἱ ἰδέαι. ἀλλ' οὐδὲ μέρη. ἀλλ' οὐδὲ ὡς ἐξ ἐναντίων ταῦτα ἐκείνων. τὸ μὲν ἐξ ἐναντίου γιγνόμενον ὑπομένοντος τοῦ αὐτοῦ ὑποκειμένου καὶ μεταβάλλοντος ἐκ τοῦ ἐναντίου γίγνεται· εἰ δὲ οὕτως, εἴη ἂν ταὐτὸν ὑποκείμενον ταῖς τε ἰδέαις καὶ τοῖς πρὸς αὐτάς, ὥστε αἱ ἰδέαι ἐναντίαι ἂν εἶεν τοῖς πρὸς αὐτὰς γιγνομένοις, ἀλλ' οὐχ ὅμοιαι. ἔτι φθειρόμεναι ἐν τῇ τούτων γενέσει, ὡς ἐξ ἐκείνων ταῦτα καὶ ἐκ τούτων ἐκεῖναι· τοιαύτη μὲν ἡ ἐξ ἐναντίων γένεσις. ἀλλ' οὐδὲ ὡς ὑπομενουσῶν καὶ τελειότητά τινα προσλαμβανουσῶν γίνεται τὰ πρὸς αὐτάς, ὡς ἐκ τοῦ παιδὸς ἀνὴρ ἐλέγετο γίγνεσθαι. οὔτε μὲν ἐνυπάρχει τούτοις, οὔτε τελειοῦται ἐκεῖνα ὑπὸ τούτων. εἴη μὲν ἂν ἀτελέστερά τε τούτων καὶ ἐν τούτοις καὶ φθαρτά· ἡ μὲν τῶν τελείων φθορὰ κἀκείνων ἐστὶ φθορά (ε). ἀλλ' οὐδὲ ποιητικαὶ αἱ ἰδέαι τῶν ἐνταῦθα, ὡς ὁ πατὴρ τοῦ τέκνου· ἀκίνητοι μὲν ἐκεῖναι· καὶ ἄνθρωπος ἄνθρωπον γεννᾷ ὁ καθ' ἕκαστα τὸν καθ' ἕκαστα, ἀλλ' οὐχ ὁ αὐτοάνθρωπος. ἀλλ' οὐδὲ οὕτως ὡς ἐξ Ὀλυμπίων Ἴσθμια. ἤτοι οὖν τὸ "ἀλλὰ μὴν οὐδὲ ἐκ τῶν εἰδῶν ἔστι τἆλλα κατ' οὐδένα τρόπον τῶν εἰωθότων λέγεσθαι" διὰ τοὺς ἔκ τινος τρόπους εἶπεν, ὡσεὶ πολλαχῶς τὸ ἔκ τινος· καὶ δέδεικται τοῦτο. ἢ λέγοι ἄν, ὡς τινες ἤκουσαν τὸ "κατ' οὐδένα τρόπον τῶν εἰωθότων λέγεσθαι," ὑπὸ τῶν τὰς ἰδέας τιθεμένων. ζητοῦντες μὲν τίνα τρόπον ἡ μετοχὴ ἡ τῶν εἰδῶν, ἢ οὕτως φασὶν ὡς ἐν ἑκάστῳ τῶν κατὰ μέρος ἐνυπάρχειν τὴν ἰδέαν, οἷον ἐν ἑκάστῳ τῶν τινῶν ἀνθρώπων τὸν αὐτοάνθρωπον, ἢ ἐν ἑκάστῳ μέρος τῆς ἰδέας, ἢ παράδειγμα τὸ εἶδός ἐστι τοῖς με-

τέχνσιν. ὧν οἱ μ̄ πρῶτοι δύο τρόποι τῆς μετοχῆς ἀδύνατοι, ὡς ἐδείξαμεν πρὸ ὀλίγυ. id.

μετενήνεκ̄ δὲ ἀπὸ τῶν γραφέων τὲ παράδειγμα, οἳ γράφειν 30 7.
λέγον̄ πρὸς παράδειγμα. id.

5 εἰ δὲ κ̄ μηκέτι ὄντι τινὶ ὅμοιον γίνε̄, ἐναργές ἐςιν ὅτι μὴ πάντως εἰκάζοντός τινος κ̄ πρὸς παράδειγμα ποιῦντος ὅμοιά τισί τινα γίνε̄. ὡς γ̄ ὁ τῷ μηκέτι ὄντι ὅμοιος ὢν ὑ πρὸς ἐκεῖνον γέγονεν, ὕτως ὑδὲ ἂν ἀΐδιόν τι εἶδος εἴη κ̄ συγχωρηθῇ εἶναί τις τοιαύτη φύσις, ἡ πρὸς αὐτὴν ὁμοιότης ὡς πρὸς παράδειγμα
10 ἔςαι, μηδενός γε ὄντος τῦ πρὸς ἐκεῖνο ποιῦντος. τῦτο δὲ ἂν λέγοιτο κ̄ πρὸς τὺς λόγυς τινὰς λέγοντας εἶναι τὰς ἰδέας κ̄ νοήματα. κ̄ γ̄ εἰ ἔςιν, ὑ διὰ τῦτο ἤδη κ̄ γίγνε̄ ταῦτα πρὸς ἐκεῖνα, μηδενὸς τῦ πρὸς αὐτὰ ποιῦντος ὄντος. ὅτι γ̄ μὴ πρὸς παράδειγμά τι κ̄ ἰδέαν γίνεταί τι ἢ γέγονε τῶν φύσει συνεςώ-
15 των, δείξαι τις ἂν κ̄ διὰ τοιύτυ λόγυ. εἰ ἀΐδιός ἐςιν ὁ κόσμος κ̄ μηδὲν τῶν νῦν γινομένων κ̄ φύσιν ὡς πρὸς παράδειγμα ἰδέαν τινὰ γίνε̄, ὑδ' ἂν πρότερόν τι ὕτως εἴη γεγονός. ἀλλὰ μὴν ἀΐδιός τε ὁ κόσμος, ὥς φασι, κ̄ ὑδὲν τῶν νῦν κ̄ φύσιν γιγνομένων πρὸς παράδειγμα ἰδέαν τινὰ γίγνε̄, ὡς δείξω. ὑδὲ πρότερον
20 ἄρα τι τῶν φύσει γεγονότων ὡς πρὸς παράδειγμα ἰδέαν γέγονε· πάντα γ̄ ὁμοίως ἀεὶ ἐν ἀϊδίῳ ὄντι τῷ κόσμῳ γίγνε̄. εἰ δὲ τῦτο, ὑδ' ἂν παραδείγματά εἰσιν αἱ ἰδέαι. id.

τὲ δὲ λέγειν κ̄ ἀριθμύς τινας ὡρισμένυς τε κ̄ τεταγμέ- 30 29.
νυς τὰ φύσει γιγνόμενα γίγνεζ (ὑ γ̄ ἀπὸ τύχης τε κ̄ αὐτο-
25 μάτυ· διὰ τῦτο γ̄ ἄνθρωπος ἄνθρωπον γεννᾷ), κ̄ διὰ τῦτο ἀξιῦν τὴν φύσιν πρὸς παράδειγμά τι κ̄ λόγον τινὰ ποιεῖν πρὸς ἐκεῖνα ἀφορῶσαν, τὲ μ̄ ἀληθὲς ἔχει τὲ δὲ ψευδές τι. γίγνε̄ μ̄ γ̄ πάντα τὰ φύσει κ̄ τάξιν τινὰ κ̄ ἀριθμύς τινας ὡρισμένυς κ̄ ὕτε ἀπὸ τύχης ὕτε αὐτομάτυ, ὑ μὴν διὰ τῦτο κ̄ πρὸς παράδειγμά. ὑ
30 γ̄ ἐννοῦσα ἡ φύσις ποιεῖ ἃ ποιεῖ (ἄλογος γ̄ αὕτη δύναμίς ἐςιν), ἀλλ' ἐςὶν αἰτία τῦ εἶναι ἐν τεταγμένῃ κινήσει, κ̄ ὥςε τῇ πρώτῃ τὴν μετ' αὐτὴν ἀκολυθεῖν τεταγμένως ὑ κ̄ λογισμόν τινα, κἀκείνῃ πάλιν τὴν τρίτην, ἕως ἂν ἐπὶ τὲ τέλος αἱ κινήσεις προέλθωσιν, ὗ χάριν ἐγίγνοντο. id.

ὐ γὰ ὕτως λέγει ἡ φύσις θεία τέχνη ὡς τῶν θεῶν ταύτῃ τῇ τέχνῃ χρωμένων, ἀλλὰ τῷ ἀπὸ θεῶν ὕσα δύναμις τὲ εὔτακτον τῆς κινήσεως σώζειν κατ' ἀκολυθίαν τινὰ ἡρμοσμένην, μὴ κὲ λογισμόν τινα κὲ νόησιν, ἀλλὰ τῷ ἀπ' ἐκείνων εἶναι. δῶρον δὲ ἀπὸ θεῶν ἔχοι ἂν ὐ τὲ πρὸς παράδειγμα ποιεῖν· πῶς γὰ ἂν ποιήσαι τι πρὸς παράδειγμα ὕ τέλεόν ἐςιν ἀνεννόητον; ἀλλ' ἔχειν ἄν τις παρὰ θεῶν αὐτὴν κὲ τὲ εὐλογώτερον λέγοι τὲ ὅμοιον τῷ ποιῶντι, ἐν ᾧ ἔςι κὲ ὅθεν τὴν ἀρχὴν λαμβάνει τὲ γινόμενον, ποιεῖν κὲ τὴν χωρὶς λόγυ τῶν κινήσεων εὐταξίαν. ἔτι τὲ εὔτακτον ἔςιν εὑρεῖν κὲ ἐν τοῖς κακοῖς κὲ παρὰ φύσιν γιγνομένοις, οἷον ἀποςήματα, τραύματα, φλεγμοναί, νόσων περίοδοι. ἀλλὰ κὲ ζῴων τινῶν γενέσεις τεταγμέναι μέν, ἀλλ' ὐ πρὸς ἰδέαν, οἷον σκωλήκων ἐμπίδων τερηδόνων. id.

30 14. "ἔςαι — εἴδη." αὕτη ἡ λέξις ἕως τῦ ἔτι δόξειεν ἂν ἀδύνατον εἶναι ἔν τισιν ὐ φέρει· διὰ ὐδὲ ὑπεμνηματίσαντο αὐτήν. δείκνυσι δὲ δι' αὐτῆς κὲ τῦτο τὲ ἄτοπον ἑπόμενον τῇ περὶ τῶν ἰδεῶν δόξῃ· εἰ γὰ παραδείγματα ἐκεῖνα τύτων, ἔςαι τῦ αὐτῦ πλείω παραδείγματα, κὲ ἰδέαι πλείυς ἔσονται αὐτῦ. id.

30 15. ἔτι ἔςαι ἐν ταῖς ἰδέαις τὲ μὶ πρότερον τὲ δὲ ὕςερον. εἰ δὲ αὐτοάνθρωπος μὴ μετέχει τῦ αὐτοζῴυ κὲ ὅμως ζῷόν ἐςιν, ὐκ ἀναγκη ὐδὲ τὲ ἐνταῦθα ζῷον εἶναι μετυσίᾳ τῦ αὐτοζῴυ· ὕτως δὲ ὐδὲ τῦ αὐτοανθρώπυ. τὲ γὰ λέγειν τὲν αὐτοάνθρωπον μὴ εἶναι ζῷον, ἄνθρωπον ὄντα, ἀτοπώτατον. "ἔτι ὐ μόνον τῶν αἰθητῶν παραδείγματα τὰ εἴδη ἀλλὰ κὲ αὐτῶν τῶν ἰδεῶν." ἐφθάκαμεν εἰρηκέναι πῶς. τὲ γὰ αὐτοζῷον παράδειγμα τῦ αὐτοανθρώπυ· τὲ γὰ γένος τῶν αὐτῦ εἰδῶν ἔςαι παράδειγμα, ἐπεὶ ἕκαςον αὐτῶν ἐςὶ κἀκεῖνο· ἔςαι τε ὕτως τὰ εἴδη παραδείγματα ὄντα τῶν αἰθητῶν αὐτὰ εἰκόνες τῶν ἰδεῶν. id.

30 23. τὲ μὶ "λέγομεν" ὁμοίως εἴρηται τοῖς πρόθεν· κοινῦται γὰ τὴν δόξαν ὡς ὕσαν κὲ αὐτῦ. id.

ἀλλ' εἰ τῦτο, πῶς αἴτιοι ἐκεῖνοι οἱ ἀριθμοὶ οἱ τῶν ἰδεῶν τοῖς ἐνθάδε ἀριθμοῖς, ἐν οἷς ἔςι τὰ ὄντα, ἔσονται; εἰ γὰ κὲ εἶεν ἴσοι οἱ ἐνταῦθα ἐκείνοις, ὡς εἶναι φέρε εἰπεῖν πεντάδα τόν τε αὐτοάνθρωπον κὲ τὲν αἰθητόν, ἀλλὰ τὴν μὶ ἀΐδιον πεντάδα τὴν δὲ μὴ ἀΐδιον, πῶς

ἐκείνη ἡ πεντὰς ταύτῃ τῇ πενταδὶ αἰτία ἔςαι τοῦ εἶναι; οὐ γὰρ δὴ οἱ ἴσοι ἀριθμοὶ ἀλλήλοις τοῦ εἶναι αἴτιοι· πῶς γὰρ ὅλως ἀριθμὸς ἀριθμῷ αἴτιος τοῦ εἶναι; id.

εἰ γάρ ἐςι τὰ ἐνταῦθα λόγοι τινὲς ἀριθμῶν, δηλονότι τινά 31 7.
5 ἐςιν ἐν αὐτοῖς ἃ τὸν λόγον ἔχει τοῦτον ἐν ᾧ ἑκάςῳ αὐτῶν τὸ εἶναι, ὥσπερ ἡ συμφωνία λόγος ἀριθμῶν ὅσα ἔχει τι ἓν ὑποκείμενον καὶ φύσιν τινὰ ὑποκειμένην ἧς ὁ ὁρισμός ἐςι καὶ λόγος ἡ συμφωνία, καὶ ἔςι τοῦτο οἱ φθόγγοι. id.

εἰ γὰρ ὁ Καλλίας φέρε εἰπεῖν ἢ ὁ ἄνθρωπος ὁ ὡμοιωμέ-
10 νος τῇ ἰδέᾳ λόγος ἐν ἀριθμοῖς τισίν ἐςι πυρὸς καὶ γῆς καὶ ὕδατος καὶ ἀέρος ἢ ἄλλων τινῶν ὑποκειμένων, ἔςαι καὶ ἡ ἰδέα ἀριθμὸς εἶναι λεγόμενος ὁ αὐτοάνθρωπος, πρὸς ἣν ὁ ἄνθρωπος λόγος ἐν ἀριθμοῖς, ἤτοι τῶν ἀριθμῶν αὐτῶν, εἰ εἴη τοῦτο ὑποκείμενον ἐν αὐτοῖς (τοῦτο γὰρ ἐσήμανε διὰ τοῦ "εἴτε ἀριθμός τις ὢν εἴτε μή"), καὶ οὐχ
15 ὁ αὐτοάριθμος· οὐ γὰρ δὴ ὁ ἀριθμὸς αἴτιος τοῦ ἐν ἀριθμῷ λόγου εἴη· ἐν γὰρ τῷ αὐτῷ ἀριθμῷ διαφέροντες γίγνονται λόγοι· ἐν γὰρ τῷ ς' καὶ ὁ διπλάσιος καὶ ὁ ἡμιόλιος. id.

τὸ δὲ "οὐδὲ ἔςαι τις διὰ ταῦτα ἀριθμός" ἴσον ἂν εἴη τῷ οὐδὲ 31 13.
ἔςαι διὰ ταῦτα ἡ ἰδέα ἀριθμός, ἐπεὶ μὴ τὸ ἐν λόγῳ ἀριθμῶν ὂν
20 ἤδη ἀριθμός. id.

εἰ δέ τις λέγοι καὶ τῶν ἰδεῶν ἑκάςην ἐκ πλειόνων ἰδεῶν 31 14.
εἶναι, οἷον τὸν ἄνθρωπον ἐκ ζῴου καὶ δίποδος φέρε εἰπεῖν, πρῶτον μὲν οὐχ ἁπλαῖ ἔτι αἱ ἰδέαι ἔσονται αὐτοῖς ἀλλὰ σύνθετοι, ἔπειτα αἱ μὲν πρῶται αὐτῶν αἱ δὲ δεύτεραι· πρῶτον γὰρ τὸ τοῦ ζῴου εἶδος,
25 εἶτα τὸ τοῦ ἀνθρώπου ἢ ἵππου. ἔτι ἐπὶ μὲν τῶν ἀριθμῶν ἐκ πάντων τῶν διαφερόντων συντεθέντων εἷς ἀριθμὸς γίνεται, ἐπὶ δὲ τῶν ἰδεῶν ἀδύνατον τοῦτο· οὐ γὰρ πάντα τὰ διαφέροντα εἴδη ἕν τι ποιεῖ σύνθετον, οἷον ἵππος καὶ κύων. ἔτι τὰ μὲν συντιθέμενα ἰδίᾳ προϋπάρχοντα συντίθεται· οὐχ οἵόν τε δὲ ἄνθρωπον καὶ ζῷον κεχωρισμένα
30 ποτὲ ἢ λαβεῖν ἢ ἐπινοῆσαι. id.

εἴτε γὰρ ὁμοειδεῖς, πολλά φησι συμβήσεσθαι ἄτοπα, ἃ οὐκ ἐπή- 31 17.
νεγκεν ὡς ὄντα γνώριμα· λέγει δὲ περὶ αὐτῶν ἐν τῷ Μ τῆσδε τῆς πραγματείας. συμβήσεται γὰρ τὸ πᾶσαν ἐκείνων τῶν μονάδων σύνθεσιν ἰδέαν ποιεῖν· εἰ γὰρ πᾶσαι αἱ μονάδες ὁμοειδεῖς, τί δήποτε αἵδε

μὴ ἰδέαν ποιῶσιν αἵδε δὲ ὅ; ὅτω τε πᾶς ἀριθμὸς ἰδέα ἔςαι, ὑχ ὁ τοσοῦτος ϗ ἐκ τοσούτων μονάδων ἐξ ὅσων ϗ τὴν ἰδέαν βούλονθ συγκεῖθαι, ἢ ἐκ τοσῶνδε, εἴγε ἐξ ὧν εἰσίν, ὁμοειδεῖς πᾶσαι. ἔτι πᾶσαι αἱ ἰδέαι ὁμοειδεῖς ἀλλήλαις ἔσονθ κατ' ὐδὲν ἀλλήλων ἢ κθ' τὸ πλῆθος μονάδων διαφέρουσαι· ὅτω δὲ ϗ τὰ μετέχοντα αὐτῶν ὁμοειδῆ ἔςαι ἀλλήλοις. ἀλλ' ὁ δοκεῖ τὸ λογικὸν ϗ ἄλογον πλήθει τινὶ διαφέρειν, ἀλλὰ ποιότητι μᾶλλον. εἰ γὰρ λέγοιεν ἐν ἐλάττοσι τὸ ἄλογον εἶναι μονάσι, δῆλον ὅτι ἂν προςεθῶσι μονάδες τῷ ἀλόγῳ, αἷς ὑπερεῖχε τὸ λογικὸν τοῦ ἀλόγου, τὸ ἄλογον λογικὸν ἔςαι. τοιαῦτα μὴ τὰ ἄτοπα, εἰ ὁμοειδεῖς αἱ μονάδες ὑποτεθεῖεν. εἰ δὲ ἀνομοειδεῖς λέγοιεν αὐτάς, αὐτὸς ἐπιφέρει τὰ ἄτοπα τὰ ἑπόμενα. εἰ γὰρ μήτε αἱ κοιναὶ ἀλλήλαις ὁμοειδεῖς, μήτε πᾶσαι πάσαις ὁμοειδεῖς αἱ μονάδες, μηδὲ αἱ αὐταὶ κθ' τὸ εἶδος (τοῦτο γὰρ δηλωτικὸν τὸ "μήτε αἱ αὐταί"), ἀλλ' ἔςαι τις ἐν αὐταῖς διαφορὰ ὡς τάσδε μὴ ἰδεῶν εἶναι ποιητικὰς τάσδε δὲ μή, ἢ τάσδε μὴ τῶνδε τάσδε δὲ τῶνδε, τίς ἔςαι ἡ ἐν αὐταῖς διαφορὰ ἀπαθέσι πάσαις οὔσαις ϗ μηδεμίαν διαφορὰν κθ' μηδὲν ἐν αὐταῖς ἀναδέξαθαι δυναμέναις; μόνη γὰρ ἐν μονάσι διαφορά, ὡς εἶπεν ἐν τῷ πρώτῳ περὶ Ψυχῆς (c. 4 p. 409 a 20), θέσις· ἀλλ' αἱ θέσιν ἔχουσαι μονάδες οὐκέτι μονάδες ἁπλῶς, ἀλλὰ σώματα ϗ γραμμαί· ὐδὲν γὰρ τούτων εὔλογον ὐδὲ ὁμολογούμενον τῇ περὶ τῶν μονάδων νοήσει. id.

ταῦτα δὴ τὰ παρὰ τούτοις τοῖς μαθηματικοῖς ὑποκείμενα ἕτερά τινα γένη ἔςαι ϗ ἑτέρου εἴδους, εἰ ἔςιν εἰδητικὴ τῶν ἀριθμῶν διαφορὰ τῶν τε ἐξ ὧν ταῦτα ἔςι περὶ ἃ οἱ μαθηματικοί, ϗ τῶν ἐξ ὧν αἱ ἰδέαι (ἀριθμοὶ γὰρ αὐτοῖς ϗ τῶν μαθηματικῶν αἱ ἀρχαί, εἴγε πάντων τῶν ὄντων ἁπλῶς) ἕτερα γένη ἔςαι.
31 23. "ἁπλῶς" φησί, λέγων περὶ τῶν μαθηματικῶν. ἢ ἐκ τίνων αὐτοῖς ἀρχῶν ἔςαι, εἰ μὴ ἐκ τῶν αὐτῶν ἐξ ὧν ϗ αἱ ἰδέαι ϗ ὁ εἰδητικὸς ἀριθμός, ἅτινα πάντων ἀρχὰς ὑπέθεντο; πῶς δὲ ϗ ἔτι αὐτοῖς μεταξὺ τὰ μαθηματικὰ ἔςαι τῶν τε αἰθητῶν ϗ τῶν ἰδεῶν, ἄλλης ὄντα φύσεως ϗ ἐξ ἄλλων ἀρχῶν; πῶς ἂν ἔτι μεταξὺ εἴη τῶν τε ἰδεῶν ϗ τῶν πρὸς αὐτὰ λεγομένων τὸ εἶναι ἔχειν, ὁ τῶνδε ϗ ὁ τῶνδε διαφερουσῶν τούτων τε ϗ ἐκείνων· ϗ γὰρ τούτοις ἄλλων ἀρχῶν δεήσει. τὰ γὰρ ὡς ἐξ ἀφαιρέσεως λαμβα-

νόμενα μεταξύ ἐςιν, ὐκ ἔςι δὲ ἐξ ἀφαιρέσεως τισίν, εἰ ἐκ τῶν αὐτῶν ἀρχῶν εἴη. ἔτι κ̓ κ̓ τοῦτο ἄτοπον τὸ μεταξὺ λέγειν τὰ μαθηματικά, καθ' ὅσον ἀνθρώπυ μ̓ κ̓ ἵππυ κ̓ τῶν ὑσιῶν τῶν αἰθητῶν κ̓ τῶν ἰδεῶν ὐκ ἔλεγον μεταξύ τινα, ἐπὶ δὲ τοῦ ἀριθμοῦ κ̓ τῶν μαθηματικῶν τοῦτο ἔλεγον· τί γὰρ τὸ αἴτιον τούτυ; "αὐτῶν δὲ" τῶν ἰδεῶν εἶπεν, ἐπειδὴ μ̓ τῆς τοῦ αὐτό προθήκης δηλοῦν). id.

αἱ μονάδες αἱ ἐν τῇ δυάδι πρότεραι μ̓ ἔσον) τῆς δυάδος κ̓ λόγον, εἴτε ἐκ τούτων τῇ δυάδι τὸ εἶναι, ἀρχὴ δὲ τοῦ ἔκ τινος τὰ ἐξ ὧ. ἀδύνατον δὲ τοῦτο λέγειν τοῖς λέγυσιν ἀρχὴν τὴν δυάδα· ἔςαι γάρ τις ἀρχὴ τῆς ἀρχῆς κ̓ πρῶτόν τι τῆς ἀρχῆς. id.

νῦν δὲ τὸ ἓν ἁπλῶς λέγυσιν ἀρχήν, ὥςε πολλῶν ὑσῶν τῶν 324. μονάδων κ̓ κεχωρισμένων ἀλλήλων κ̓ τοῦ ἑνὸς κατηγορυμένυ κοινῶς κατ' αὐτῶν, ἀλλ' ὐχ ὅλυ τινὸς ὄντος τῆς μονάδος κ̓ ἑνὸς κ̓ ὁμοιομερῆς κ̓ μόρια ἔχοντος ὅμοια αὐτῷ τὰς μονάδας, ὡς τὸ πῦρ κ̓ τὸ ὕδωρ· κ̓ γὰρ κ̓ τούτων ἑκάτερον ἕν τι ὂν κ̓ ὁμοιομερές ἐςιν. εἰ δὲ οὕτως, ὐκ ἔσον) ὑσίαι οἱ ἀριθμοί. τυτέςιν, εἰ δὲ οὕτως λέγοιεν τὸ ἓν ὡς ὁμοιομερές, ὐκέτι αὐτοὶ οἱ ἀριθμοὶ ὑσίαι κ̓ ἰδέαι ἔσον) ἀλλ' ὑποκείμενα κ̓ ὑλικά (τοιαῦτα γὰρ τὰ ὁμοιομερῆ), κ̓ ἔτι τὸ ὅλον ὐκ ἔςαι τῶν αὐτοῦ μερῶν ἰδέα. ἔτι τε ὑσία μ̓ ὐκ ἔςαι κυρίως τὸ εἶδος, ὐδὲ οἱ ἀριθμοὶ ὐχ ὕλης ὐκ εἴδυς λόγον ἔχυσιν. ἢ δύνα) τὸ λεγόμενον τοιοῦτον εἶναι. εἰ δὲ λέγοιεν τὸ ἓν τοιοῦτον εἶναι ὡς φύσιν τινὰ μίαν, ὡς τὸ πῦρ, ὡς τὸ ὕδωρ, κ̓ τοιοῦτον ὂν ἀρχὴν εἶναι, ὐκέτι αὐτοῖς ἔσον) ὑσίαι τε κ̓ ἰδέαι κ̓ ἀρχαὶ οἱ ἀριθμοί· ὐ γὰρ ἐκ τῆς τοῦ τοιούτυ συνθέσεως ὁ ἀριθμός (ἓν γάρ τι γίγνε) κ̓ τὸ αὐτὸ ἐκ τῆς τούτυ συνθέσεως, ὡς ἐπὶ τῆς τοῦ πυρὸς συνθέσεως), ἀλλ' αἱ ἰδέαι κ̓ αἱ ἀρχαὶ ἐκ τοιούτυ δηλονότι ὁμοιομερῆς, ἀλλ' ὐκ ἀριθμός τις. ὐκέτι οὖν ἔσον) αὐτοῖς ὑσίαι κ̓ ἰδέαι κ̓ ἀριθμοί, ἀλλὰ δηλονότι ἐκεῖνο, εἴπερ ἔςι, τὸ αὐτὸ ἕν. ὃ εἰ ἔςι τι κατ' αὐτὸς καὶ ἔςιν ἀρχή, πλεοναχῶς ἂν τὸ ἓν λέγοιτο· ἄλλως γὰρ ἀδύνατον τὸ ἓν ἀρχὴν λέγειν αὐτοῖς. δύνα) τὸ "ἀλλὰ δῆλον ὅτι, εἴπερ ἔςι τι ἓν αὐτὸ" ἐπενηνοχέναι ὡς εὔλογον ὂν τοῦτο αὐτὸς λέγειν. ὅτε γὰρ ὡς γένος κ̓ κοινὸν λέγοιεν ἄν, ὅτε ὡς ὁμοιομερὲς τὸ ἕν, ἀλλ' ὡς ἄλλην τινὰ φύσιν ἔχον ἐκεῖνο τὸ

ἓν τὸ ὡς ἀρχὴν παρὰ τὰ ἄλλα πάντα. ᾧ ἐπιφέρει τὸ ἔσεσθαι αὐτοῖς τὸ ἓν τῶν πολλαχῶς λεγομένων καὶ ὁμώνυμον. id.

32 13. ἔστι δὲ ὃ λέγει τοιοῦτον. δοκεῖ τοῦ μὲν σώματος, ὃ στερεόν ἐστι, πέρας εἶναι ἡ ἐπιφάνεια, ὃ ἐπίπεδον λέγει, τῆς δὲ ἐπιφανείας καὶ τοῦ ἐπιπέδου πέρας ἡ γραμμή, ὃ μῆκος εἶπεν· ὥστε καὶ ἐν τῷ ἐπιπέδῳ τὸ μῆκος ἐστί, καὶ ἐν τῷ στερεῷ καὶ τὸ ἐπίπεδον καὶ τὸ μῆκος. λέγεται γοῦν ἡ μὲν ἐπιφάνεια, ὃ ἐπίπεδον λέγει, τὸ μῆκος καὶ πλάτος ἔχον, τὸ δὲ στερεὸν ὃ πρὸς τούτοις καὶ βάθος ἔχει. οὕτω μὲν οὖν ταῦτα φύσεως ἔχει· κατὰ δὲ ἐκείνους ἄλλα λέγοντας καὶ διαφέροντα γένη εἶναι τὸ βραχὺ καὶ μακρὸν καὶ τὸ στενὸν καὶ πλατὺ καὶ βαθὺ καὶ ταπεινόν, καὶ εἰ ὡς ὑπὸ διαφέροντα τὰ γένη καὶ οὐχ ὑπ' ἄλληλα αὐτὰ ὄντα τίθενται, πῶς δυνήσεται ἔτι ἢ τὸ μῆκος ἐν τῷ ἐπιπέδῳ εἶναι ἢ ταῦτα ἐν τῷ στερεῷ; ὥσπερ γὰρ οὐδὲ ὁ ἀριθμός ἐστιν ἐν τούτων τινί, ὅτι ἄλλαι τοῦ ἀριθμοῦ ἀρχαὶ κατ' αὐτοὺς ἦσαν (τὸ γὰρ πολὺ καὶ τὸ ὀλίγον τοῦ ἀριθμοῦ ἀρχαί, ἅ ἐστιν ἄλλα τῶν προειρημένων), οὕτως οὐδὲ ἐπὶ τούτων οὐδὲν ὑπάρξει τῶν ἄνω ἐν τοῖς κάτω, τυτέστι τῶν πρώτων ἐν τοῖς ὑστέροις. id.

32 21. δοκεῖ μὲν τὰ σημεῖα καὶ αἱ στιγμαὶ ἐνυπάρχειν τῷ μήκει καὶ τῇ γραμμῇ, ὥσπερ καὶ αὕτη ἐν τῷ ἐπιπέδῳ καὶ τὸ ἐπίπεδον ἐν τῷ στερεῷ, εἶναι δὲ ἄλλης φύσεως παρ' ἐκεῖνα ὡς κἀκεῖνα ἀλλήλων. τίνος οὖν αἱ τούτων ἀρχαί; καὶ εἰς τί γένος ταῦτα ὑπαχθήσεται; καὶ πῶς ἀναχθήσεται εἰς τὸ μέγα καὶ τὸ μικρόν; καὶ πῶς ἔσονται ἐν τῷ μήκει; ἀπορήσας δὲ τοῦτο ἐξῆς ἱστορεῖ τὴν Πλάτωνος περὶ τῶν στιγμῶν δόξαν· φησὶ γὰρ αὐτὸν μηδὲ τὴν ἀρχὴν παραδέχεσθαι ὡς οὖσαν φύσιν τινὰ σημείου, ἀλλὰ λέγειν δόγμα τι τοῦτο καὶ θέσιν τινὰ γεωμετρικὴν εἶναι, οὐκ ἐν τῇ φύσει τῶν ὄντων οὖσαν. τὸ μὲν οὖν σημεῖον οὐκ ἔλεγεν εἶναί τι οὐδὲ ὠνόμαζεν, ἐκάλει δὲ ἀρχὴν τῆς γραμμῆς πολλάκις, ἣν ἄτομον γραμμὴν ἔλεγεν. ἱστορεῖ δὲ ὡς καὶ Πλάτωνος, οὐ μόνον Ξενοκράτους, ἀτόμους γραμμὰς τιθεμένου, ἣν δηλονότι ὑπὸ τὸ αὐτὸ γένος ὑπῆγον τῇ γραμμῇ, τὸ βραχὺ καὶ μακρόν. id.

33 1. δείξας δὲ ὅτι μήτε ποιητικὰ αἴτια αἱ ἰδέαι μήτε ὡς εἴδη (τὸ γὰρ εἶδος ἐν τούτῳ οὗ ἐστὶν εἶδος, αἱ δὲ οὔτε ἐν τούτοις οὔτε τὸ τῆς μετοχῆς ὄνομα σημαίνει τι), λέγει ἐπὶ τούτοις ὅτι μηδὲ ὡς τὸ οὗ ἕνεκα καὶ τὸ τέλος αἰτίαι τοῖς οὖσιν αἱ ἰδέαι κατ' αὐτούς, ἥτις αἰτία ἐν πᾶσι τοῖς κατὰ νοῦν καὶ ἐπιστήμην καὶ φύσιν γιγνομένοις ἐστὶ

κυριωτάτη αἰτία· πάντα γὰρ τά τε κατὰ φύσιν καὶ τὰ κατὰ τέχνην καὶ ἐπιστήμην, ἔτι δὲ καὶ τὰ κατὰ προαίρεσιν γιγνόμενα ἕνεκά τινος γίγνεται, καὶ ἔστιν ἐν αὐτοῖς ἡ κυριωτάτη αἰτία. οὐχ οὕτως δὲ αἱ ἰδέαι αἰτίαι τοῖς οὖσι κατ' αὐτούς· οὐ γὰρ τοῦ εὖ εἶναι τὰ πρὸς τὰς ἰδέας γιγνόμενα αἰτίας τὰς ἰδέας λέγουσιν, ἀλλὰ τοῦ ὅλως εἶναι· παραδείγματα γὰρ ἀλλ' οὐ τέλη λέγουσιν αὐτάς. πῶς γὰρ ἂν καὶ εἶεν ἐκεῖναι τέλη τούτων; οὔτε γὰρ προϋφέστηκε τὸ τέλος τοῦ οὗ ἐστὶ τέλος, ἀλλὰ μόνον προεπινοεῖται ὕστερον ἐπιγιγνόμενον τούτῳ οὗ ἐστὶ τέλος, αἱ δὲ ἰδέαι καὶ προϋφίστανται καὶ οὔτε γίγνονται οὔτε εἰσὶν ἐν τοῖς γιγνομένοις. id.

προπαιδείαν γοῦν τὴν τούτων θεωρίαν ἔλεγον, καὶ συνερίθους ὁ Πλάτων φιλοσοφίας τὰς μαθηματικὰς ἐπιστήμας ἐκάλει. ὅτι δὲ ταῦτα λέγοντες οὐδὲν ἄλλο περὶ τούτων φιλοσοφοῦσί τε καὶ πραγματεύονται, δηλοῦσιν ἔκ τε τοῦ ἀρχὰς τῶν ὄντων ἁπάντων τοὺς ἀριθμοὺς λέγειν καὶ τὰς ἰδέας ἀριθμούς τινας ὑποτίθεσθαι καὶ τὰ φυσικὰ γεννᾶν ἐκ τῶν μαθηματικῶν. καὶ γὰρ ἡ οὐσία αὕτη ἣν ὡς ὕλην ὑποτίθενται τῶν φύσει γινομένων ἀρχήν (αὕτη δέ ἐστιν ἡ ἀόριστος δυὰς καὶ τὸ μέγα καὶ τὸ μικρόν), μαθηματικὴ μᾶλλόν ἐστιν ἢ φυσική· ἡ γὰρ δυὰς ἀριθμοῦ μᾶλλον ἢ τῶν φύσει συνεστώτων ἀρχή, μαθηματικωτέρα μᾶλλον καὶ οὐχ ὑποκειμένη τις φύσις, ἀλλὰ μᾶλλον κατηγορούμενόν τι τῆς ὕλης δόξειεν ἂν εἶναι καὶ διαφορὰν αὐτῆς δηλοῦν ἢ ὑποκείμενόν τι αὐτὸ καὶ ὕλην. id. 33 6.

οἱ τὰς ἰδέας θέμενοι τὸ ἓν τὴν κυριωτάτην οὐσίαν ὑπολαμβάνοντες εἶναι, ὥσπερ οὖν καὶ οἱ Πυθαγόρειοι τὴν κατὰ τὸ εἶδος τῶν ὄντων ἀρχήν τε καὶ αἰτίαν ταύτην ἐπίστευσαν εἶναι, διὰ τὸ ὁρᾶν τοῦ μὴ εἶναί τε καὶ σώζεσθαι ἑκάστῳ τὴν τοῦ ἑνὸς φύσιν οὖσαν αἰτίαν (ἓν γάρ τι ἕκαστον τῶν ὄντων καθὸ ἔστι), φθορᾶς δὲ αἰτίαν τὴν εἰς πολλὰ διάλυσιν τοῦ ἑνός· ἕκαστον γὰρ τῶν ὄντων ἔστι μὴ ἐπὶ τῆς ἑαυτοῦ φύσεως, ἢ καὶ ἐν μονῇ σώζεται, διαλυόμενον δὲ φθείρεται· καὶ τοῦτο ἐπιστοῦντο τοῦτο μὴ ἀπὸ τῶν ζῴων, οἷς ἦν ἡ ἐν τῷ ἑνὶ μονὴ καὶ ἐν τῷ αὐτῷ εἴδει σωτηρία, φθορὰ δὲ ἡ εἰς πολλὰ διάλυσις, τοῦτο δὲ καὶ ἐπὶ τῶν ἀψύχων ἑκάστου. ἀλλὰ καὶ τὸν κόσμον διὰ τὴν ἐν τῷ ἑνί τε καὶ τῷ αὐτῷ μονὴν σωζόμενον, φθαρέντα δ' ἂν εἰ τῆς ταὐτότητος καὶ ἑνότητος ἐκστάιη. ἐκ τούτου δὴ πιστεύσαντες τὴν τοῦ 33 15.

ἑνὸς φύσιν τοῦ τε εὖ καὶ τοῦ εἶναι ἑκάστῳ τῶν ὄντων αἰτίαν εἶναι, διὰ τοῦτο ἀρχὴν αὐτὴ τὴν κυριωτάτην πάντων τῶν ὄντων ὑπέθεντο, καὶ δὴ τὰς ἰδέας αἰτίας ἔλεγον τοῖς ἄλλοις τοῦ εἶναι ὥσπερ ἑνάδας τινὰς οὔσας, καὶ κατὰ τοῦτο τοῦ εἶναι τοῖς εἰς αὐτὰς ἀναγομένοις τε καὶ ὑπαγομένοις δύο δὶς οὔσας αἰτίας. ἐπειρῶντο δὲ καὶ ἐκθέσει τινὶ χρώμενοι πάντα εἰς τὸ ἕν τε καὶ τὴν οἰκείαν οὐσίαν ἀνάγειν, ὁ δὲ τρόπος αὐτοῖς τῆς ἐκθέσεως ἦν τοιοῦτος. τοὺς καθ' ἕκαστα ἀνθρώπους προχειριζόμενοι ἐπεσκόπουν τὴν ἐν ἅπασιν αὐτοῖς ὁμοιότητα, καὶ ταύτην εὑρίσκοντες μίαν καὶ τὴν αὐτὴν ἐν πᾶσιν οὖσαν καθὸ ἄνθρωποι, ἐς ταύτην τὴν ἑνάδα πάντας ἀνῆγον καὶ τῇ τοῦ ἑνὸς μετοχῇ τοὺς ἀνθρώπους ἔλεγον εἶναι, καὶ τὸ ἓν τοῦτο ἐπὶ τοῖς ἀνθρώποις αὐτοάνθρωπον ἔλεγον· ὁμοίως πάλιν ἐπὶ ἵππων κυνῶν καὶ τῶν ἄλλων ἐποίουν. ἀλλὰ καὶ τοὺς ἀνθρώπους πάλιν ἐπὶ τοὺς κύνας καὶ τὰ ἄλλα ζῷα ἐκτιθέμενοι, πάλιν ἐλάμβανον τούτοις τὸ εἶναι ζώοις κατά τι ἕν, ὃ ἓν αἴτιόν τε αὐτοῖς τοῦ εἶναι ζῴοις ἐτίθεντο, καὶ δὴ καὶ πάλιν ἑνάδα τινὰ ἐποίουν καὶ ἰδέαν, καὶ τοῦτο ἔλεγον τὸ αὐτόζῳον, εἰς ἣν ἀνῆγον τὰ ζῷα. ὁμοίως δὲ πάλιν καὶ τὰ ζῷα λαμβάνοντες καὶ φυτὰ καὶ τὰ ἄλλα σώματα, ἑνὸς εὑρίσκοντες μετουσίᾳ ταῦτα οὐσίας ὄντα, ἰδέαν τινὰ καὶ ἑνάδα οὐσίας λαμβάνοντες τὴν αὐτουσίαν, ὑπὸ μίαν ταύτην πάλιν ἀνήγαγον πάσας τὰς οὐσίας. οὕτω δὲ πάλιν τὴν οὐσίαν καὶ τὴν ποιότητα ἐν τῇ τοῦ ὄντος μεταχέσει λέγοντες ὄντα εἶναι, αὐτό τι ὂν ποιοῦντες, πάντα τὰ ὄντα εἰς ἓν τοῦτο ὑπῆγον. καὶ οὕτως αὐτοῖς ἐφοδεύουσι καὶ τῇ ἐκθέσει χρωμένοις πάντα τὰ ὄντα εἰς τὸ ἓν καὶ τὴν ἀρχὴν ἀνάγεσθαι ἐδόκει. τοῦτο γοῦν καίτοι δοκοῦν ὑπ' αὐτῶν λαμβάνεσθαί τε τῇ ἐκθέσει καὶ δεικνυσθαι ὡς φανερὸν τὸ πάντα γίγνεσθαι ἕν, ὅ φησιν οὕτως γίγνεσθαι ὡς οἷον). ὁ γὰρ ὅταν ἐκθέμενοί τινα πλείω, καὶ κοινωνίαν τούτων κατά τι λαβόντες, τοῦτο ἕν τε ποιήσωσι καὶ ἰδέαν, καθὸ ἡ κοινωνία καὶ ἡ ὁμοιότης ἐκείνοις γίγνεται αὐτοῖς, αὐτὰ τὰ ἐκτεθέντα ἕν, οἷον οἱ ἄνθρωποι ἢ ἄνθρωποι· ἀλλ' αὐτὸ μὴ ἄνθρωπος ἕν τι ἔσται δεικνύμενος ὑπ' αὐτῶν ἐκ τῆς ἐκείνων πρὸς ἄλληλα ὁμοιότητος, οὗτοι δὲ οἱ πολλοὶ οὐχ ἕν. ὥστε ὁ τὰ πολλὰ καὶ τὰ πάντα ἓν γίγνεται, κἂν συγχωρήσῃ τις αὐτοῖς πάντα ἃ λαμβάνουσιν, ἀλλὰ πρὸς ἕν τι γεγόνοτα πολλὰ μέντοι ὄντα καὶ μένοντα. ὁ γὰρ οἱ πολλοὶ καὶ οἱ καθ' ἕκαστα ἄνθρωποι αὐτοάν-

θρωποι ὄντες δείκνυθ (ἄλλος γὰρ ἐκεῖνος τούτων), οὐδὲ πάντα τὰ ὄντα αὐτοῦν καὶ αὐτοέν, ἀλλὰ κοινόν τι ἐπ' αὐτοῖς οὖσι πολλοῖς τὸ ἕν τε καὶ τὸ ὄν. ὥςε οὐδὲ δοθέντος αὐτοῖς καὶ συγχωρηθέντος τοῦ πρὸς παράδειγμά τι ταῦτα γίγνεαθ, τὸ αὐτοέν, καὶ εἶναί τι ἓν οὗ
5 μεταχέσει τὰ πολλὰ ταῦτα ἀλλήλοις ἢ κατὰ τὸ εἶδος ἢ κατὰ τὸ γένος λέγεθ, οὐδ' οὕτως γίγνεθ τὰ πάντα ἕν, ἀλλὰ καθ' ἑκάςην ὁμοιότητα τῶν πολλῶν τούτων αὐτό τι ἓν γίγνεθ καὶ ἑνάς τις, οὐ ταῦτα ἕν. ἀλλ' οὐδὲ τοῦτο, φησίν, ἐπὶ πασῶν τῶν ὁμοιοτήτων οἷόν τε δείκνυαθ καὶ λέγεαθ ὡς κατὰ πᾶσαν ὁμοιότητα ὑπό τι ἓν εἶναι, ἂν
10 μὴ κατὰ τὸ εἶδος ἢ γένος ὁμοιότης ᾖ τῶν λαμβανομένων· ἡ γὰρ κατὰ τὴν οὐσίαν καὶ τὸ γένος τε καὶ τὸ εἶδος ταὐτότης τε καὶ ὁμοιότης ἰδέα, ἀλλ' οὐκ ἡ κατὰ τὸ συμβεβηκός. id.

τὸ δὲ "ἐὰν διδῷ τις πάντα" δοκεῖ μοι προθεῖναι ἐνδεικνύ- 33 17.
μενος ὅτι μὴ συγχωρηθήσεθ αὐτοῖς, εἰ κατὰ κοινωνίαν τινὰ τὴν πρὸς
15 ἄλληλα ὁμοίως ἀλλήλοις λέγεταί τινα, ἤδη καὶ ἓν τίθεαθ ἐκεῖνο, ὡς πάντα τὰ ὑπ' αὐτὸ πρὸς ἐκεῖνο τὸ εἶναι ἔχειν ὡς κεχωρισμένον αὐτῶν. ἢ τὸ "ἂν διδῷ τις πάντα" σημαίνοι ἂν τό, ἂν συγχωρῇ τις πάντα τὰ ὁμοίως ἀλλήλοις λεγόμενα κατὰ ἑνός τινος κοινωνίαν οὕτω λέγεαθ, καὶ συγχωροῖ τὸ ἓν ἐπὶ πολλοῖς τοιοῦτον εἶναι, οὐδὲ τοῦτο
20 ἔςαι ἐπ' ἄλλων τινῶν ἢ τῶν ὡς γενῶν καὶ εἰδῶν κοινῶν· τὰ γὰρ οὕτως κοινά τε καὶ καθόλου μόνα ἰδέαν τινά, φησί, σημαίνειν δοκεῖ. καίτοι τοῦτό γε ἐν ἑνίοις ἀδύνατον· συμβαίνει γὰρ ἔνια τῶν κοινῶς κατά τινων κατηγορουμένων μὴ δύναθαθ γένη εἶναι τούτων ὧν κοινῶς κατηγορεῖθ· τοιαῦτα γὰρ τὰ πολλαχῶς λεγόμενα. λέγοι δ'
25 ἂν μάλιςα αὐτά διὰ τὸ ὄν, ὃ ἐκεῖνοι μὴ ὡς γένος τι κοινὸν τῶν ὅλων λαμβάνοντες ἰδέαν ἐποίουν τὸ αὐτοῦν καὶ αὐτοέν, καὶ εἰς τοῦτο πάντα ὑπῆγον. εἰ δὲ μή ἐςι γένος τὸ ἕν, ἀλλὰ τῶν πολλαχῶς λεγομένων, δῆλον ὡς οὐδὲ ὁμοιότης ἂν τοῖς οὖσιν οὐσιώδης κατὰ τοῦτο εἴη. id.

30 οὔτε δὲ πῶς ἔςιν οὔτε ἐν τίνι φύσει τῶν ὄντων ἔςαι κατ' 33 20.
αὐτούς, οἷόν τε εἰπεῖν. τὰ μὲν γὰρ φύσει ὄντα ἐςὶν αὐτοῖς ἢ ἰδέαι ἢ μαθηματικὰ ἢ αἰθητά, τὸ δὲ αὐτομῆκος καὶ τὸ αὐτοεπίπεδον καὶ αὐτοςερεὸν ἰδέαι μὲν οὐκ ἔσονθ, ὅτι αἱ μὲν ἰδέαι ἀριθμοὶ κατ' αὐτούς, ταῦτα δὲ ἔλεγον μετ' αὐτοὺς τοὺς ἀριθμοὺς εἶναι. ἀλλ' οὐδὲ με-

ταξύ· μεταξὺ γὰρ τὰ μαθηματικὰ κατ' αὐτούς. ἢν δὲ καὶ πολλά, οὐ πολλὰ δὲ τὸ αὐτομῆκος ἢ τὸ αὐτοεπίπεδον ἢ τὸ αὐτοστερεόν. ἀλλ' οὐδὲ ἐν τοῖς αἰσθητοῖς ταῦτα καὶ φθαρτοῖς· οὐδὲ γὰρ τούτων τι κυρίως ὄν. φαίνεται οὖν τέταρτόν τι γένος τοῦτο τῶν ὄντων γενέσθαι κατ' αὐτούς. id. 5

33 25. ὁ λόγος τοιοῦτος. ὧν μή εἰσι κοιναὶ ἀρχαί, τούτων ἀδύνατον κοινάς τινας ἀρχὰς εὑρεῖν· τῶν δὲ ὄντων οὐκ εἰσὶν ἀρχαὶ κοιναί, ὥστε καὶ ἀδύνατον αὐτῶν εὑρεῖν κοινὰς ἀρχάς. ὅτι δὲ τῶν ὄντων οὐκ εἰσὶν ἀρχαὶ κοιναί τε καὶ αἱ αὐταί, τὰ δὲ ὄντα πολλαχῶς λέγεται, τῶν ὄντων ἄρα οὐκ εἰσὶν ἀρχαὶ αἱ αὐταί. ὅτι δὲ τὸ ὂν τῶν πολλαχῶς λεγομένων, ἐν πολλοῖς εἴρηται. αἰτιᾶται δὴ αὐτοὺς ὅτι ἐζήτουν ἀρχὰς τῶν ὄντων μὴ πρότερον διελόμενοι αὐτὰ καὶ τὰ σημαινόμενα ἐκθέμενοι τοῦ ὄντος. ἄλλως τε ἔτι ἀτοπώτερον τὸ τὰς τοιαύτας τῶν ὄντων ἀρχὰς τὰς αὐτὰς ζητεῖν τὰς ἐξ ὧν εἰσίν, αὗται δέ εἰσιν ἥ τε ὕλη καὶ τὸ εἶδος· τοιαῦται γὰρ ἃς ὑποτίθενται ἀρχάς, ἥ τε ἀόριστος δυὰς καὶ ἡ μονάς. ἔνια γὰρ τῶν ὄντων οὐδὲ ἔχει κατὰ τὴν οἰκείαν φύσιν τοιαύτας ἀρχὰς καὶ στοιχεῖα, εἰ μὴ κατὰ συμβεβηκός· ἔκ τινος γὰρ ὕλης τὸ ποιεῖν τι ἔστιν ἢ τὸ πάσχειν· κατὰ συμβεβηκὸς μὲν γὰρ καὶ ταῦτα ὕλην ἔχει. id.

34 2. ὁ δὲ λόγος τοιοῦτος. ἀδύνατόν τι τῶν ἐχόντων ἀρχὰς εἰδέναι μὴ τὰς ἀρχὰς εἰδότα αὐτοῦ· ὧν γὰρ διὰ τῶν ἀρχῶν ἡ γνῶσις, ταῦτα ἀδύνατον εἰδέναι πρὸ τῆς τῶν ἀρχῶν γνώσεως. τῶν δὲ ὄντων πάντων εἰσὶ κατ' αὐτοὺς ἀρχαὶ κοιναί· ἀδύνατον ἄρα τῶν ὄντων εἰδέναι τι μὴ πρότερον τὰς ἀρχὰς μαθόντας. ἀλλὰ μὴν ὧν ἐχόντων ἀρχὰς ἀδύνατον τὰς ἀρχὰς μαθεῖν, ἀδύνατον τούτων ἐπιστήμην ἔχειν· ἀδύνατον δὲ τὰς τῶν ὄντων ἀρχὰς μαθεῖν, ἀδύνατον ἄρα τῶν ὄντων ἐπιστήμην ἔχειν. ὅτι δὲ ἀδύνατον τὰς τῶν ὄντων ἀρχὰς μαθεῖν, δείκνυσιν οὕτως. πᾶσα μάθησις ἐκ προγινωσκομένων γίνεται· ὡς γὰρ καὶ ἀρχόμενος τῶν Ὑστέρων Ἀναλυτικῶν εἶπε, "πᾶσα διδασκαλία καὶ πᾶσα μάθησις διανοητικὴ ἐκ προϋπαρχούσης γίγνεται γνώσεως." id.

34 9. τὸ δὲ "ἢ πάντων ἢ τινῶν" εἶπεν, ὅτι ἐν τῇ ἀποδείξει καὶ ἐν τῷ συλλογισμῷ ἐνδέχεται ἀμφοτέρας τινὰ τὰς προτάσεις προγιγνώσκειν τε καὶ γνωρίζειν, ὁμοίως καὶ ἐν τῷ ὁρισμῷ πάντα γνω-

ρίζειν καὶ προγιγνώσκειν τὰ ἐξ ὧν ὁ ὁρισμός· καὶ ἡ ἐπαγωγὴ δὲ διὰ πάντων γνωρίμων ἢ προγιγνωσκομένων. ἢ πάντων, ὡς ἐν τοῖς ὁρισμοῖς καὶ ἐν ταῖς ἐπαγωγαῖς, τινῶν, ὡς ἐν ταῖς ἀποδείξεσιν. id.

5 ἀλλ' ὅτι μὲν αἴσθησιν ἔχομεν σύμφυτον, ὑ λελήθαμεν αὐτούς, 34 12.
οὐδὲ ὅτι βαδίζειν δυνάμεθα· ὅτι δὲ τὴν τῶν ὄντων ἐπιστήμην ἔχομεν ἔχοντες αὐτῶν τὰς ἀρχάς, ἢ ὅτι γε τὰς τῶν ὄντων πάντων ἀρχὰς ἐπιστάμεθα, λελήθαμεν ἑαυτούς, καὶ οὐδὲ ἐξεταθέντες καὶ ἐπιστήσαντες εἰπεῖν δυνάμεθα. πῶς ἂν ὧν ἔχοιμεν ἐπιστήμην σύμφυ-
10 τον τούτων ἃ μὴ ἴσμεν; id.

εἰ καὶ εἰσὶ πάντων ἀρχαὶ κοιναὶ καὶ αἱ αὐταί, πῶς τις ταύ- 34 14.
τας γνωρίσει, ὅτι αἵδε τινές εἰσι καὶ ὅτι ἐκ τούτων ἔστι τὰ ὄντα, εἰ μὴ προειδείη τινὰ δι' ὧν γνωρίζειν τε καὶ δεικνύναι δυνήσεται ὅτι εἰσὶν αἵδε; τί γὰρ μᾶλλον ὅτι αἵδε τινὲς ἀλλ' οὐχὶ αἵδε εἰσεται ὁ
15 μὴ ἔχων πρὸς τὸ γνωρίζειν τὸ ζητούμενον ἀρχάς; οὐ γὰρ δὴ χωρὶς ἀμφισβητήσεως ὁμολογηθήσεται τάσδε τινὰς πρὸς ἁπάντων εἶναι· ἀλλ' ὡς ἀμφισβητεῖται περὶ τῆς ζα' συλλαβῆς πότερον αὐτὴν δεῖ διὰ τοῦ ζ' καὶ α' γράφειν ἢ διὰ τοῦ σ' καὶ δ' καὶ α', οὕτω δὴ καὶ ἡ περὶ τῶν ἀρχῶν ἀμφισβήτησις ἂν εἴη. ἐγράφετο δὲ ταῦτα
20 διὰ δύο πάλαι ἕκαστον αὐτῶν γραμμάτων, διὸ καὶ διπλάσια τῶν στοιχείων ταῦτα ἐκαλεῖτο, καὶ τὸ μὲν ζ' διὰ τῶν σδ', τὸ δὲ ξ' διὰ τῶν κσ', τὸ δὲ ψ' διὰ τῶν πσ'. γνωρίσει γάρ τις αὐτὰ καὶ ζητήσει, εἰ ἀμφισβητοῖντο, ἢ δι' ὁρισμοῦ ἢ διὰ συλλογισμοῦ ἢ δι' ἐπαγωγῆς, ἃ πάντα διὰ προγιγνωσκομένων δείκνυσιν, ὡς προεί-
25 ρηται. ἔοικε δὲ τὴν ἐν τῷ Μένωνι τὴν ὑπὸ Πλάτωνος ἀπορίαν εἰρημένην λέγειν ὡς δυναμένην ἀπορεῖσθαι πρὸς τοὺς ἁπάντων τῶν ὄντων κοινάς τινας καὶ τὰς αὐτὰς ἀρχὰς τιθεμένους· τούτοις γὰρ ἀνάγκη μὲν λέγειν τὰς ἀρχὰς διδακτάς. id.

καὶ τοῦτο πρὸς τὸ μὴ τὰς αὐτὰς ἁπάντων ἀρχὰς εἶναι καὶ στοι- 34 19.
30 χεῖα λέγει. εἰ γὰρ εἶεν πάντων τῶν ὄντων κοιναί τινες ἀρχαί, ὁ μαθὼν ταύτας πάντα ἂν δι' αὐτῶν γνωρίζειν δύναιτο τὰ ὄντα. ὡς γὰρ ὁ τὰ γράμματα καὶ τὰ στοιχεῖα εἰδὼς πάντα γνωρίζει καὶ πάσας τὰς ἐξ αὐτῶν συγκειμένας φωνάς, οὕτως ἀκολουθήσει καὶ τῷ τὰς τῶν ὄντων ἀρχὰς εἰδότι τὰ ἐξ αὐτῶν ὄντα γνωρίζειν δι'

αὐτῶν. εἰ δὲ τοῦτο, δυνήσεται ὁ τὰς ἀρχὰς εἰδὼς ταύτας καὶ τὰ αἰσθητὰ γνωρίζειν· ἐξ ἐκείνων γὰρ καὶ ταῦτα, εἴγε ὄντα. πῶς οὖν ὁ μὴ ἔχων τὴν αἴσθησιν γνωρίσει τὰ αἰσθητά; αἰσθήσει γὰρ τὰ αἰσθητὰ καὶ οὐκ ἄλλῳ τινὶ γνωρίζεται· ἀκολουθεῖ δὲ τῷ τὰς ἀρχὰς αὐτῶν εἰδότι γνωρίζειν αὐτὰ δι' ἐκείνων· εἴσεται δὲ τὰς ἀρχὰς αὐτῶν ὁ τὰς κοινὰς πάντων τῶν ὄντων ἀρχὰς εἰδώς, κἂν μὴ ἔχῃ τὴν αἴσθησιν (οὐ γὰρ δὴ αἱ τῶν ὄντων ἀρχαὶ αἰσθηταί)· ὡς γὰρ τὰ μὴ αἰσθητὰ διὰ τῶν ἀρχῶν γνωρίζει, οὕτω γνωρίσει καὶ τὰ αἰσθητὰ δι' αὐτῶν, εἰ ὁμοίως καὶ τούτων ἐκεῖνα ἀρχαί. ὡς γὰρ αἱ σύνθετοι φωναὶ πᾶσαι, ὧν τὰ αὐτὰ στοιχεῖα, ἐκ τῶν αὐτῶν σύγκειται στοιχείων, οὕτω καὶ τὰ ὄντα πάντα ἐκ τῶν αὐτῶν στοιχείων ἔσται γνωριζόμενα, εἰ τὰ αὐτὰ πάντων αὐτῶν ἐστὶ στοιχεῖα. οὐ μαχόμενος δὲ αὐτῷ λέγοι ἂν ζητῶν μὴ τὰς τοῦ ὄντος ἢ ὂν ἀρχάς τε καὶ αἰτίας, δεικνὺς δὲ διὰ τούτων ὅτι ἄγνωστοί εἰσιν. δείξει γὰρ ὅτι μηδέ εἰσι πάντων τῶν ὄντων κοιναί τινες ἀρχαί, ὡς ἡγοῦντο οἱ εἰς τὸ ἓν πάντα πειρώμενοι διὰ τῶν κοινῶν ἀνάγειν ὁμοιοτήτων, ἀλλ' εἰσὶν αἱ ζητούμεναι ὑπ' αὐτοῦ τοῦ ὄντος ἢ ὂν οἷον ἀρχαὶ κοιναὶ πάντων ἀρχαὶ αὗται· ἀλλ' αἱ τῆς οὐσίας οὐκ οὖσαι ὁμοίως καὶ τῶν ἄλλων τῶν παρὰ τὴν οὐσίαν ὄντων ἀρχαί, γιγνονταί πως κἀκείνων ἀρχαὶ τῷ καὶ τῶν ἄλλων τῶν ὄντων ἕκαστον παρὰ τῆς οὐσίας τὸ εἶναι ἔχειν. id.

34 24. ἐν τῇ Φυσικῇ Ἀκροάσει (2 3) εἰς τέσσαρα εἴδη αἰτίων ἀνήχθη ὑπ' αὐτοῦ τὰ αἴτια πάντα. ὁ βουλόμενος καὶ νῦν πιστώσασθαι ἦλθεν ἐπὶ τὸ τὰς τῶν περὶ αἰτίων εἰπεῖν δόξας, ἐξετάζων εἰ μή τις ἄρα αὐτῶν ἄλλο τι εἶδος ἐζήτησεν αἰτίου. id.

35 10. λέγοι ἂν "περὶ τῶν τοιούτων" ὡς εἰρηκὼς ἤδη (c. 7. 4) ὅτι εἶπε καὶ ἐν τούτοις πρὸ τούτου περὶ Ἀναξαγόρου λέγων καὶ τὴν δόξαν αὐτοῦ ἐπανορθῶν, ὅτι ἄλλῳ μὲν ὧν λέγοντι ταῦτα ἐπηκολούθησεν, οὐ μὴν αὐτὸς σαφῶς τι περὶ τούτων εἶπεν, ὥσπερ οὐδὲ Ἐμπεδοκλῆς, περὶ οὗ νῦν εἶπεν. ἐπὶ τούτοις ἀπορίας τινὰς ἀπορήσειν ἐπαγγέλλεται συντεινούσας εἰς τὸν περὶ τῶν ἀρχῶν λόγον, ἐξ ὧν ῥηθεισῶν φησὶ καὶ καλῶς ἀπορηθεισῶν εὐπορωτέρους ἡμᾶς ἔσεσθαι πρὸς τὰς λύσεις τῶν ἐν ταῖς ὑστέροις ἀπορουμένων· αἱ γὰρ περὶ τῶν ἀρχῶν ἀπορίαι τε καὶ λύσεις ἀρχαὶ τῆς τῶν μετὰ ταῦτα ἀπορου-

μένων λύσεως γίνονται. καὶ λέγει περὶ τῶν ἀπορουμένων ἐν τῷ Β· διὸ καὶ δόξαι ἂν ὅσον ἐκ τῶν νῦν εἰρημένων συνῆφθαι τούτῳ τῷ βιβλίῳ τὸ Β. οὐ μὴν ἀλλὰ λέγει γε περὶ ὧν ἐνταῦθα προτίθεται καὶ ἐν τῷ ἐλάττονι α′· εἰπὼν γὰρ "ὅσα δὴ περὶ τῶν αὐτῶν τούτων
5 ἀπορήσειεν ἄν τις ἐπανέλθωμεν πάλιν," περὶ τῶν ἀρχῶν καὶ τῶν αἰτίων καὶ ἐν τῷ μετὰ τοῦτο ἐλάττονι α′ ζητεῖ τε καὶ ἀπορεῖ. id.

Τὸ ἔλαττον ἄλφα τῶν Μετὰ τὰ Φυσικὰ ἔστι μὲν Ἀριστοτέλους 35 15.
ὅσα καὶ τῇ λέξει καὶ τῇ θεωρίᾳ τεκμήραιτο, οὐ μὴν ὁλόκληρον ἔοικεν εἶναι, ἀλλ' ἔστιν ὡς μέρος βιβλίου, τεκμαιρομένοις τῇ τε ἀρχῇ καὶ τῇ
10 τοῦ βιβλίου μικρότητι. ὅσον μὲν οὖν ἐπὶ τῷ περὶ ἀρχῶν καὶ ἐν τούτῳ ποιεῖσθαί τινα λόγον, δόξει καὶ οὐκ ἀπαδεῖν τοῦτο τοῦ μείζονος Α, ἀλλ' ἕπεται ἐκείνῳ περὶ ἀρχῶν καὶ αἰτίων, ἐξ ὧν ἐν ἐκείνῳ παυόμενος τοῦ βιβλίου εἶπεν "ὅσα δὲ περὶ τῶν αὐτῶν τούτων ἀπορήσειεν ἄν τις, ἐπανέλθωμεν πάλιν· τάχα γὰρ ἂν ἐξ αὐτῶν εὐπορήσαιμεν πρὸς
15 τὰς ὕστερον ἀπορίας." προειπὼν δὲ τοῦτο ἐν ἐκείνῳ, ἐν τούτῳ ζητεῖν ἀκολούθως δοκεῖ εἰ ἐπ' ἄπειρον αἱ ἀρχαὶ καὶ τὰ αἴτια, καὶ δείκνυσιν ὅτι ἔστιν ἀρχή τις ἐν αὐτοῖς καὶ οὐκ ἐπ' ἄπειρον ἡ πρόοδος. ὅσον δὲ πάλιν ἐπὶ τῷ τέλει αὐτοῦ, οὐ δόξει τοῦτο ἐκ ταύτης εἶναι τῆς συντάξεως, ἀλλὰ τῆς φυσικῆς πραγματείας προοίμιόν τι·
20 ὡς γὰρ περὶ φύσεως ἐν τοῖς ἑξῆς ἐρῶν, καὶ ζητήσων τί ἔστιν ἡ φύσις, ἐπαύσατο. εἶπε γὰρ "διὸ σκεπτέον πρῶτον τί ἔστιν ἡ φύσις· οὕτω γὰρ καὶ περὶ τίνων ἡ φυσικὴ δῆλον ἔσται." φυσικοῦ δὲ τὸ περὶ τούτου σκέπτεσθαι· διὸ καὶ ἐν τῇ Φυσικῇ Ἀκροάσει (2 1) πεποίηται τὸν περὶ φύσεως λόγον. ἔτι δὲ οὐδ' ἡ ἀρχὴ αὐτῷ τοῦ Β τὸν περὶ φύ-
25 σεως περιέχει λόγον, ὡς δοκεῖν ἕπεσθαι τούτῳ ἐκεῖνο, ἀλλὰ περὶ ὧν ἀναγκαῖόν ἐστι προαπορῆσαι ἐν τῇδε τῇ πραγματείᾳ, ταῦτα ἐν αὐτῷ καταλέγει τε καὶ ἐκτίθεται. διὸ δόξει τῷ μείζονι Α τὸ Β μᾶλλον ἂν ἀκολουθεῖν· συνῳδὸς γὰρ ἡ τούτου ἀρχὴ τῷ ἐκείνου τέλει. ἐκεῖ τε γὰρ προέθετο περὶ ὧν ἀπορήσειεν ἄν τις περὶ τῶν εἰς τὰς
30 ἀρχὰς καὶ τὴν εὕρεσιν αὐτῶν συντεινόντων εἰπεῖν, ἔν τε τῷ Β φαίνεται τοῦτο ποιῶν. οὐ μὴν οὐδὲ τὰ ἐν τούτῳ λεγόμενα ἀλλότρια πάντῃ τῆς προκειμένης πραγματείας εἶναί μοι δοκεῖ, ἀλλ' ἔστιν ὥσπερ τινὰ προγραφόμενα καὶ προλεγόμενα κοινῶς πάσης τῆς θεωρητικῆς φιλοσοφίας τὰ ἐν τούτῳ λεγόμενα. πρῶτον μὲν γὰρ ἐν αὐτῷ περὶ

τῆς θεωρητικῆς φιλοσοφίας κοινῶς πάσης λέγει, δεικνὺς ὅτι πῇ μέν ἐςι χαλεπή, τεκμαιρόμενος ἀπὸ τοῦ μηδένα ἀξίως περὶ αὐτῆς εἰρηκέναι, πῇ δὲ ῥᾳδία, τεκμαιρόμενος πάλιν ἀπὸ τοῦ μηδένα αὐτῆς παντάπασιν ἀποτυγχάνειν. id.

35 19. γράφε) καὶ χωρὶς τοῦ ὅτι, "ἡ περὶ τῆς ἀληθείας θεωρία·" καὶ μᾶλλον δοκεῖ ἐκεῖνο ἀρχὴ εἶναι, τὸ δὲ μετὰ τοῦ "ὅτι" οὐκ ἀρχὴ ἀλλ' ἑπόμενον προειρημένῳ τινί. id.

τοῦ δὲ αὖ ῥᾳδίαν εἶναι σημεῖον πάλιν ποιεῖ) τὸ μὴ πάντῃ τοὺς περὶ αὐτῆς εἰπόντας ἀποπλανηθῆναι, ἀλλὰ τῶν εἰπόντων ἕκαςον εἰπεῖν ὑγιές τι περὶ αὐτῆς. id.

35 21. "μήτε πάντας ἀποτυγχάνειν." τοῦτο εἴρηκεν ὡς ἴσον τῷ μήτε τινὰ τῶν πάντων ἀποτυγχάνειν αὐτοῦ πάντῃ. ὅτι δὲ τοῦτο λέγει, ἐδήλωσεν ἐπενεγκὼν "ἀλλ' ἕκαςον λέγειν τι περὶ τῆς φύσεως·" τοῦτο γὰρ συνῳδὸν τῷ μηδένα ἀποτυγχάνειν. id.

35 27. ἔχει δέ τι ἡ λέξις ἀκατάλληλον ἡ "τὸ δ' ὅλον τε ἔχειν καὶ μέρος μὴ δύναται δηλοῖ τὸ χαλεπὸν αὐτῆς." δοκεῖ γὰρ δι' αὐτῆς τὸ ἀντικείμενον λέγειν ἢ προείρηκε. προείρηκε μὲν γὰρ ὅτι καὶ μέρος μὲν ἕκαςος ἐπιβάλλει τῇ τῶν ὄντων ἀληθείᾳ, ὅλου δὲ ἀποτυγχάνει· νῦν δὲ δοκεῖ λέγειν τὸ μὲν ὅλον ἔχειν τοὺς ἐπιβάλλοντας αὐτῇ, τὸ δὲ μέρος μὴ δύναται. ὃ φεύγοντές τινες ἐνηλλάχθαι φασὶ τὴν λέξιν καὶ εἶναι τὸ καταλληλον αὐτῆς "τὸ δὲ ὅλον μὴ δύναται καὶ μέρος ἔχειν δηλοῖ τὸ χαλεπὸν αὐτῆς·" τοῦτο γὰρ σύμφωνον εἶναι τοῖς προειρημένοις. μήποτε δὲ ἄμεινον τῆς λέξεως ἀκύειν ὡς προειρήκαμεν, τὸ δείκνυται τὸ χαλεπὸν τῆς πραγματείας διὰ τοῦ μήτε τὸ ὅλον ἔχειν μήτε μέρος ὁλοκλήρως ἔχειν δύναται· ὡς εἶναι τὸ λεγόμενον ἴσον τῷ τὸ δὲ μήτε ὅλον τι ἔχειν ἀλλὰ μηδὲ μέρος δύναται· τὸ γὰρ ἢ μικρὸν ἢ μηδὲν ἐπιβάλλειν αὐτῇ οὔτε τὸ ὅλον ἔχειν ἦν οὔτε μέρος αὐτῆς ὅλον· οὗ γὰρ καὶ τὸ μέρος δύσληπτον, χαλεπὸν τοῦτο. καὶ εἴη ἂν ὑπερβατὸν ἐν τῇ λέξει τοιοῦτον, τὸ μὴ δύναται ὅλον τι ἔχειν καὶ μέρος, ὡς εἰ ἔλεγε, τὸ δὲ μηδέτερον δύναται δηλοῖ τὸ χαλεπὸν αὐτῆς. δύναταί τις καὶ οὕτως ἀκοῦσαι· τοῦτο δ' ὅλον τι ἔχειν καὶ μέρος μὴ δύναται, τὸ εἰς ἔννοιαν μὲν τοῦ ὅλου καὶ ἐπίςασιν πάντας ἐλθεῖν, μηδὲν δὲ μέρος αὐτῆς ἐξακριβώσαται δυνηθῆναι, δηλοῖ τὸ χαλεπὸν αὐτῆς. δύναται καὶ λείπειν τῇ λέξει τὸ πάντας ἅμα, ἵν' ᾖ τὸ δ' ὅλον τι ἔχειν

πάντας ἅμα, μέρος δὲ ἕκαστον μὴ δύναθαι, δηλοῖ τὸ χαλεπὸν αὐτῆς. καὶ τοῦτό γε μᾶλλον ἀκολουθεῖν δόξει τοῖς προειρημένοις τοῖς "καθ' ἕνα μὴ ἢ μικρὸν ἢ μηδὲν ἐπιβάλλειν αὐτῇ, ἐκ πάντων δὲ τῶν συναθροιζομένων γίγνεταί τι μέγεθος." δύναθαι ἴσον εἶναι τὸ εἰρημένον τῷ τὸ δὲ μὴ δύναθαι καὶ ὅλον τι ἔχειν καὶ μέρος, ἀλλὰ μέρος τι μόνον λαμβάνειν αὐτοῦ. id.

πῶς δὲ ἔνιά ἐστι χαλεπὰ παρὰ τὴν τῶν μετιόντων αὐτὰ 35 29.
ἀθένειαν, ὑ παρὰ τὴν αὐτῶν φύσιν, ἔδειξεν ἐπὶ τῶν νυκτερίδων, αἷς τὸ μεθημερινὸν φῶς δι' ἀθένειαν τῶν ὀφθαλμῶν πρὸς τὸ ὁρᾶν ἐμποδίζει, ὂν τῇ αὐτοῦ φύσει μάλιστα ὁρατόν τε καὶ αἴτιον τοῦ ὁρᾶθαι τὰ ὁρώμενα. ὡς δὴ ἐκείνων οἱ ὀφθαλμοὶ πρὸς τὸ φῶς ἔχουσιν, οὕτω καὶ ἐφ' ἡμῖν φησὶ τὸν νοῦν τὸν ἡμέτερον ἔχειν πρὸς τὰ τῇ φύσει φανερώτατα· ταῦτα δέ ἐστι τὰ ἁπλούστατα, τοιαῦθ' δὲ αἱ ἀρχαί. οὕτω δὲ ὁ ἡμέτερος νοῦς πρὸς τὰ φανερώτατα τῶν ὄντων ἔχει διὰ τὸ μὴ ἀπολελυμένος καὶ κεχωρισμένος εἶναι, ἀλλ' εἶναι σὺν αἰθήσει καὶ ταῖς παθητικαῖς δυνάμεσι τῆς ψυχῆς, ἃ πάντα ἐμπόδια τῇ οἰκείᾳ τοῦ νοῦ ἐνεργείᾳ· ἡ γὰρ περὶ τὰ αἰθητὰ συνεχὴς ἡμῶν ἐνέργεια ταῖς κεχωρισμέναις τῆς αἰθήσεως ἐνεργείαις ἐμποδὼν γίνεθ'. id.

εἴη δ' ἂν καὶ διὰ τούτου προτρέπων ἡμᾶς ἐπὶ τὸ πάσαις ταῖς 36 4.
παρὰ τούτων καταβεβλημέναις δόξαις ἐντυγχάνειν· ἡ γὰρ τῶν καταβεβλημένων δοξῶν εὐπορία εὑρετικωτέρους ἡμᾶς τῆς ἀληθείας παρασκευάσει. πῶς γὰρ οἷόν τε χάριν ἔχειν τούτοις, ὡς ἀξιοῖ, μὴ πρῶτον αὐτῶν τὰς δόξας ἱστορήσαντας; δόξαι δ' ἂν ἐκ ταύτης τῆς λέξεως τὸ βιβλίον τοῦτο ἀκόλουθον εἶναί πως τῷ πρὸ αὐτοῦ τεταγμένῳ· ἐν ἐκείνῳ γὰρ ἱστορήσας τὰς τῶν πρὸ αὐτοῦ περὶ τῶν πρώτων ἀρχῶν δόξας καὶ ἀντειπών τινα πρὸς αὐτούς, ἐν τούτῳ φησίν, οὐκ ἐπειδὴ ἀντιλέγομεν ταῖς τινῶν δόξαις διὰ τοῦτο ὡς μηδὲν ἡμῖν εἰς τὰ προκείμενα συντελέσαντας παραπέμπεθαι χρή, ἀλλὰ καὶ τοῖς εὐκαταφρονήτως εἰρηκέναι δοκοῦσί τινα χάριν ἐκτέον· καὶ γὰρ παρὰ τούτων ὠνάμεθά τι· προησκήθημεν γὰρ τὴν ἕξιν. id.

διὰ δὲ τοῦ εἰπεῖν "οὐκ ἀίδιον" ἔδειξεν ὅτι μὴ τὸ τέλος τοῖς 36 16.
πρακτικοῖς ἀλήθειά τε καὶ ἐπιστήμη· ἀιδίων γὰρ αἱ ἐπιστῆμαι καὶ

θεωρίαι. γράφεῖ δὲ ἔν τισιν ἀντιγράφοις "ὑ τὲ αἴτιον καθ' αὑτὲ ἀλλὰ πρός τι ϗ νῦν θεωρῦσιν." ὕ γεγραμμένυ εἴη ἂν λέγων ὅτι ὑ τὲ κυρίως ϗ καθ' αὑτὲ αἴτιον, ὃ τῦ ἁπλῶς ἀληθέσιν αὐτοῖς εἶναι αἰτιόν ἐςι, θεωρῦσιν οἱ πρακτικοί, ἀλλὰ τὲ πρὸς τόδε ϗ νῦν ἀληθὲς αὐτὲ εἶναι· τοιῦτον γὰ τό τε ἐν τοῖς πρακτικοῖς ἀληθὲς ϗ τὲ ὡς πρακτικῶν αὐτῶν αἴτιον. "ὑκ ἴσμεν δὲ τὲ ἀληθὲς ἄνευ αἰτίας." τὲ λεγόμενον ἴσον ἐςὶ τῷ ἀλλὰ μὴν τὲ ἀληθὲς ὑχ οἷόν τε ἄνευ αἰτίας εἰδέναι· ὥςε εἰ οἱ πρακτικοὶ μὴ κῷ τὲ κυρίως αἴτιον τὴν γνῶσιν περὶ τῶν προκειμένων ποιῦνῖ, ὑδὲ τὲ ὄντως ἀληθὲς ἐν αὐτοῖς θεωρῦσι. ϗ εἴη ἂν ὕτως μὶ λεγόμενον ἀκολύθως εἰρημένον τῇ δευτέρᾳ γραφῇ· εἰ δὲ ἁπλῶς λέγοιτο, ὡς δεικτικὸν ἂν λέγοιτο τῦ δεῖν τὲν περὶ τὲ ἀληθὲς πραγματευόμενον τῶν αἰτιῶν εἶναι θεωρητικόν. id.

διδάσκων ἡμᾶς διὰ τύτυ ϗ τῦ ἐπὶ τύτῳ λεγομένυ ὅτι ἀναγκαία ἂν εἴη τῷ περὶ ἀλήθειαν καταγινομένῳ ἡ τῶν αἰτίων γνῶσις, ὡς εἶπε ϗ τῆς Φυσικῆς μὶ ἀρχόμενος· ϗ ἐν τοῖς Ὑςέροις Ἀναλυτικοῖς (1 2) ἔδειξεν ἐπιςήμην ὕσαν τὴν δι' αἰτίυ γνῶσιν· ἔδειξε δὲ ϗ ἐν τῷ πρώτῳ τὴν κυρίως γνῶσίν τινες ἐκ τῆς τῶν αἰτίων αὐτῦ γνώσεως ἠρτημένην. ὑχ ὅτι δὲ πᾶν ἀληθὲς ἐξ αἰτίας γνωρίζεῖ λέγει· ὕτως γὰ ἐπ' ἄπειρόν τε ἂν εἴη τὰ αἴτια, ϗ ὑδὲν γνωςὸν ἂν εἴη, ὡς μετ' ὀλίγον δείξει· ἀλλὰ δῆλον ὅτι τύτων τὲ ἀληθὲς ὑχ οἷόν τε γνῶναι χωρὶς αἰτίας τῶν ἐχόντων αἰτίας. ἔςι δέ τινα γνωςὰ χωρὶς αἰτίας· τὰ γὰ ὑκ ἔχοντα αἰτίας τοιαῦτα οἷα τὰ πρῶτα ϗ αἱ ἀρχαί, ὧν ὑκ ἔςιν αἴτια. ἢ ὧν ἐνδεῶς εἴρηκε· λείπει γὰ τὲ ὧν εἰσὶν ἀρχαὶ ϗ αἴτια, ὃ εἶπεν ἐν τῇ Φυσικῇ Ἀκροάσει. ἢ τὲ "ὑκ ἴσμεν" ἴσον ἐςὶ τῷ ὑκ ἔχομεν ἐπιςήμην· ἡ γὰ ἐπιςήμη ἐςὶ κυρίως ἡ δι' ἀποδείξεως γνῶσις, τῶν δὲ ἀρχῶν ὑκ ἔςιν ἀπόδειξις, ὥςε ὑδὲ γνῶσις τοιαύτη. ἢ δι' ὧν ἐπιφέρει ϗ περὶ
36 22. τύτυ λέγει· τοιῦτον γὰ τὲ "ὥςε ϗ ἀληθέςερον τὲ τοῖς ὑςέροις αἴτιον τῦ ἀληθέσιν εἶναι," ϗ διὰ τῦ "τὰς τῶν ἀεὶ ὄντων ἀρχὰς δέον ἀεὶ εἶναι ἀληθεςάτας." ὑ γὰ ποτὲ ἀληθεῖς, ὑδὲ ἐκείνων αἴτιον τῦ εἶναι ἄλλο, ἀλλ' ἐκεῖναι τοῖς ἄλλοις. id.

36 26. ὡς ἐμολογυμένυ τῦ ὅτι τὲ τῦ εἶναί τισιν αἴτιον, τῦτο ϗ τῦ ἀληθέσιν αὐτοῖς εἶναί ἐςιν αἴτιον. ὕ ὕτως ἔχοντος ἔπεῖ τὲ τὰς τῶν

ἀεὶ ὄντων ἀρχὰς ἀληθεςάτας εἶναι· τὰ γὰρ τῶν ἀεὶ ὄντων ἀληθῶν ἀληθέςερα ἀληθέςατα. διὰ τούτων δὲ δείκνυσιν ὡς συνηρτημένου τοῦ ἀληθοῦς τῷ ὄντι· διὸ καὶ ἐπιφέρει "ὥςε ἕκαςον ὡς ἔχει τοῦ εἶναι, οὕτω καὶ τῆς ἀληθείας," ἴσον λέγων τῷ, ὡς γὰρ ἕκαςον ἔχει τε καὶ μετέχει τοῦ εἶναι, οὕτω καὶ τῆς ἀληθείας. id.

ἔςι δὲ κατ' εὐθυωρίαν μὴ ἄπειρα, εἴ τις ἐπὶ τοῦ ληφθέντος 36 29.
αἰτίου καθ' ἕκαςον εἶδος αἰτίου προαναβεβηκὼς ἄλλο τι πάλιν αἴτιον λέγοι, ὡς εἶναι ἐπὶ μὴ τῆς ὑλικῆς αἰτίας ἀεὶ τοῦδέ τινος ὕλην ἄλλην τινὰ ὕλην ἔχουσαν, κἀκείνην πάλιν ἄλλην, καὶ τοῦτο ἐπ' ἄπειρον, μηδεμιᾶς οὔσης ἐχάτης ὕλης, ἣ οὐκέτ' ἐξ ὕλης ἔςιν· οἷον, ὡς αὐτὸς παρέθετο. id.

τοιαύτη μὴ ἡ κατ' εὐθυωρίαν τῶν αἰτίων ἀπειρία, ἡ δὲ κατ' 37 1.
εἶδος, εἰ μὴ τέσσαρα εἴη εἴδη τῶν αἰτίων, ὡς αὐτὸς ἔδειξεν, ἤ τις ἄλλος ἀριθμὸς ὡρισμένος, ἀλλ' εἴη ἄπειρα, ὡς φέρε εἰπεῖν οἱ ὑποτιθέμενοι ἐν ταῖς ἀρχαῖς ἀπείρους χημάτων διαφοράς. ὅτι δὲ κοῦ μηδέτερον τῶν τρόπων τούτων οἷόν τε ἄπειρα εἶναι αἴτια, δείκνυσι, καὶ πρῶτόν γε ὅτι ἀδύνατόν ἐςιν εἶναι κατ' εὐθυωρίαν ἄπειρα τὰ αἴτια παρίςησι. δεῖ δὲ τὴν κατ' εὐθυωρίαν τῶν αἰτίων ἀπειρίαν ὅτι μή ἐςιν ἐλέγχειν, μὴ τὴν κοῦ χρόνον ἀπειρίαν λαμβάνοντα καὶ οὕτως ἀεὶ τοῦ γεγονότος ἔκ τινος τὸ αἴτιον λαμβάνοντα· οὕτω μὴ γὰρ ἀνάγκη ἐπ' ἄπειρον τὴν ἄνοδον εἶναι, ἀπείρου τε τοῦ χρόνου οὕτως ὄντος καὶ ἀϊδίου τοῦ κόσμου· ἡ γὰρ τοιαύτη λῆψις οὐκ αἰτίων δείκνυσιν ἀπειρίαν ἀλλὰ χρόνου. ἡ δὲ τῶν αἰτίων ἀπειρία δεικνύοιτο ἄν, εἰ ἐπ' ἄπειρον ἄλλο πρὸ ἄλλου αἴτιον κοῦ τὸ εἶδος διαφέρον λαμβάνοιτο, ἐπεὶ τῆς γε ἀδιαλείπτου γενέσεως τῆς ἐν τῷ ἀπείρῳ χρόνῳ τὰ αὐτὰ αἴτια ὄντα δείκνυ). id.

τὸ δὲ "τοῦτον τὸν τρόπον" προσκείμενον τοῖς αἰτίοις τοῦ κατ' 37 18.
ἐνέργειαν ἀπείρου δηλωτικόν ἐςιν· ἐν γὰρ τοῖς οὕτως ἀπείροις οὐδέν ἐςι πρῶτον, καὶ ἐπὶ τοῦ ἀνομοειδοῦς· τῶν ἀπείρων μὴ ὁμοειδῶν δὲ πάλιν τὸ ληφθὲν ὁμοίως αἴτιον. τὸ δὲ μέχρι τοῦ νῦν εἶπεν ἀντὶ τοῦ μέχρι τοῦ ἐχάτου, ἀφ' οὗ ἡμῖν ἡ ἀρχὴ τῆς τῶν αἰτίων ζητήσεως. καὶ γὰρ ἐν οἷς μὴ ἔςι πρότερόν τι καὶ δεύτερον λαβεῖν ἐν τῇ τάξει, ἐν τούτοις καὶ ἄλλο ἄλλου φῆσαι αἴτιον εἶναι ἴσως ἀληθές, εἰ καὶ μὴ ἁπλῶς αἴτιον· τὸ γὰρ πρότερον τοῦ μετ' αὐτό· ἐν οἷς δὲ μηδέν ἐςι τῶν μέσων ἄλλο

ἄλλῳ πρότερον ἐν τῇ τοιαύτῃ τάξει τοῦ οὗ αἴτιον· ἐν δὲ τοῖς ἀπείροις οὐκ ἔστιν ἄλλῳ πρότερον· πάντα γὰρ ὁμοίως ἐστὶ μέσα, ὡς καὶ αὐτὸς εἶπεν. id.

37 19. τὸ δὲ "ὁμοίως μέχρι τοῦ νῦν" προσέθηκεν ἐπεὶ τὴν δεῖξιν ἐποιεῖτο ἐπὶ τῶν αἰτίων τῶν κατ' εὐθυωρίαν ἀπείρων ἐπὶ τὰ ἄνω· ἀπὸ γὰρ τοῦ ἐνεστῶτος καὶ ὄντος νῦν λαμβανόντων ἡμῶν τὰ αἴτια, ἅπαντα τὰ λαμβανόμενα μέσα, εἰ ἐπ' ἄπειρον ἡ πρόοδος. δείκνυται μὲν οὖν τῇ τοιαύτῃ τῶν αἰτίων ἀπειρίᾳ τὸ μηδὲ ἔσεσθαί τι ἐκ τῶν αἰτίων τῷ ἀδιεξίτητα τὰ πρὸ παντὸς τοῦ ληφθέντος αἴτια ἐπὶ τὰ ἄνω εἶναι, ἄπειρά γε ὄντα· οὕτως δὲ οὐδ' ἂν αἴτια εἴη. αὐτὸς δὲ οὐχ οὕτω δείκνυσιν, ἀλλὰ διὰ τοῦ λαβεῖν τι ὡς ἔσχατον καὶ ὁρίσαι καὶ δεῖξαι ὅτι μὴ οἷόν τε τούτου αἴτιον εἶναί τι ἐπ' ἄπειρον ὄντων ἐπὶ τὰ ἄνω τῶν αἰτίων· καὶ γὰρ οὐκ ἄλλως ἐνῆν ἢ ἐπὶ τὰ ἄνω ἢ ἐπὶ τὰ κάτω δεῖξαι μὴ οὖσαν ἀπειρίαν τῶν αἰτίων, μὴ κειμένου τινὸς ἀφ' οὗ δὲ εἴη ἢ ἐπὶ τὰ ἄνω ἢ ἐπὶ τὰ κάτω λαμβάνειν. ὥστε εἴπερ μή ἐστι πρῶτον, ὅλως αἴτιον οὐδέν ἐστιν· εἰ γὰρ εἴη, πάντα τὰ ὡς αἴτια λαμβανόμενα τῷ παρ' ἄλλῳ τὴν αἰτίαν ἔχειν τοῦ εἶναι τοιοῦτον αἴτια, ἀλλ' οὐ τῇ φύσει αὐτῶν· εἰ μηδέν ἐστι πρῶτον, οὐδ' ἂν αἴτιόν τι εἴη τῷ μηδὲν τῶν ὡς αἰτίων λαμβανομένων τῇ οἰκείᾳ φύσει τοιοῦτον εἶναι. id.

37 24. ἔχει μὲν οὖν ἡ λέξις δι' ὧν τὸ προκείμενον δείκνυσιν ἀσάφειαν, τὸ δ' οὖν λεγόμενον δι' αὐτῆς ὡς συνελόντα εἰπεῖν τοιοῦτον ἐστίν. λαβὼν διχῶς λέγεται γίγνεσθαι καὶ γεγονέναι τόδε ἐκ τοῦδε· ἢ γὰρ ὡς ἐκ τοῦ γιγνομένου ἤδη καὶ ἐπιτελουμένου τὸ γεγονός, ὡς καὶ τὸ τετελεσμένον τῶν καὶ εἰς τὴν οἰκείαν προϊόντων τελειότητα κατὰ τὴν ἐν αὐτοῖς μεταβολήν· οὕτως γὰρ ἐκ παιδὸς ἀνὴρ γίνεται, καὶ ἔστιν αὕτη μὲν ἡ γένεσις κατ' αὔξησιν· ἀλλὰ καὶ ἐκ τοῦ μανθάνοντος ὁ ἐπιστήμων, αὕτη κατ' ἀλλοίωσιν· καὶ ἐκ τοῦ μὴ νοοῦντος ὁ νοῶν, αὕτη κατ' εἶδος ἡ μεταβολή· τελειότης γάρ. τοιαύτη καὶ ἡ ἐκ τοῦ πρωὶ εἰς τὴν ἡμέραν μεταβολή· τελεῖται γὰρ ὁ ὄρθρος προϊὼν ἐπὶ τὴν ἡμέραν, καὶ τὸ οἰκεῖον εἶδος λαμβάνει. id.

38 1. οὐχ ὡς ἐξ αἰτίου γιγνομένου τοῦ ἑτέρου λέγεται ἐπὶ τῶν οὕτω γιγνομένων ἐκ τοῦδε τόδε γίγνεσθαι. διὸ τὸ σημαινόμενον παρῃτήσατο τοῦτο· περὶ γὰρ αἰτίων καὶ τῶν ἐξ αἰτίων γινομένων ὁ λόγος ἐστὶν

αὐτῷ, ταῦτα δὲ μόνον χρόνου τάξιν τινὰ σημαίνει· οὐ γὰρ θάτερον αὐτῶν εἰς θάτερον μεταβάλλει ἢ συντελεῖ τί. λαβὼν δὴ τοὺς δύο τρόπους τοὺς προρρηθέντας, καθ' οὓς καὶ μεταβολήν τινος ὑποκειμένου τόδε τι γίγνεται, δείκνυσι καὶ μηδέτερον αὐτῶν ἐπ' ἄπειρον δυνα-
5 μένην γενέσεως τὴν πρόοδον. id.

δεικνύοι δ' ἂν τοῦτο διὰ τὸ δοκεῖν πᾶν τὸ γινόμενον διά τινος 38 1.
μεταξὺ γίγνεσθαι καὶ ἔκ τινος μεταξύ. ὡς γὰρ ἐκ τῆς γενέσεως μεταξὺ οὔσης τοῦ τε εἶναι καὶ τοῦ μὴ εἶναι γίγνεται τὰ οὕτως γιγνόμενα, οὕτως καὶ τὸ ἐκ τοῦ γιγνομένου γιγνόμενον ἐκ μεταξύ τινος καὶ αὐτὸ
10 γίγνεται· μεταξὺ γὰρ τὸ γιγνόμενον τοῦ τε ὄντος καὶ τοῦ μὴ ὄντος. πῇ γὰρ ὂν τὸ γιγνόμενον ἤδη καὶ πῇ μὴ ὄν, ὅτε δὲ ἁπλῶς ὄν, ὅτι μὴ τέλειον (τὸ γὰρ ὂν τέλειόν τι ἤδη), ὅτε ἁπλῶς μὴ ὄν, διὸ οὐδὲ μεταξύ τι τῆς ἀντιφάσεως· τὸ γὰρ πῇ ὂν καὶ αὐτὸ ὄν. πῶς δὲ τὰ οὕτως ἔκ τινος γιγνόμενα ἐκ τοῦ γιγνομένου ἐπιτελεῖται, ἐπεδήλωσε παραθέ-
15 μενος τὸν μανθάνοντα. ὁ γὰρ μανθάνων ἐστὶν ὁ γιγνόμενος ἐπιστήμων, ὃς ἐκ τοῦ μανθάνοντος οὕτως γίγνεται, ὅτι ὁ μανθάνων γίγνεται καὶ ὑπομένων πρόεισιν ἐπὶ τὸ ἐπίστασθαι, ἥτις ἐστὶν τελειότης τοῦ μανθάνοντος· οὐ γὰρ ἁπλῶς ὁ μανθάνων γίγνεται, ἀλλ' ἐπιστήμων. ἢ καὶ αὐτὸ τὸ μανθάνειν μεταξύ ἐστι τοῦ ἐπίστασθαι, ὃ κυρίως ὄν, καὶ τῆς τελείας
20 ἀμαθίας, ὃ εἴη ἂν ἁπλῶς μὴ ὄν. τὰ δὴ τοῦτον τὸν τρόπον ἔκ τινος γιγνόμενα ἐκ τοῦ μεταξὺ τοῦ τε ὄντος ἤδη καὶ τοῦ μὴ ὄντος γίγνεται. id.

τοιοῦτόν, οὐ γὰρ ἐκ τῆς ἄλλου φθορᾶς καὶ τῆς γενέσεως αὐτῆς 38 7.
τὸ οὕτω γιγνόμενον γίγνεται, ἀλλ' ἐκ τοῦ ἤδη γεγονότος· μετὰ γὰρ
25 τὴν γένεσιν τὸ γεγονέναι. τὰ μὲν γὰρ καθ' φθορὰν τῶν ἔξωθεν γιγνόμενα ἀρχὴν τοῦ εἶναι τὴν γένεσιν ἔχει· ἡ γὰρ ἐκείνων μεταβολὴ καὶ φθορὰ τούτων γένεσις, ἀλλ' οὐκ ἐκεῖνα ὑπομένοντα καὶ γιγνόμενα. τὰ δὲ τελειούμενα καὶ οὕτως ἔκ τινων λεγόμενα γίγνεσθαι οὐκ ἐκ τῆς γενέσεως καὶ τῆς πρώτης μεταβολῆς γίγνεται, ἀλλὰ
30 μετὰ τὴν γένεσιν· τὸ μὲν γὰρ γιγνόμενόν ἐστι τὸ ἐκ τῆς γενέσεως γεγονός, οἷον τὸ βρέφος ὃ προϊὸν παῖς καὶ ἀνὴρ γίγνεται, ὁ δὲ ἀνὴρ οὐκ ἐκ τῆς γενέσεως ἀλλ' ἐκ τοῦ γιγνομένου ἐκ τῆς γενέσεως καὶ τελειουμένου γίγνεται. id.

38 12. ὅτι δὲ τὰ ὕτω γινόμενα ἀνακάμπτει εἰς ἄλληλα, δῆλον ϗ ἐκ τῆς ἐναργείας ϗ ἐκ τοῦ μὴ εἶναι ἐπ' ἄπειρον τὴν κατ' εἶδος τῶν σωμάτων διαφοράν, ἥτις ἦν ἂν εἰ ἐπ' ἄπειρον τοῦτον τὸν τρόπον ἄλλο ἐξ ἄλλου ἐγίγνετο. id.

τῶν ἐκ τῶν μεταξὺ γιγνομένων ϗ ὐκ ἐκ τῆς γενέσεως, ἃ μ̄ ἤδη ἔςιν ὄντα, λέγει ὡς ἐγίγνετο τὰ τελειώμενα· τούτων γ̄ τέλος τι ἔςιν ἃ ὄντα ἤδη τινά ἐςι μεταξύ. ταῦτα μ̄ διὰ τοῦτο ὐκ εἰς ἄπειρον ἔχει τὴν ἐπὶ τὸ κάτω γένεσιν, ὅτι ἔχει τι τέλος ἐφ' ὃ διὰ τῶν μεταξὺ πρόεισι, τὰ δὲ διὰ τὸ εἰς ἄλληλα ἀνακάμπτειν. ϗ προσέθηκε τὸ "ἡ γ̄ θατέρου φθορὰ ἑτέρου γένεσίς ἐςιν." δέδειχ̄ δὲ τοῦτο ἐν τῇ Φυσικῇ Ἀκροάσει (1 7). δύνᾱ ϗ τὸ "τῶν μ̄ γ̄ ὄντων μεταξύ" εἰρηκέναι ὡς ἴσον τῷ ἐφ' ὧν μ̄ γ̄ ἔντων τινῶν μεταξύ, τούτων μεταξὺ τέλος τί ἐςιν. id.

38 14. δείξας κοινῶς πρῶτον μ̄ ὅτι μὴ ἐπὶ τὸ ἄνω οἷόν τε ἄπειρα τὰ αἴτια εἶναι, δεύτερον δὲ ὅτι μηδὲ ἐπὶ τὸ κάτω, νῦν ϗ περὶ ἑκάςου τῶν αἰτίων ἰδίᾳ δείκνυσιν ὅτι μὴ ἐπ' ἄπειρόν τι αὐτῶν εἶναι οἷόν τε, ϗ πρῶτόν γε ὅτι μὴ ἡ ὑλικὴ αἰτία ἐπ' ἄπειρον ἐςίν. συγχρῆ̄ δὲ εἰς τὴν δεῖξιν τοῦ μὴ εἶναι εἰς τὸ ἄνω ἐπ' ἄπειρον προϊόντα τὰ αἴτια τῷ τὸ πρῶτον ὑποκείμενον ἀΐδιον εἶναι. εἰ γ̄ ἐγένετο, ἦν ἄν τι πρῶτον αὐτοῦ ἐξ οὗ ὑποκειμένου ἐγίγνετο, ὕτως δὲ ὐκέτ' ἂν πρῶτον ἦν· ἐπεὶ δὲ μὴ τοῦτο, ἀΐδιον ϗ ἀγένητον γίγνε̄ τὸ πρῶτον ὑποκείμενον. ἐξ οὗ ἄρα φθειρομένου γίγνεταί τι, ὐκ ἔςι τοῦτο τὸ πρῶτον ὑποκείμενον· ὐ γ̄ ἀΐδιον τὸ φθειρόμενον, τὸ δὲ πρῶτον ὑποκείμενον ἀΐδιον. ὐκ ἄρα ἡ ὕλη φθείρε̄ ἀλλ' ἡ αὐτὴ μένει. πρώτου δὲ φθαρέντος εἶπεν ὡς ἴσον τῷ ἐξ οὗ καθ' αὐτό τι ϗ ὐ κ̄ συμβεβηκὸς φθαρέντος ἐγένετό τι, τοῦτο μὴ ἀΐδιον εἶναι· κ̄ συμβεβηκὸς μ̄ γ̄ ἡ ὕλη φθείρε̄· ὅτι γ̄ τὸ συμβεβηκὸς αὐτῇ ἡ ςέρησις, φθείρε̄ ἐν τῇ γενέσει τῶν ἐκ τῆς ὕλης γιγνομένων (τοῦτο γ̄ τὸ καθ' αὐτὸ φθειρόμενον), καθ' αὐτὴν δὲ ἄφθαρτος. φθείροιτο δ' ἂν καθ' αὐτήν, εἰ ἐπ' ἄπειρον ἄλλο ἐξ ἄλλου γίγνοιτο ϗ μὴ πᾶσιν ἡ αὐτὴ μένοι τοῖς γιγνομένοις. id.

εἰπὼν γ̄ "ἅμα δὲ ϗ ἀδύνατον τὸ πρῶτον ἀΐδιον ὂν φθαρῆναι," τὸ δεικτικὸν τοῦ εἶναι τὸ πρῶτον ἀΐδιον παρέθετο "ἐπεὶ γ̄ ὐκ ἄπειρος ἡ γένεσις ἐπὶ τὸ ἄνω," ὐκέτι προλ̄εὶς τὸ διὰ τοῦτο τὸ πρῶτον ὑπο-

κείμενον ἀΐδιον. ἢ εἰπὼν "τὰ δὲ εἰς ἄλληλα ἀνακάμπτει· ἡ γὰρ θατέρου φθορὰ θατέρου γένεσίς ἐστιν," ἐπιστώσατο τοῦτο διὰ τοῦ τὸ πρῶτον ὑποκείμενον, ὅ ἐστιν ἡ κυρίως ὕλη, δεῖξαι ἀΐδιον ὄν· φθείρηται γὰρ ἄν, εἰ μὴ ὑπομένοι καὶ σώζοιτο ἐν πᾶσι τοῖς γιγνομένοις,
5 ἀλλὰ τὰ γιγνόμενα ἐξ αὐτοῦ φθειρομένου αὐτοῦ γίγνοιτο, καὶ πάλιν οὕτω τὰ ἐκ τούτων, καὶ ἐπ' ἄπειρον τοῦτον τὸν τρόπον ἡ ὑλικὴ αἰτία ἐπὶ τὸ κάτω προΐοι. εἰ δὲ τοῦτο, ἄτοπον· δεῖ γὰρ εἶναί τι τὸ πρῶτον ὑποκείμενον, ὡς δέδεικται, καὶ τοῦτο ἐν πᾶσι τοῖς γιγνομένοις ἄφθαρτον μένον ἐνυπάρχειν. id.

10 ὁ γὰρ αὐτή ἐστιν ἡ ἐν τῇ μεταβολῇ τῇ εἰς τὴν γένεσιν φθειρομένη (οὐκέτι γὰρ ἂν ἀΐδιος εἴη), ἀλλὰ ἄλλο τί ἐστιν ἐξ οὗ καθ' αὑτὸ καὶ πρώτως φθειρομένου γίγνεται· τοῦτο δὲ ἐδείχθη ἐν τῷ α' τῆς Φυσικῆς (c. 8) ἡ στέρησις. δείξας δὲ ἐπὶ τῆς ὕλης ὅτι μὴ οἷόν τε ἐπ' ἄπειρον εἰς τὸ κάτω τὰ ὑλικὰ αἴτια προϊέναι, ἑξῆς δείκνυσι
15 πάλιν τὸ αὐτὸ ἐπὶ τοῦ τελικοῦ αἰτίου. id.

εἰ ἔστι τι οὗ ἕνεκα καὶ τὸ τελικὸν αἴτιον, οὐκ ἐπ' ἄπειρον ἡ πρόο- 38 17.
δος τοῦ ὅτως αἰτίου· ἔστι γὰρ τὸ τελικὸν αἴτιον οὗ χάριν τὰ ἄλλα, αὐτὸ δὲ μηδενός, τὸ δὲ τοιοῦτον ἔσχατον. ὥστε εἰ μὴ ἔστιν ἔσχατον αἴτιον ἐν τοῖς φύσει γιγνομένοις, τοῦτο δέ ἐστι τὸ τελικόν, οὐκ ἐπ' ἄπειρον ἡ
20 πρόοδος ἐπὶ τὸ κάτω· εἰ δέ ἐστιν ἐπ' ἄπειρον, οὐκ ἔστι τὸ τελικὸν αἴτιον οὐδὲ τὸ οὗ ἕνεκεν ἐν τοῖς γιγνομένοις φύσει. id.

ἔτι ἀναιρεθήσεται τὸ νοῦν εἶναι καὶ φύσιν ποιητικὰ ἐν τοῖς 38 24.
οὖσι. id.

δείκνυσι καὶ ἐπὶ τῆς κατὰ τὸ εἶδος αἰτίας (τοῦτο γάρ ἐστι τὸ τί 38 26.
25 ἦν εἶναι) μὴ γιγνομένην ἐπ' ἄπειρον τὴν πρόοδον ὡς ἀεὶ τοῦ ληφθέντος εἴδους καὶ ὁρισμοῦ ἄλλον πάλιν ὁρισμὸν καὶ ἄλλο τι εἶδος εἶναι. τοῦτο δὲ ἐδήλωσε προσθεὶς τὸ "πλεοναζοντα τῷ λόγῳ." δοκεῖ γὰρ ὁ ὁρισμὸς τοῦ ὁριστοῦ τῷ λόγῳ πλεοναζειν· οὐ γάρ ἐστι τῇ λέξει ἴσον ἄνθρωπος καὶ ζῷον λογικὸν θνητόν· ἕκαστον δὲ ὁριστὸν ὀνόματος χώ-
30 ραν πρὸς τὸν ἀποδιδόμενον αὐτοῦ ὁρισμὸν ἔχει. δοκεῖ δέ μοι καὶ αὐτὸ τοῦτο ὡς ἄτοπον προσθεῖναι· εἰ γὰρ ὁ μὴ πλεοναζει τοῦ ὁριστοῦ τῷ λόγῳ, ἐπ' ἄπειρον ἂν οἱ λόγοι αὔξοιντο δι' ὧν οἱ ὁρισμοί· τοῦτο δὲ ἄτοπον. οὐ δὴ οἷόν τε ἀεὶ τοῦ ἀποδοθέντος ὁρισμοῦ ὁρισμόν τινα εἶναι. id.

38 29. καθόλυ γὰρ ἐν οἷς τὸ πρῶτον μή ἐςιν, ὑδὲ τὸ δεύτερον· τὸ γὰρ δεύτερον πρώτυ τινὸς δεύτερον· ὥςε ὧν μή ἐςιν ὁρισμός τις πρῶτος, ὐκ ἂν δεύτερος εἴη. δύναται καὶ τὸ πρῶτον τὸν ἔχατον εἰρηκέναι· ὁ γὰρ ἔχατος λόγος καὶ ἡ ἐχάτη αἰτία καὶ τὸ ἔχατον εἶδος, μεθ' ὃ ὐκέτι τὸ διὰ τί ἀπαιτῦμεν, ὗτος ἂν ὁ κυρίως ὁρισμὸς εἴη, ὃ μὴ ὄντος τῷ ἐπ' ἄπειρον εἶναι τὴν πρόοδον, ὐκ ἂν τῶν πρὸ αὐτῦ κᾷ τὸν λόγον τῷ προςίθεσθαί τι αὐτῷ, οἷον τῦ ἀνθρώπυ τις εἴη. τινὲς ἤκυσαν τῦ "πλεονάζοντα τῷ λόγῳ," ὡς λέγοντος αὐτῦ, εἴη τῷ πρώτῳ ἀποδοθέντι ὁρισμῷ προςίθεσθαί τι ὡς πλεονάζειν τὸν δεύτερον τῦ πρὸ αὐτῦ κᾷ τὸν λόγον τῷ προςίθεσθαί τι αὐτῷ· οἷον τῦ ἀνθρώπυ, εἰ ὁ μὲ πρῶτος εἴη ζῷον πεζὸν δίπυν, ἄλλον δὲ πάλιν ἄλλο μᾷ τῦτον ἔχοντα ἄλλην τινὰ τῶν προειρημένων διαφορὰν προσκειμένην, οἷον τὸ λογικόν, καὶ πάλιν τύτῳ ἄλλην, ὡς εἶναι ἐπ' ἄπειρον αὐξανόμενον τὸν πρῶτον ἀποδοθέντα ὅρον. id.

39 1. ἄτομα λέγει νῦν τὰ ἀμέσως ὑπάρχοντα· ἐκ γὰρ τῶν προσεχῶς καὶ ἀμέσως ὑπαρχόντων αἱ ἐπιςῆμαι, ὡς εἴρηται ἐν τοῖς Ὑςέροις Ἀναλυτικοῖς· ὃ ἀδύνατόν ἐςω εἶναι, εἰ τῶν ἐν τῷ ὁρισμῷ παραλαμβανομένων πάντων εἶεν ὁρισμοὶ καὶ ἐκ τύτων τῶν ὁρισμῶν ὁ ὁρισμὸς εἴη τῦ προκειμένυ συμπληρύμενος. id.

τινὲς δὲ ἄτομα ἤκυσαν τὰ καθ' ἕκαςα, καὶ φασὶ τὰς μὲ ἐπιςήμας τότε τὸ ἐπιςητὸν ἔχειν, ὅταν περὶ ὧν εἰσίν, εὑρίσκωσι ταῦτα τοῖς ἀτόμοις τοῖς οἰκείοις ἐφαρμόζοντα. τότε γάρ τις ἐπιςήμην ἔχει τῶν τῷ ἀνθρώπῳ ὑπαρχόντων ὅταν τοῖς καθ' ἕκαςα ἀνθρώποις ἐφαρμόζῃ τὰ λεγόμενα. ὐχ οἷόν τε δὲ ἐπὶ τὰ ἄτομα ἐλθεῖν ἐπ' ἄπειρον τῶν αἰτίων ἐπὶ τὸ κάτω τὴν πρόοδον λαμβανόντων· ἔχατον μὲ γὰρ τὸ ἄτομον, ὐχ οἷόν τε δὲ ἐπὶ τῦτο ἐλθεῖν ἀπείρων ὄντων τῶν μεταξὺ αἰτίων. ὡς εἶναι τὸ λεγόμενον κοινῶς περὶ πάντων τῶν αἰτίων λεγόμενον, ἀλλ' ὐ περὶ τῦ εἴδυς τε καὶ ὁρισμῦ μόνον. id.

39 4. εἰπὼν τὰ ἄπειρα ἄγνωςα εἶναι, ἐπεὶ δοκεῖ καὶ τὰ συνεχῆ ἄπειρά πως εἶναι διὰ τὴν ἐπ' ἄπειρον τομὴν καὶ μὴ εἶναι ἄγνωςα (ἔςι γὰρ τύτων τῆς ἐπ' ἄπειρον τομῆς νόησις), ὅτι μὴ ὁμοίως ἔνεςιν ἐν ἐκείνοις τε ἡ ἀπειρία καὶ ἐν τοῖς αἰτίοις ἡ ἐπ' ἄπειρον κατ' εὐθυωρίαν πρόοδος, δείκνυσιν ἑξῆς εἰπὼν "τὰ — νοεῖν;"

λέγων τὰ ἐνεργείᾳ· ἐπ' ἄπειρον μὲν γὰρ ἡ γραμμὴ διαιρεῖται ὁμολογουμένως τῷ μὴ ἵσασθαι τὴν τομήν, ἀλλ' ἡμεῖς γε οὐδέποτε νοοῦμεν αὐτὴν εἰς ἄπειρα διῃρημένην, ἀλλ' ὅταν νοῶμεν, τὰς τομὰς ἱσῶμεν καὶ παυόμεθα τοῦ τέμνειν καὶ λαμβάνομεν πεπε-
5 ρασμένας· πῶς γὰρ ἐπ' ἄπειρον ἡ τομὴ γίνεται τῆς γραμμῆς καὶ ὅλως τῶν συνεχῶν, νοοῦμεν, οὐ μὴν καὶ τὰς ἀπείρους αὐτῆς ἔτι διαιρέσεις· ἀεὶ γὰρ ἃς νοοῦμεν πεπερασμένας νοοῦμεν. τοῦτο γάρ ἐστι τὸ "νοῆσαι δὲ οὐκ ἔστι μὴ στήσαντα·" τὰς γὰρ πεπερασμένας νοοῦμεν. id.

10 τοῦ τὸ ἄπειρον ἄγνωστον εἶναι τῇ αὐτοῦ φύσει παρατίθεται σημεῖον τὴν ὕλην, ἐπεὶ δοκεῖ κατὰ τὸν αὐτῆς λόγον ἄπειρος εἶναι, ἀσχημάτιστος οὖσα κατὰ τὴν ἰδίαν φύσιν καὶ οἰκεῖον πέρας οὐκ ἔχουσα. τῷ δὴ τοιαύτην αὐτὴν εἶναι οὐδὲ ἐπιστήμην αὐτῆς ἔχομεν· κινουμένῳ γάρ τινι γιγνώσκομεν αὐτήν· δοξαστὴ γάρ ἐστι καὶ οὐκ ἐπι-
15 στητή, καὶ ὡς μὲν ὁ Πλάτων φησί, νόθῳ λογισμῷ γνωστή, ὡς δὲ Ἀριστοτέλης, ἀναλογίᾳ γνωστὴ καὶ δοξαστή, ὡς καὶ τοῦτο εἴρηκεν ἐν τοῖς Φυσικοῖς (1 7). τὸ αὐτὸ δὲ σημαίνοι ἂν καὶ εἰ ἦ γεγραμμένον "ἀλλὰ καὶ τὴν ὕλην ἐν κινουμένῳ νοεῖν ἀνάγκη." τινὲς δὲ "κινουμένην" γράφουσι, καὶ ἐξηγοῦνται τὴν λέξιν ὅτι οὐκ ἔστιν ἄπειρος
20 ὡς τὰ ἐνεργείᾳ ἄπειρα. διὸ ἐκεῖνα μὲν ἄγνωστα, αὕτη δὲ ἄπειρος οὖσα καὶ λεγομένη κατὰ τὸ ἀεὶ ἐν κινήσει καὶ μεταβολῇ τινὶ νοῆσαι. id.

ἵνα ἴσον ᾖ τὸ εἰρημένον τῷ ἀλλὰ καὶ τὴν ὕλην κινουμένην ἀεὶ καὶ ἐν ῥύσει οὖσαν καὶ διὰ τοῦτο ἄπειρον εἶναι λεγομένην, ὥσπερ καὶ τὴν γραμμὴν διὰ τὰς τομὰς νοεῖν ἀνάγκη, ἐπεὶ μὴ ἐκείνως
25 ἐστὶν ἄπειρος. ἢ "κινουμένην νοεῖν" ἀντὶ τοῦ ὡς κινουμένην καὶ ἐν ῥύσει καὶ τῇ τοιαύτῃ ἀπειρίᾳ οὖσαν· διὰ τοῦτο γὰρ οὐδὲ ἡ ὕλη ἐπιστητή. εἰπὼν δὲ ταῦτα ἐπιφέρει καθολικὸν τὸ "καὶ ἀπείρῳ οὐδενὶ ἔστιν εἶναι." id.

ὃ λέγει τοιοῦτόν ἐστιν. ὥσπερ τὸ ἄνθρωπος καὶ τὸ ἀνθρώπῳ 39 9.
30 εἶναι διαφέρει, καὶ ἐπὶ πάντων ἐφ' ὧν τὸ πρᾶγμα σύνθετον· τὸ γὰρ εἶναι ἑκάστῳ κατὰ τὸν λόγον καὶ κατὰ τὸ εἶδος· ὁ μὲν γὰρ ἄνθρωπος ἐξ ὕλης καὶ εἴδους, τὸ δὲ ἀνθρώπῳ εἶναι ἁπλῶν· κατὰ γὰρ τὸ εἶδός ἐστιν αὐτῷ τὸ εἶναι ἀνθρώπῳ. ἐπὶ μὲν γὰρ τῶν ἀσωμάτων ταὐτὸν τὸ πρᾶγμα καὶ τὸ εἶναι αὐτῷ (ταὐτὸν γὰρ ψυχὴ καὶ τὸ εἶναι ψυχῇ),

ἐπὶ δὲ τῶν ἐν ὕλῃ τὸ εἶναι ἐχόντων διαφέρει. εἰ καὶ τὸ ἄπειρον ὂν τὸ ἐνεργείᾳ ἄγνωστόν ἐστιν, ἀλλ' τὸ ἀπείρῳ αὐτῷ εἶναι ὅτε ἄπειρον ὅτε ἄγνωστον· ὁ γὰρ λόγος ὁ δηλῶν αὐτοῦ τὴν φύσιν καὶ τὸ εἶδος οὐκ ἄπειρος οὐδὲ ἄγνωστος. εἰπὼν δὲ καὶ "ἀπείρῳ οὐδενὶ ἔστιν εἶναι," ὃ ἴσον ἐστὶ τῷ τὸ ἄπειρον οὐκ οἷόν τε ἐνεργείᾳ εἶναι, ἐπήνεγκε τὸ "εἰ δὲ μή, οὐκ ἄπειρόν γέ ἐστι τὸ ἀπείρῳ εἶναι," τουτέστι καθὸ γνωστόν ἐστι τὸ ἄπειρον (γνωστὸν δέ ἐστι κατὰ τὸν λόγον), τοῦτο οὐκ ἄπειρον· οὐδὲ γὰρ τὸ ἄπειρον ἄγνωστον καθὸ ἄπειρον. τὸ δὲ "καὶ ἀπείρῳ οὐδενὶ ἔστιν εἶναι" ἤτοι εἶπεν ἀντὶ τοῦ ἄπειρον οὐδέν ἐστιν ἐνεργείᾳ, ἢ ὅτι οὐδέν ἐστι πρᾶγμα ᾧ ὁ τοῦ ἀπείρου λόγος ἐφαρμόζει, τῷ δηλονότι μηδὲν εἶναι ἄπειρον. εἰ δὲ καὶ τεθείη ἐφαρμόζειν τινί, ἀλλ' αὐτός γε ὁ λόγος καθ' ὃν ἡ γνῶσις ἡ τοῦ ἀπείρου, οὐκ ἄπειρος. id.

39 10. προθέμενος δεῖξαι ὅτι μή ἐστιν ἄπειρα τὰ αἴτια μήτε εἰς εὐθυωρίαν μήτε ἐπὶ τὸ ἄνω μήτε εἰς τὸ κάτω, ὅτι μηδὲ κατ' εἶδος οἷόν τε ἄπειρα εἶναι τὰ αἴτια νῦν λέγει, συγχρώμενος τῷ προειρημένῳ τῷ τὰ ἄπειρα τὰ κατ' ἐνέργειαν ἄγνωστα εἶναι, τὰ δὲ κατ' εἶδος ἄπειρα, ἄπειρα δηλονότι ἐνεργείᾳ, ὥστε ἄγνωστα. id.

39 13. πᾶσα νόησις περίληψίς τις οὖσα τοῦ νοουμένου ἐν πεπερασμένῳ γίγνεται χρόνῳ· τὸ δὲ ἄπειρον τὸ τῇ προαιρέσει, τουτέστι τὸ κατ' ἐνέργειαν — ἔστι γὰρ τὸ κατ' ἐνέργειαν ἄπειρον, ὃ λαμβανόντων ἀεί τι ἔστιν ἔξω, καὶ ἐφ' ὃ πάντες τοῦ λαμβανομένου ἔστι τι ἐκτός. τὸ δὴ οὕτως ἄπειρον οὐκ οἷόν τε ἐν πεπερασμένῳ χρόνῳ διεξελθεῖν· τὸ μὲν γὰρ δυνάμει καὶ διχοτομίᾳ οἷόν τε ἐν πεπερασμένῳ χρόνῳ διεξελθεῖν, τὸ δὲ ἐνεργείᾳ καὶ τῇ προαιρέσει ἀδύνατον τῷ ἀεὶ τῷ περιληφθέντι καὶ νοηθέντι ἄλλο τι ὑπολειπόμενον προσίθεται. εἰ δὴ ὁ μὲν νοῦς ἃ νοεῖ ἐν πεπερασμένῳ χρόνῳ νοεῖ τε καὶ διέξεισι, τὰ δὲ ἄπειρα ἀδύνατον ἐν πεπερασμένῳ χρόνῳ διεξελθεῖν τε καὶ νοῆσαι τῷ ἀεί τι τοῖς περιειλημμένοις καὶ νενοημένοις προσίθεται, οὐκ ἂν ὁ νοῦς νοοίη τὰ ἄπειρα. id.

39 17. δοκεῖ δὲ τὸ ἔτι περιττὸν εἶναι. εἰ δὲ εἴη γεγραμμένον, λείποι ἂν τῷ ἔτι τὸ λέγεται ἄλλως· τὸ γὰρ ἄλλως λέγεσθαί τινα καὶ ὡς μὴ εἰθίσμεθα, καὶ ἄλλα, ἀλλὰ μὴ ὧν εἰθίσμεθα ἀκούειν, ὃ εἶπε διὰ τοῦ καὶ παρὰ ταῦτα, ἀγνωστότερα ποιεῖ τὰ λεγόμενα. id.

τὸ δὲ "μεῖζον ἰσχύει τοῦ γιγνώσκειν περὶ αὐτῶν διὰ τὸ ἔθος" 39 23.
ἴσον ἐστὶ τῷ μεῖζον ἰσχύει τῆς περὶ αὐτὰ ἀληθείας τὸ ἔθος· καὶ γὰρ
τὴν ἀλήθειαν ἡ γνῶσις. id.

καὶ οἱ μὴ πάντα ἀκριβῶς ἐξετάζουσιν, εἰσὶ δὲ οἱ τῇ ἀκριβολο- 39 27.
5 γίᾳ ἄχθονται, ἢ διὰ τὸ μὴ δύνασθαι ἐπακολουθεῖν (τοῦτο γὰρ τὸ "συνεί-
ρειν") ἀλλὰ κάμνειν, ἢ διὰ τὸ προειληφέναι ὅτι τὸ ἄκρως ἀκριβο-
λογεῖσθαι μικρολογία· τοῦτο γάρ ἐστι τὸ "διὰ τὴν μικρολογίαν·"
τοιαύτην γάρ τινα φαντασίαν ἀποτελεῖ ἡ ἄγαν περὶ τὰ λεγόμενα
ἀκρίβεια, ἀπὸ τῶν συναλλαγμάτων καὶ τῆς περὶ τὰ ἐν χρήσει
10 ἀκριβείας σπάσασα τήνδε τὴν δόξαν. id.

ἴσον λέγει τῷ καὶ αὐτῷ ἐν τοῖς Ἠθικοῖς (1 1) εἰρημένῳ τῷ 40 1.
πεπαιδευμένῳ γάρ ἐστιν ἐπὶ τοσοῦτον τἀκριβὲς ἐπιζητεῖν καθ' ἕκα-
στον γένος, ἐφ' ὅσον ἡ τοῦ πράγματος φύσις ἐπιδέχεται, ὃ διὰ τῶν
Ὑστέρων Ἀναλυτικῶν (1 13. 24) δείκνυται. ταῦτα δὲ λέγων ἐν-
15 δείκνυται ἡμῖν ὅτι δεῖ πρῶτον ἐν τοῖς ἀναλυτικοῖς ἐγγυμνάζεσθαι καὶ
τοῖς λογικοῖς ὅλως, καὶ εἰδέναι τοὺς τρόπους τῶν ἀποδείξεων καὶ τὰς
τῶν λόγων συναγωγάς· ἄτοπον γὰρ ἅμα ζητεῖν ἐπιστήμην τινός,
καὶ περὶ αὐτῆς τῆς ἐπιστήμης ζητεῖν τίνα τρόπον γίγνεται καὶ ἀναλαμ-
βάνεται· οὐδὲ γὰρ τὸ ἕτερον ἤδη τούτων εὑρίσκεται ῥᾴδιον. ὅπερ δὲ εἶπε
20 καὶ αὐτὸ ἐν τῷ πρώτῳ τῶν Νικομαχείων Ἠθικῶν (c. 1 p. 1094 *b* 25)
λέγων πῶς ἐκείνους τοὺς λόγους ἀποδέχεσθαι δεῖ (εἶπε γὰρ "παραπλή-
σιον γὰρ μαθηματικοῦ πιθανολογοῦντος ἀποδέχεσθαι καὶ ῥητορικὰς ἀπο-
δείξεις ἀπαιτεῖν"), τοῦτο καὶ νῦν λέγει. id.

τὸ δὲ "διόπερ οὐ φυσικὸς ὁ λόγος" ἤτοι λέγει ὅτι ἀκριβής· 40 6.
25 προείρηκε γὰρ τοῦτο. γράφεται δὲ καὶ "ὁ τρόπος," καὶ εἴη ἂν ὁ λόγος ὡς
οὐ φυσικοῦ. ἢ τὸ λεγόμενον τοιοῦτόν ἐστιν. τὰ φυσικὰ δοκεῖ πάντα
σὺν ὕλῃ εἶναι, ἄυλα δὲ τὰ μαθηματικά, διὸ καὶ ἀκριβολογίαν ἐπι-
δέχεται, τὰ δὲ φυσικὰ οὐχ ὁμοίως. οἱ δὴ περὶ τῶν μαθηματικῶν
λόγοι περὶ τῶν ἀύλων ὄντες οὐκ εἰσὶ φυσικοί· οὐ γὰρ τοσαύτην ἀκρι-
30 βολογίαν τὰ φυσικὰ ὄντα γε σὺν ὕλῃ χωρεῖ. δύναται δὲ καὶ περὶ
τῶν προκειμένων λόγων λέγειν, ὅτι οὐκ εἰσὶ φυσικοί· ἄυλα γὰρ περὶ
ὧν λέγειν ἡμῖν πρόκειται, καὶ ἀκριβεστέρων λόγων ἢ κατὰ φυσικὰ δεό-
μενα. τὸ δὲ "ἴσως" τῷ "ἅπασα γὰρ ἡ φύσις ἔχει ὕλην" προσέθη-

κεν, ἐπεὶ καὶ τὸ κυκλοφορικὸν σῶμα φυσικὸν μέν, οὐ μὴν ὕλη τοῦ τούτῳ ὑποκείμενον. id.

εἰ μὲν ἁπλῶς οὕτως εἴη εἰρημένον ὡς δοκεῖ, δεικτικὸν ἂν εἴη τοῦ τοῦτο τὸ βιβλίον μὴ τῆς Μετὰ τὰ Φυσικὰ εἶναι πραγματείας, ὡς καὶ ἀρχόμενοι αὐτοῦ ἐπεσημηνάμεθα, ἀλλὰ προγραφόμενόν τι πάσης τῆς θεωρητικῆς φιλοσοφίας, ἧς ὡς πρὸς ἡμᾶς πρώτη ἡ φυσικὴ ἦν· ὁποία τις ἐστὶ καὶ περὶ τίνων, εὕροιμεν ἂν εἰ πρῶτον τί ποτέ ἐστιν ἡ φύσις ἐπισκεψαίμεθα. εἰ δέ τις ἀκούοι τοῦ λόγου οὕτως εἰρημένου πρὸς διάκρισιν τῶν τε φυσικῶν λόγων καὶ τῶν κατὰ τήνδε τὴν πραγματείαν (ὁ γὰρ ἐπεσκεμμένος πρῶτον τί ἐστι φύσις καὶ εἰδὼς περὶ τίνων ἡ φυσική, οἶδεν οὗτος ὅτι οἵδε οἱ λόγοι οὐ φυσικοὶ ἀλλ' ἀκριβέστεροί τε καὶ περὶ ἀΰλων), οὐχ ὅτι δὲ χρὴ νῦν ἐπισκέπτεσθαί τί ἐστι φύσις λέγοι ἄν, ἀλλ' ὅτι πρὸ τῆσδε τῆς πραγματείας δεῖ περὶ τῶν φυσικῶν πεπραγματεῦσθαι· αὕτη γὰρ ἡ τάξις τῶν πραγματειῶν, καὶ ὁ ἐν τῇ περὶ ἐκείνων θεωρίᾳ γεγυμνασμένος οὕτως ἂν καὶ τοῖς εἰς τήνδε συντείνουσι παρακολουθεῖν δύναιτο. "αἱ δὲ ἀκροάσεις κατὰ τὰ ἔθη συμβαίνουσιν" (p. 994 *b* 32). ἔστι μὲν ἡ λέξις ἐξ ὧν ὑπεμνηματίσμεθα, δύναιτο δὲ καὶ οὕτως ἐξακούεσθαι. προειπὼν ὅτι ἡ γνῶσις καὶ αἱ μαθήσεις ἐκ προγινωσκομένων (ὧν γὰρ τὰ αἴτια ἄγνωστα, καὶ αὐτὰ τοιαῦτα), εἰς πίστιν τοῦ ἐκ τῶν προγινωσκομένων γίγνεσθαι τὰς γνώσεις παρέθετο τὸ κατὰ τὰ ἔθη καὶ τὰς ἀκροάσεις γίγνεσθαι, καὶ οὕτως ἕκαστον τῶν λεγομένων ἀκούειν βούλεσθαι ὡς προσειθίζοιτο, ὡς κατ' οἰκειότητα καὶ τὸ προειδέναι διὰ τὰ ἔθη ἀποδεχομένων τὰ λεγόμενα τῶν ἀκουόντων. id.

40 15. ἡ μὲν ἐπιζητουμένη ἐπιστήμη καὶ προκειμένη νῦν αὐτή ἐστιν ἡ σοφία τε καὶ ἡ θεολογική, ἣν καὶ Μετὰ τὰ Φυσικὰ ἐπιγράφει τῷ τῇ τάξει μετ' ἐκείνην εἶναι πρὸς ἡμᾶς. λέγει δὲ αὐτὴν καὶ πρώτην σοφίαν, ὅτι τῶν πρώτων καὶ τιμιωτάτων ἐστὶ θεωρητική. διὰ τὸ αὐτὸ δὲ τοῦτο καὶ θεολογική· περὶ γὰρ τοῦ αἰτίου καὶ εἴδους, ὃ πάντῃ ἄϋλός ἐστιν οὐσία κατ' αὐτόν, ἣν καὶ πρῶτον θεὸν καὶ νοῦν καλεῖ, ὁ λόγος ἐν τούτοις προηγουμένως αὐτῷ γίνεται. id.

40 17. τοῦτο δ' ἂν σημαίνοι ἢ τὸ μὴ προσηκόντως ἢ δεόντως ἀλλὰ διημαρτημένως, ἢ ὅτι ἄλλοι ἄλλως. id.

εἴη δὲ ἂν καταλληλότερον, εἰ ἀντὶ τοῦ "ἔςι δέ" εἴη γε- 40 19.
γραμμένον "ἔςι γάρ·" ἡ γὰρ ὕςερον εὐπορία λύσις τῶν προειρη-
μένων ἀπόρων ἐςίν. ἴσον δέ ἐςι τοῦτο τῷ ἡ γὰρ λύσις τῶν προη-
πορημένων αἰτία τῆς ὕςερον γιγνομένης εὐπορίας. ἢ οὕτως· ἡ γὰρ
5 ὕςερον εὐπορία γιγνομένη ἐκ τῆς λύσεως τῶν πρώτων ἠπορημέ-
νων γίγνε]. ἔςι δὲ αὐτῷ τῆς προκειμένης πραγματείας ἐντεῦθεν
ἡ ἀρχή· περὶ γὰρ τῶν ἀναγκαίως συντεινόντων εἰς τὰ προκείμενα
ἐνταῦθα λέγειν ἄρχε]· ὅσα δὲ ἐν τοῖς α' εἴρη], προλεγόμενα
ἂν εἴη αὐτῆς καὶ εἰς τὴν προκατάςασιν συντελοῦντα. διό τισιν
10 ἔδοξε τῆς Μετὰ τὰ Φυσικὰ πραγματείας τοῦτο εἶναι τὸ πρῶ-
τον. id.

ἔςι γὰρ ἡ ἀπορία ἡ πρώτη, ὡς λέγει, ὀφείλουσα ἀπορηθῆναι 41 4.
περὶ τοῦ πότερον μιᾶς ἐπιςήμης θεωρῆσαι τὰς πάντων αἰτίας ἢ
πλειόνων, ὡς ἄλλην ἐπιςήμην ἄλλων ἀρχῶν καὶ αἰτίων εἶναι θεω-
15 ρητικήν. ταύτην δὲ τὴν ἀπορίαν ἐδόκει κεκινηκέναι ἐν τοῖς πρὸ
τούτου βιβλίοις· ἐν γὰρ τῷ πρώτῳ περὶ Ψυχῆς (1 1) δοκεῖ αὐτῆς
μεμνημονευκέναι· διὸ εἴη ἂν τὸ εἰρημένον περὶ ὧν ἠπορήσαμεν
ἐν τοῖς πεφροιμιασμένοις ἡμῖν. πρώτη ἔςιν ἀπορία, ἣν καὶ πρώ-
την τίθησιν· ἠπόρησε γὰρ ἐν ἐκείνοις περὶ αἰτίων· περὶ δὲ τῶν
20 αἰτίων δὴ πρώτην φησὶν ἀπορίαν εἶναι ἧς μνημονεύει. διηπόρησε
δὲ τριῶν. ἐν μὲν τῷ μείζονι Α ζητῶν πόσα τὰ εἴδη τῶν αἰτίων,
καὶ τὰς τῶν ἄλλων δόξας ἐκθέμενος περὶ αἰτίων καὶ πρὸς αὐτὰς
εἰπών, ἐπιςώσατο εἶναι τέσσαρα αἰτίων εἴδη· ἐν δὲ τῷ ἐλάτ-
τονι ζητήσας εἰ ἐπ' ἄπειρόν ἐςι τὸ αἴτιον ἢ κατ' εὐθυωρίαν ἢ
25 κατ' εἶδος, ἢ ἴσα] καὶ ἔςι πεπερασμένον. πρώτη δὲ ἀπορία ἡ
περὶ τούτων εἴη ἂν ἡ νῦν λεγομένη. ἢ γοῦν τοῦτ' ἔςιν ὃ λέγει, ἢ ὅτι
ἡ πρώτη ἀπορία ἐςὶ περὶ τούτων περὶ ὧν ἐν τοῖς πεφροιμιασμένοις
διηπορήσαμεν, ὡς οὐ πασῶν περὶ τούτων οὐσῶν περὶ ὧν ἐν ἐκείνοις
ἠπορήσαμεν, ζητοῦντες εἰ ἔςι καὶ πόσα ἐςίν· περὶ τούτων νῦν ἀπο-
30 ρήσομεν. πρώτη δ' ἀπορία ἔςαι· περὶ γὰρ αἰτίων καὶ αὐτή. τινὲς
μέντοι διὰ τὸ νῦν εἰρημένον ὑπ' αὐτοῦ ἐπὶ τέλει τοῦ τῶν α' α' ἐλάτ-
τονος ταύτην τὴν ἀπορίαν προσγράφουσι, κατ' οὐδένα λόγον ἐκεῖ
κειμένην. τῷ δὲ "πότερον μιᾶς ἢ πολλῶν ἐπιςημῶν θεωρῆσαι,"
σημαίνει ἂν ἴσον τῷ, εἰ ὧν ἐθέμεθα αἰτίων τεσσάρων μία ἐςὶ

θεωρητικὴ πάντων ἐπιςήμη, ἢ ἄλλη αἰτίᾳ ἄλλη ἐπιςήμη, ὡς ὕςερον ἀπορῶν ἐπιχειρήσει. καὶ εἴη ἂν εὐλόγως λέγων τὲ περὶ ὧν ἐν τοῖς πεφροιμιασμένοις διηπορήσαμεν· ἐν μὲν τῷ α' τῷ μείζονι εἰ τέσσαρα τὰ τῶν αἰτίων εἴδη ἐζήτησε, περὶ ὧν τεσσάρων ζητήσει νῦν, εἰ μιᾶς ἐπιςήμης ἐςὶν ἡ γνῶσις αὐτῶν. id. 5

41 11. διαφέροι δ' ἂν αὕτη ἡ ἀπορία τῆς πρώτης καὶ τῷ ἐν ἐκείνῃ μὲν ἁπλῶς περὶ τῶν αἰτίων εἰρηκέναι, καὶ τῶν τῆς οὐσίας, ἐν ταύτῃ δέ, εἰ τῶν τῆς οὐσίας αἰτίων μία ἐπιςήμη ἢ πλείους εἶεν, πότερον πᾶσαι συγγενεῖς καὶ σοφίαι, ἢ αἱ μὲν σοφίαι αἱ δὲ ἄλλο τι ἐπιςημῶν εἶδος. id. 10

41 12. τοῦτο λείψανόν ἐςι τοῦ πρὸ αὐτοῦ· καὶ γὰρ οὐδ' ἐν τοῖς ἑπομένοις ἰδία περὶ αὐτοῦ περιποιήσεται λόγους. id.

41 17. οἱ γὰρ τὰς ἰδέας θέμενοι οὐσίας ἔλεγον τὰ μαθηματικά, οὐσίας δὲ καὶ αὐτὰ ὄντα οὔτε ταῖς ἰδέαις οὔτε ταῖς αἰσθηταῖς οὐσίαις ὁμοειδεῖς εἶναι, ἀλλὰ ταύτην οὐσιῶν φύσιν ἔλεγον εἶναι μεταξὺ ἐκείνων, ὡς 15 εἶναι τρία κατ' οὐσίαν, ὡς περὶ Πλάτωνος εἴρηκεν ἐν τῷ μείζονι A (c. 6). καὶ εἴη ἂν πλέον τι ἔχουσα τῆς πρὸ αὐτῆς ἡ ζήτησις αὕτη. οὐ γὰρ ζητεῖ ἐν αὐτῇ εἰ πλείω οὐσιῶν εἴδη (τοῦτο γὰρ ἔκειτο), ἀλλ' εἰ τὰ αὐτὰ καὶ ταῦτα ἅ τινες εἰρήκασι. καὶ εἴη ἂν τὲ "πότερον μοναχῶς" ὡς ἀκόλουθον εἰρηκὼς τῷ προειρημένῳ. προειπὼν γὰρ πότε- 20 ρον τὰς αἰσθητὰς εἶναι μόνον φατέον ἢ καὶ παρὰ ταύτας ἄλλας, ἐπήνεγκε τὲ καὶ πότερον μοναχῶς τὰς αἰσθητὰς οὐσίας· οἱ γὰρ ποιοῦντες μεταξὺ τῶν τε εἰδῶν καὶ τῶν αἰσθητῶν δῆλον ὡς πλείω εἴδη ἐποίουν οὐσιῶν παρὰ τὰς αἰσθητάς. id.

μόριον μέν ἐςι καὶ τοῦτο τοῦ πρὸ αὐτοῦ προβλήματος· ὡς ἐν γὰρ 25 αὐτὲ ἐν τοῖς ἑπομένοις ἐργάσεται. ὃ δὲ λέγει, τοιοῦτόν ἐςιν. καὶ εἰ συγχωρηθείη, φησίν, εἶναί τις οὐσία παρὰ τὴν αἰσθητήν, ἆρα μονοειδής τις ἔςαι ἢ τὐλάχιςον δυοειδής; ἤδη γὰρ ὁ Πλάτων ἐδόκει μεταξὺ τῆς νοητῆς καὶ τῆς αἰσθητῆς τὴν διανοητὴν παραλαμβάνειν, ὑφ' ἣν ἔταττε καὶ τὰ μαθήματα· οὐ τὰ φανταςὰ δὴ καὶ τὰ δοξαςά 30 (ταῦτα γὰρ οὐκ οὐσίαι ἀλλ' εἰκόνες οὐσιῶν), ἐκεῖνα δὲ ὅσα κατ' οὐσίαν ἡ ψυχὴ περιέχειν ἐν ἑαυτῇ λέγεται, ὧν καὶ τὰς ἀρχάς, τάς τε γεωμετρικὰς καὶ τὰς ἀριθμητικὰς καὶ τὰς ἁρμονικάς, ὁ δημιουργικὸς νοῦς ἐντιθεὶς αὐτῇ κατὰ τὴν ψυχογονίαν ἐν Τιμαίῳ παραδέδοται. id.

τὰ συμβεβηκότα λέγει τὰ καθ' αὑτὰ πάχοντα, ἵνα ᾖ τὰ 41 20.
λεγόμενον, πότερον περὶ τῶν ὑσιῶν ὁ σοφὸς μόνον διαλήψεται ἢ
καὶ περὶ τῶν καθ' αὑτὰ ὑπαρχόντων. ἔςι δὲ καθ' αὑτὰ ὑπάρ-
χοντα κυρίως τὰ ἐν τοῖς ὁρισμοῖς παραλαμβανόμενα. περὶ μὲν
5 τούτων ἀναγκαῖος ὁ λόγος αὐτῷ· οὐδὲ γὰρ ἄλλως οἷόν τε περί τι-
νων ἐπιςήμην λαβεῖν χωρὶς τοῦ γιγνώσκειν τὰ οὕτως ὑπάρχοντα.
λέγει δὲ τὰ καθ' αὑτὰ συμβεβηκότα ἀχώριςα καὶ ἴδια καὶ ἐγγὺς
ὑσιώδη, δι' ὧν εἰώθασι καὶ δι' ὑπογραφῆς γινόμενοι τινῶν λόγοι
ἀποδίδοται, οἷον τῷ τριγώνῳ εἴη ἂν καθ' αὑτὰ συμβεβηκὸς τὰς
10 τρεῖς γωνίας δυσὶν ὀρθαῖς ἴσας ἔχειν καὶ τὰς δύο πλευρὰς τῆς
λοιπῆς μείζους εἶναι πάντῃ μεταλαμβανομένας — οὐ γὰρ δὴ ἐκ
τούτων ὁ ὁρισμὸς αὐτῷ — καὶ τῷ ἀριθμῷ τὸ περιττῷ εἶναι ἢ ἀρτίῳ,
καὶ ἑκάςῳ τῶν ὄντων τὸ εἶναι ἓν καθὸ τόδε τι ἔςι, καὶ ὅσα οὕτως
ὑπάρχει τῶν συμβεβηκότων. id.

15 προελθὼν δὲ αὐτὸς δείξει κῇ τί καὶ ἡ περὶ τούτων ζήτησίς τε καὶ
θεωρία οἰκεία τῷ πρώτῳ φιλοσόφῳ. οὐ γὰρ λογικὴ ἡ πραγματεία,
ὡς τισιν ἔδοξε διὰ τὸ πολλὰ τοιαῦτα ζητεῖται ἐν αὐτῇ· οὐ γὰρ δι'
αὐτὰ περὶ τούτων διαλαμβάνει, οὐδὲ τοῦτον ποιεῖται σκοπόν, ἀλλ' ὅτι
τῆς πρώτης φιλοσοφίας καὶ τῆς περὶ τοῦ ὄντος ᾗ ὂν θεωρητικῆς τὸ καὶ
20 περὶ τῶν κοινῶς τῷ ὄντι ὑπαρχόντων τὴν θεωρίαν ποιεῖται. id.

καὶ διὰ τοῦτο Πλάτων ἐν τῷ Σοφιςῇ τὰ γένη τοῦ ὄντος διε- 41 23.
ρευνώμενος ἃ διὰ πάντων φοιτᾷ τῶν ὄντων, ταὐτότητα καὶ ἑτερό-
τητα καὶ οὐσίαν καὶ ςάσιν καὶ κίνησιν ἀπηριθμήσατο· ἔτι δὲ τὴν τοῦ
μὴ ὄντος φύσιν ἀνέφηνεν, ἣ πάσης μὲν διαφορᾶς πάσης δὲ ἀντι-
25 θέσεως καὶ ἐναντιώσεως τὴν μίαν αἰτίαν ἀποφέρει. καὶ ἔτι ἐν τῷ
Παρμενίδῃ τὰ πρῶτα τῶν εἰδῶν ἀπαριθμούμενος ὁμοιότητος μέ-
μνηται καὶ τῶν ἄλλων ὁμοίως πρότερον τῶν ὑποθέσεων τοῖς περὶ τῶν
εἰδῶν σκέμμασι, καὶ ἐν αὐταῖς ταῖς ὑποθέσεσιν, ὅθεν καὶ αὐτὸς ὁ
δαιμόνιος Ἀριςοτέλης ἔν τε τῷ Ι ταύτης τῆς πραγματείας περὶ
30 πάντων τούτων ἀναδιδάσκει, καὶ ἐν τούτοις λεληθότως κατεσκεύα-
σεν, ὅτι τοῦ σοφοῦ περὶ τούτων ἐπίςασθαι. εἰ γὰρ ὁ διαλεκτικὸς ἐν-
δόξως περὶ αὐτῶν διαλέγεται, καθάπερ εἴρηται κἀνταῦθα κἀν τοῖς
Τοπικοῖς, τίς ἔςαι ὁ σὺν ἐπιςήμῃ περὶ αὐτῶν ἀναδιδάξων; id.

41 23. ὃ λέγει τοιοῦτόν ἐςιν. τῶν ἀρχαίων φυσικῶν τινὲς τὴν ὕλην αἰτίαν ὑποθέμενοι μόνον καθ' αὑτήν, τὰ ταύτης πάθη κ̅ς̅ συμβεβηκὸς αἰτίας ἔλεγον, ὑ καθ' αὑτά. καθ' αὑτὲ μ̅ γ̅ αἴτιον ἦν αὐτοῖς ὁ ἀὴρ ἢ τὲ ὕδωρ ἢ τὲ μεταξύ, ἤ τι ἄλλο ὃ ἀρχὴν ϗ ςοιχεῖον ὑπετίθεντο, ἐπεὶ ϗ μόνα καθ' αὑτὰ ὄντα τούτων ἕκαςα κατ' αὑτούς, κ̅ς̅ συμβεβηκὸς δὲ ἡ μανότης ϗ πυκνότης, ἡ σύγκρισις ϗ διάκρισις. ὅτοι μ̅ ὧν τὴν ὕλην καθ' αὑτὲ αἴτιον λέγοντες, ϗ τὲ ὑποκείμενον ἐτίθεντό τι αἴτιον ϗ ἄλλο, ἀλλὰ κ̅ς̅ συμβεβηκός· συμβεβηκότα γ̅ ταῦτα τῇ ὕλῃ. αὐτὲς δὲ νῦν ὑκ εἰ παρὰ τὴν ὕλην ἐςί τι κ̅ς̅ συμβεβηκὸς αἴτιον ζητεῖν φησὶ δεῖν, ἀλλ' εἰ καθ' ἑαυτό, ὡς ἔδειξεν ἐν τῇ Φυσικῇ Ἀκροάσει. id.

42 5. τῶν φυσικῶν τὴν ὕλην μόνην ὁρώντων ϗ ταύτην ὕδωρ ἢ ἀέρα ἢ πῦρ εἶναι λεγόντων, ἄλλων δὲ ϗ ποιητικὴν μ̅ αἰτίαν ἀπολειπόντων, ἀχώριςον δὲ ταύτης τῆς ὕλης, καθάπερ οἱ Στωϊκοὶ μ̅ ὕςερον, ἄλλοι δέ τινες πρὸ αὐτῶν, τῶν δὲ χωριςὸν αἴτιον τῆς ὕλης ἀπολειπόντων, ὡς αὐτός τε ϗ Πλάτων, εἰ ϗ αὐτὲς μ̅ ὡς ὀρεκτὸν τῶν πάντων αὐτὲ αἴτιον ὑποτίθε?), Πλάτων δὲ ϗ ὡς γεννητικὸν τῶν ὅλων, εἰκότως τούτοις προτείνει, ποία τῶν ὑπολήψεων ἀληθεςέρα· ϗ δῆλον ὅτι ἡ αὐτῦ ϗ ἡ Πλάτωνος.

42 6. ζητεῖ μ̅ ἐν τούτοις εἰ ἔςι παρὰ τὲ σύνθετον ϗ εἰδοπεποιημένον τά τε καθόλυ ϗ τὰ καθ' αὑτὰ εἴδη, ϗ εἰ πάντων ἐςὶ φυσικῶν τε ϗ τεχνητῶν, καλῶν τε ϗ αἰχρῶν, ἀγαθῶν ϗ κακῶν, τελείων ϗ ἀτελῶν, ἢ τινῶν μ̅ τινῶν δὲ ὔ, ϗ ποιῶν μέν ἐςι ποιῶν δὲ ὑκ ἔςιν. τὴν μ̅ ὧν ἀκριβῆ περὶ τούτων διαίρεσιν εἴσε?) ὁ βυλόμενος ἐκ τῶν Πλωτίνῳ ϗ Ἰαμβλίχῳ περὶ ἰδεῶν πεφιλοσοφημένων, ϗ ἡμεῖς ἐν ἄλλοις ποιησόμεθα, ζητοῦντες εἰ ϗ τῶν καθ' ἕκαςα γενητῶν ϗ τῶν μερῶν, οἷον ποδὸς δακτύλυ ϗ τῶν ποιοτήτων ἢ ὅλως συμβεβηκότων, ἔςιν εἴδη ἐν φύσει ἢ ἐν ψυχῇ ἢ ἐν νῷ.

42 7. ϗ ἄλλο τί φησι δεῖν ἐπισκέψαϛ, πότερον τοῦτό ἐςι κεχωρισμένον ὕλης ϗ αὐτὲ καθ' αὑτὲ ὑφεςώς, ἢ ἐν τῇ ὕλῃ, ὁποῖόν ἐςι τὲ ἔνυλον εἶδος, ϗ ὡς τοῖς ἀπὸ τῆς Στοᾶς ἔδοξεν ὁ θεὸς ϗ τὲ ποιητικὸν αἴτιον ἐν τῇ ὕλῃ εἶναι. ϗ εἰ ἔςι τι αἴτιον χωριςὸν ϗ ἄυλον,

πότερον τοῦτο κατ' ἀριθμὸν ἕν ἐστιν ἢ πλείω, περὶ ὧν αὐτὸς ἐν τῷ Α τῆσδε τῆς πραγματείας λέγει. id.

σύνολον ἤτοι τὸ κοινὸν λέγει, τὸ κοῦ τῶν καθ' ἕκαστα καὶ τὸ ἐν 42 9.
ὕλῃ εἰρηκώς· καὶ εἰ τοῦτο λέγει τὸ σύνολον, λέγοι ἄν, εἰ ἔστι τι
5 παρὰ τὸ κοινὸν καὶ τὸ σύνολον, ὃ τοῦ ἐνύλου κατηγορεῖται, ἄλλο τι
εἶδος κεχωρισμένον, ἢ οὐδέν ἐστι παρὰ τὸ κοινὸν εἶδός τι καὶ ἰδέα,
ἢ τῶν μὲ τῶν δὲ οὔκ, ὡς δοκοῦσι λέγειν οἱ λέγοντες μήτε τῶν
παρὰ φύσιν μήτε τῶν τεχνητῶν ἰδέας εἶναι. ἢ σύνολον λέγει τὸ
συναμφότερον. εἰπὼν δὲ σύνολον, πῶς σύνολόν τί ἐστιν ἐδήλωσε,
10 προσθεὶς ὅταν κατηγορηθῇ τι τῆς ὕλης, τουτέστιν ὅταν ἡ ὕλη μετά
τινος εἴδους ληφθῇ. ἢ σύνολον τὸ ἔνυλον· καὶ εἴη ἂν ζητῶν πότερον
ἔστι τι εἶδος κεχωρισμένον παρὰ τὸ ἔνυλον (τοῦτο γὰρ τῆς ὕλης κα-
τηγορεῖται), καὶ ἔστι τὸ σύνολον ἡ ὕλη σὺν τῷ ἐν αὐτῇ εἴδει) ἢ οὐδέν
ἐστι τοιοῦτον, ἢ τὰ μέν τινα εἴδη ἐστὶ κεχωρισμένα ὕλης, τὰ δὲ οὔ·
15 τοῦτο γὰρ λέγοιτ' ἂν διὰ τοῦ "ἢ τῶν μὲ τῶν δὲ οὔ." καὶ εἰ ἔστιν ὅλως
ἄυλά τινα εἴδη, ὁπόσα ταῦτα ἐστί, περὶ ὧν, ὡς προεῖπον, ποιήσε-
ται λόγον ἐν τῇ περὶ τῶν ἀνελιττουσῶν θεωρίᾳ. εἴη δ' ἂν διὰ μὲ
τῆς πρὸ ταύτης ἀπορίας ζητῶν εἰ ἔστι τι παρὰ τὴν ὕλην καὶ ἄλλο
αἴτιον καθ' αὐτό, καὶ εἰ ἔστι, πότερον κεχωρισμένον ὕλης ἢ σὺν ὕλῃ
20 καὶ αὐτό, διὰ δὲ τῆς δευτέρας ἁπλῶς εἰ ἔστι τι εἶδος ἄυλον. id.

τὸ γὰρ κατ' εἶδος ἀπείρους ὑποτίθεται τὰς ἀρχὰς ὡς ἄτοπόν τε 42 11.
παρῃτήσατο καὶ ὡς δεδειγμένον ἐν τῷ πρὸ τούτου. δέδεικται δὲ ἐν τῷ
πρὸ τούτου καὶ ὅτι καθ' ἕκαστον εἶδος αἰτίου πεπερασμένα τὰ αἴτια.
ζητῆσαι δέ φησιν ὁμοίως δεῖν τοῦτο περί τε τῶν εἰδικῶν αἰτίων
25 (ταῦτα γάρ ἐστι τὰ ἐν τῷ λόγῳ· ταῦτα γὰρ καθ' ἃ ὁ λόγος ἑκάστου
καὶ ὁ ὁρισμός) καὶ περὶ τῶν ὑλικῶν· ταῦτα γὰρ τὰ ὑποκείμενα. εἰ δὲ
καὶ τὸ ποιητικὸν καὶ τὸ τελικὸν αἴτιον εἴη καὶ αὐτά, ὡς εἶπεν ἐν Φυσικῇ
Ἀκροάσει (2 3), περὶ πάντων ἂν εἴη τῶν αἰτίων εἰρηκώς. δύναται
καὶ τὰ μὲ ἐν τοῖς λόγοις αἴτια εἰρηκέναι περὶ τῶν ἐν ταῖς ἀποδείξεσιν
30 ἀρχῶν (αὗται δέ εἰσι τὰ ἀξιώματα· καὶ γὰρ ἤδη τούτων ἐμνημόνευσε),
τὰ δὲ ἐν τῷ ὑποκειμένῳ τὰς τῶν οὐσιῶν ἀρχάς· ὑποκείμεναι γὰρ
αἱ οὐσίαι. id.

τὸ δὲ ἔν τε τοῖς λόγοις καὶ ἐν τῷ ὑποκειμένῳ ἤτοι διὰ τὴν 42 12.
διαφορὰν εἴρηκε τῶν αἰτίων, ἵνα τὰ μὲ εἰδικὰ καὶ ποιητικὰ καὶ τελικὰ

αἴτια λέγῃ εἶναι τὰς ἐν τοῖς λόγοις ἀρχάς, τὰ δὲ ὑλικὰ τὰς ἐν τῷ ὑποκειμένῳ· ἢ τὰς μὲν ἐνδόξως προκαταβεβλημένας φησὶν εἶναι ἐν λόγοις, τὰς δὲ ἀληθῶς ταῖς οὐσίας ἐνυπαρχούσας ἐν ὑποκειμένῳ. id.

42 16. ἀλλὰ κἂν μίαν λέγωμεν εἶναι τὴν πάντων ἀρχὴν καὶ θεὸν αὐτὴν ἢ τἀγαθὸν ἢ ἓν προσαγορεύωμεν πέρας καὶ ἀπειρίαν, ὡς ἐν Φιλήβῳ Πλάτων καὶ πρὸ αὐτοῦ Φιλόλαος, αὐτὰς ὀνομάζοντες, ἢ μονάδα καὶ δυάδα, ὡς οἱ πλεῖοι τῶν Πυθαγορείων, ἢ αἰθέρα καὶ χάος, ὡς Ὀρφεύς, ἢ πρακτέα καὶ δυάδα, ὡς αὐτὸς ὁ Πυθαγόρας ἐν τῷ ἱερῷ λόγῳ, ὅτε κυρίως αὐτὰς ὀνομάζομεν· ἐπέκεινα γὰρ εἰσὶν οὐ μόνον κλήσεως ἀλλὰ καὶ πάσης ἀνθρωπίνης νοήσεως. id.

42 21. ἔτι πότερον αἱ ἀρχαὶ ἐν οἰκείᾳ ὑποστάσει εἰσὶ καθ' αὑτὰς ὡς τὰ καθ' ἕκαστα τῶν ὄντων, ἢ οὔ, ἀλλ' ὡς τὰ καθ' ἕκαστα καὶ τὰ καθόλου καὶ κοινά, οἷς ἐν τῷ κατηγορεῖσθαι τῶν καθ' ἕκαστα τὸ εἶναι. εἴη δ' ἂν αὕτη ἡ ἀπορία διαφέρουσα τῆς ἀπορηθείσης πρὸ ὀλίγου τῆς "καὶ πότερον αἱ ἀρχαὶ καὶ τὰ στοιχεῖα τὰ γένη ἐστὶν ἢ εἰς ἃ διαιρεῖται ἐνυπάρχοντα ἕκαστον," τῷ ἐπ' ἐκείνης μὲν ζητεῖσθαι εἰ τὰ ἐνυπάρχοντα τοῖς καθ' ἕκαστα εἰς ἃ διαιρεῖται ἀρχαὶ αὐτῶν, μὴ τὰ κοινὰ τὰ κατηγορούμενα αὐτῶν, ἐνταῦθα δὲ καὶ κοινῶς καὶ καθόλου ζητεῖσθαι περὶ τῶν ἀρχῶν, πότερον ὅτως εἰσὶν ὡς τὰ κοινά, ἃ οὐχ ἔχει κατ' ἰδίαν ὑπόστασιν, ἢ ὅτως ὡς καθ' ἕκαστα. καὶ εἰ ὅτως, ἔτι πότερον δυνάμει εἰσὶν αἱ ἀρχαί, ὡς ἡ ὕλη δοκεῖ, ἢ κατ' ἐνέργειαν ὑφεστήκασιν, ὡς καθ' ὃς πῦρ ἤ τι τῶν σωμάτων στοιχεῖόν ἐστιν. id.

42 23. ὃ ζητεῖ ἔστιν, ὅτι πότερον αἱ ἀρχαὶ ἀρχαί εἰσι τοῦ κινεῖν καὶ ποιεῖν τὰ ὧν εἰσὶν ἀρχαὶ ἢ ἄλλως· δοκεῖ γὰρ ἡ μέν τις εἶναι κινητικὴ ἀρχή, ὡς ἡ ποιητική, ἡ δὲ οὐκέτι, ὡς ἡ ὑλική. δύναται λέγεσθαι καὶ τοιοῦτόν τι, πότερον κινούμεναι αὗται αἱ ἀρχαὶ αἰτίαι τοῖς ἐξ αὐτῶν ἢ αὐταὶ ἀκίνητοι οὖσαι, ὥσπερ τὰς ἰδέας ἔλεγον οἱ λέγοντες· τοιοῦτον δὲ καὶ τὸ πρῶτον αἴτιον. ἢ δύναται ἐκ τοῦ προειρημένου ἀκούεσθαι, πότερον αἱ ἀρχαὶ κινοῦνται καὶ μεταβάλλουσιν εἰς ἄλληλα ἢ εἰσὶν ἀμετάβλητοι. πρὸς δὲ τούτοις ἄξιον φησὶν ἀπορῆσαι καὶ περὶ τῶν μαθηματικῶν· μαθηματικὰ γὰρ οἵ τε ἀριθμοὶ καὶ τὰ μήκη καὶ τὰ σχήματα. id.

καὶ πρῶτον εἰς τὸ μὴ εἶναι τῆς αὐτῆς ἐπιςήμης τὸ περὶ πάντων 43 1.
εἰπεῖν τῶν αἰτίων ἐπιχειρεῖ. πρὸς ὃ πρῶτον μὲν τοιούτῳ τινὶ δυνάμει
λόγῳ χρῆται. ὧν διαφερόντων κατ' εἶδος ἡ αὐτὴ ἐπιςήμη, ταῦτα
ἐναντία ἀλλήλοις, τὰ δὲ αἴτια οὐκ ἔςιν ἐναντία ἀλλήλοις, οὐκ ἄρα
5 ἡ αὐτὴ ἐπιςήμη τῶν διαφερόντων κατ' εἶδος αἰτίων. id.

ἐνταῦθα δὲ εἴληπται μὲν τὸ τῶν ἐναντίων εἶναι τὴν αὐτὴν ἐπιςή- 43 3.
μην, οὐ μὴν καὶ μόνων· οὐ γὰρ κεκώλυται εἶναι τινῶν ἡ αὐτὴ ἐπιςήμη
καὶ μὴ ἐναντίων· οὐ γὰρ ἐςι τὰ κατὰ γεωμετρίαν ἐναντία ἀλλήλοις.
ἀλλὰ καὶ ἡ φυσικὴ καὶ ἡ πρακτικὴ φιλοσοφία διαφέρουσαι κατ' εἶδος,
10 οὐ μὴν οὖσαι ἐναντίαι, ὑπὸ μίαν ἐπιςήμην εἰσίν. id.

μήποτε δὲ οὐδ' ἀεὶ τὰ αἴτια τῷ εἴδει διαφέρει, ὡς καὶ αὐτὸς 43 5.
ἐν τῷ Β τῆς φυσικῆς ἐπέςησεν ὅτι συντρέχει ποτὲ τῷ εἴδει καὶ τὸ
τέλος εἰς τὸ ποιῶν κατὰ τὸ ὁμοειδές. id.

εἰπὼν δὲ περὶ τῶν μαθηματικῶν ὅτι μή ἐςιν ἐν αὐτοῖς τὸ 43 14.
15 τελικὸν αἴτιον, ὅπερ ἐςὶ τὸ ἀγαθόν, εἰς βεβαίωσιν τούτου παρατί-
θεται τὴν κατὰ τὰς σοφιςὰς ἱςορίαν, καὶ ἔτι Ἀριςίππου μνημονεύει, ὃς
καὶ αὐτὸς ὁμοίως ἄλλοις τισὶ τῶν σοφιςῶν ἔλεγε τὰς μαθηματικὰς
ἐπιςήμας ὡς καὶ τῶν εὐτελεςάτων τεχνῶν καταδεεςέρας·
ἐκείνων μὲν γὰρ ἑκάςης εἶναί τι τέλος καὶ ἀγαθὸν προσκείμενον καὶ με-
20 μνῆται αὐτὰς ἐν τοῖς γιγνομένοις ὑπ' αὐτῶν τοῦ ὅτι βέλτιον γὰρ
οὕτως, τὰς δὲ μαθηματικὰς μηδὲν ἔχειν αἴτιον τοιοῦτον μηδὲ
ποιεῖσθαί τινα λόγον περὶ ἀγαθῶν καὶ κακῶν. δοκεῖ δὲ ἐν τῷ λόγῳ
τούτῳ παραγωγή τις πάλιν εἶναι. id.

εἰπὼν τίνα τούτων φατέον τὴν ζητουμένην, ὅτι πάσας ἐν- 43 24.
25 δέχεται λέγειν δείκνυσι, χρώμενος τοῖς ἐν τῷ Α περὶ τῆς σοφίας
εἰρημένοις. εἶπε γὰρ ἐν τῷ πρὸ τούτου τῷ μείζονι τίνες κοιναὶ περὶ
τοῦ σοφοῦ προλήψεις. id.

εἴρηται περὶ σοφίας ἐν τῷ μείζονι ἄλφα, ὅτι ἡ ἀρχιτεκτονι- 44 1.
κωτέρα τῶν ἄλλων καὶ διδασκαλικωτέρα καὶ πλεῖςα εἰδυῖα καὶ ἀκρι-
30 βέςατα. id.

τὸ δὲ ἐν τοῖς ἄλλοις εἶπεν ὡς ἴσον τῷ ἐν πᾶσιν ὧν εἰσὶν ἀπο- 44 12.
δείξεις. id.

"ὥςε — ἕκαςον." ἐὰν οὕτω γράφηται, ὡς εἰς ἄτοπον ἀπά- 44 18.
γοντος αὐτοῦ τὸν λόγον ἀκούσομεθα, ὡς εἰ ἔλεγεν, ὥςε ἄλλης καὶ

ἄλλης δόξειεν ἂν εἶναι σοφίας ἕκαστον εἰδέναι τῶν αἰτίων· ὃ ταὐτὸν τῷ, ὥστε πολλαὶ σοφίαι, εἰ μὴ μία τὰ πάντα αἴτια γινώσκει. ἐὰν δὲ οὐκ ἄλλης, ὡς ἐγκρίνει μᾶλλον Ἀλέξανδρος, ὡς ἀπὸ κοινοῦ ἀκουσόμεθα κατ' εὐθεῖαν αὐτοῦ συλλογιζομένου, ὡς εἰ ἔλεγεν, ὥστε ἐπειδὴ ἡ τὸ αἴτιον εἰδυῖα σοφία, οὐκ ἄλλης καὶ ἄλλης ἐπιστήμης ἐστὶ τὸ θεωρεῖν τὰ αἴτια ἀλλὰ μιᾶς. id.

456. εἰ δὲ ἔστιν ἀπόδειξις περὶ αὐτῶν καὶ ἐπιστήμη τις ἀποδεικτική, δεήσει τὰ ἀξιώματα εἶναί τε αὐτῶν τὰ μὴ πάθη, τουτέστι τὰ ἀποδεικνύμενα αὐτοῖς ὑπάρχειν (τὰ γὰρ καθ' ἑαυτὰ ὑπάρχοντα, ἅπερ ἐστὶ τὰ ἀπόδεικτικά, πάθη εἶπε), τὰ δέ τινα ἀξιώματα, δι' ὧν τὰ ὑπάρχοντα αὐτοῖς καθ' ἑαυτὰ ἀποδείκνυται, ἀξιώματα λέγων τὰς ἀναποδείκτους καὶ ἀμέσους προτάσεις. τὸ δὲ "περὶ πάντων γὰρ ἀδύνατον ἀπόδειξιν εἶναι" εἶπεν ὡς ἀκόλουθον τῷ "δεήσει τι γένος εἶναι ὑποκείμενον, καὶ τὰ μὴ πάθη τὰ δὲ ἀξιώματα αὐτῶν·" τούτῳ γὰρ ἀκόλουθον τὸ "περὶ πάντων γὰρ ἀδύνατον ἀπόδειξιν εἶναι." περὶ γὰρ τῶν καθ' ἑαυτὰ ὑπαρχόντων τῷ ὑποκειμένῳ τῇ ἐπιστήμῃ, ἃ πάθη εἶπεν, αἱ ἀποδείξεις, ἀλλ' οὐ περὶ πάντων, οὐδὲ τῶν τυχόντων, ἀλλ' οὐδὲ τῶν λαμβανομένων πρὸς τήν τινων δεῖξιν οἷόν τε πάντων ἀπόδειξιν εἶναι. τὸ δὲ ἑξῆς τὸ "ἀνάγκη γὰρ ἔκ τινων εἶναι καὶ περί τι καὶ τινῶν τὴν ἀπόδειξιν" συνάπτει τῷ "δεήσει τι γένος εἶναι τὸ ὑποκείμενον, καὶ τὰ μὴ πάθη τὰ δὲ ἀξιώματα αὐτῶν·" διὰ μέσου δὲ εἴρηται διὰ τὰ ἀξιώματα τὸ "περὶ πάντων γὰρ ἀδύνατον ἀπόδειξιν εἶναι." καὶ ἔστι τὸ μὴ "ἔκ τινων" τῶν ἀξιωμάτων ἡ δεῖξις δηλωτική, τὸ δὲ "περί τι" τοῦ ὑποκειμένου γένους, ᾧ δείκνυταί τι ὑπάρχον ἢ μὴ ὑπάρχον, τὸ δὲ "τινῶν" τῶν ἀποδεικνυμένων ὑπάρχειν ἢ μὴ ὑπάρχειν τῷ ὑποκειμένῳ, ἃ εἶπε πάθη. τὸ δὲ "ὥστε συμβαίνει πάντων εἶναι γένος ἕν τι τῶν δεικνυμένων" ἴσον ἂν εἴη τῷ οὕτως τε συμβήσεται, εἰ ἔστιν ἀπόδειξις περὶ τῶν ἀξιωμάτων καὶ ἔστιν ἕν τι γένος καὶ μία τις φύσις ὑποκειμένη, τὰ ἀξιώματα πάντα τὰ ἀποδεικνύμενα διὰ τῶν ἀξιωμάτων μιᾶς φύσεως εἶναι, διότι πᾶσαι μὴ αἱ ἐπιστῆμαι καὶ ἀποδείξεις διὰ τῶν ἀξιωμάτων δεικνύουσι τὰ προκείμενα, τὰ δὲ ἀξιώματα μιᾶς καὶ τῆς αὐτῆς φύσεως, τὰ δὲ τῆς αὐτῆς φύσεως ἀλλήλοις ὄντα μιᾶς τινὸς φύσεώς ἐστι δεικτικά· εἴτε ἐκ τῶν καθ' ἑαυτὰ ὑπαρχόντων αἱ ἀποδείξεις,

μιᾷ φύσει καθ' αὐτὰ ὑπάρχειν ἀνάγκη τὰ μιᾶς καὶ τῆς αὐτῆς φύσεως ὄντα ἀλλήλοις. ἓν δὲ γένος εἶπεν ἀντὶ τοῦ μίαν φύσιν. ἢ τὸ λεγόμενόν ἐστιν, εἰ ἔστιν ἐπιστήμη τις καὶ ἀπόδειξις τῶν ἀξιωμάτων, δεήσει τι εἶναι γένος ὑποκείμενον αὐτοῖς· πᾶσα γὰρ ἀπόδειξις καὶ πᾶσα ἐπιστήμη ἀποδεικτικὴ περί τι γένος ὡρισμένον καὶ πᾶν τὸ ἀποδεικτὸν γένει τινὶ ὡρισμένῳ ὑπάρχει. καὶ τοῖς ἀξιώμασιν ἄρα, εἰ ἔστιν ἀποδεικτὰ καὶ ἔστιν ἐπιστήμη τις αὐτῶν ἀποδεικτική, ὡρισμένον τι γένος ὑπόκειται ᾧ δείκνυται ὑπάρχοντα· πᾶσα γὰρ ἀπόδειξις γένει τινὶ καὶ φύσει ὑποκειμένῃ μιᾷ δείκνυσιν ὑπάρχοντα ἃ ἀποδείκνυσιν, ἃ εἶπεν αὐτὸς πάθη, διά τινων ἀξιωμάτων, δι' ὧν αἱ ἀποδείξεις, τουτέστιν ἀμέσους προτάσεις καὶ ἀναποδείκτους. εἰ γὰρ δεῖ μὴ δι' ἀξιωμάτων δείκνυσθαι τὰ δεικνύμενα, δεικνύοιτο δὲ καὶ τὰ ἀξιώματα, ἐπ' ἄπειρον ἂν προΐοι, ὥστε οὐδὲν ἀποδεικτικὸν ἂν εἴη· οὐ γὰρ πάντα ἐστὶν ἀποδεικτικά. ᾗ ἐνῆν καὶ αὐτὸν χρησάμενον ἀποδεῖξαι ὅτι μή ἐστιν ἀπόδειξις τῶν ἀξιωμάτων. ὅτι δὲ ταῦτα δεῖ τὰ εἰρημένα ὑπάρχειν ἐν πάσῃ ἀποδείξει, ἐδήλωσε καὶ διὰ τοῦ ἐπενεγκεῖν "ἀνάγκη γὰρ ἔκ τινων εἶναι," δι' ὧν δείκνυται καὶ περί τι εἶναι, ὃ ἡ ἀπόδειξις, καὶ τινῶν τὴν ἀπόδειξιν, αὐτῶν τῶν ἀποδεικνυμένων. ἀλλὰ εἰ τοῖς ἀξιώμασιν ἕν τι γένος ὑπόκειται, πᾶσι τοῖς ἀποδεικνυμένοις καὶ πάσαις ταῖς ἐπιστήμαις ἓν καὶ ταὐτὸ γένος ὑποκείμενον ἔσται. ὁ γὰρ χρώμενός τινι πρὸς ἀπόδειξιν, ὃ γένει τινὶ καὶ φύσει μιᾷ καθ' αὑτὸ ὑπάρχει, ὃ περὶ ἄλλο αὐτῷ χρῆται ἢ περὶ ἐκεῖνο ᾧ ὑπάρχει καθ' αὑτό· οὐ γὰρ διὰ τοῦ τυχόντος τὸ τυχὸν δείκνυται. ὅτε γὰρ ὁ τοῖς ἐν γεωμετρίᾳ δεικνυμένοις χρώμενός τισι πρὸς ἄλλο τι αὐτοῖς χρῆται ἢ πρὸς τὰ γεωμετρικὰ ὑποκείμενα, ὅτι τούτοις ὑπάρχει καθ' αὑτά· ὅτε ὁ ἐν τοῖς μουσικοῖς τινὶ πρός τι ἄλλο ἢ πρὸς τὰ τοῖς μουσικοῖς ὑποκείμενα. διὰ γὰρ τῶν καθ' αὑτὰ ὑπαρχόντων αἱ τῶν καθ' αὑτὰ ὑπαρχόντων ἀποδείξεις· καὶ οἱ τοῖς ἀξιώμασι δὴ χρώμενοι πρὸς τὸ γένος ἂν ἐκεῖνο ἐχρῶντο αὐτοῖς, ᾧ ὑπάρχει τὰ ἀξιώματα τὰ καθ' αὑτά· ὑπάρχει δὲ ἕν τινι, εἴγε ἔστιν αὐτῶν ἐπιστήμη τις ἀποδεικτική. πᾶσαι δὲ αἱ ἐπιστῆμαι πρὸς τὰ ἀποδεικνύμενα ὑπ' αὐτῶν χρῶνται τοῖς ἀξιώμασι· πάσαις ἄρα ἔσται τὸ αὐτὸ γένος ὑποκείμενον ταῖς ἐπιστήμαις τῷ πάσας αὐτοῖς χρῆσθαι· ταῦτα δὲ ἑνὶ γένει τινὶ

ὑπάρχει, καὶ μὴ οἷόν τε εἶναι πρὸς ἄλλο τι χρῆσθαι τοῖς τινὶ καθ' αὑτὰ ὑπάρχουσιν ἀποδεικτικοῖς ἢ πρὸς ἐκεῖνο μόνον, ᾧ καθ' αὑτὰ ἐκεῖνο ὑπάρχει. εἰ δὲ πάσαις ταῖς ἐπιστήμαις τὰ αὐτὰ γένος ὑπόκειται, καὶ πᾶσαι διὰ τῶν αὐτῶν δεικνύουσι· διὰ γὰρ τῶν ἀξιωμάτων πᾶσαι ἂν αἱ αὐταὶ εἶεν. id. 5

45 15. καὶ ταύτῃ καθόλου ἡ παραγωγὴ παρὰ τὰ λεγθῆναι ἁπλῶς πρῶτα εἶναι καὶ καθόλου τὰ ἀξιώματα· οὔτε γὰρ τὰ κοινά τινων ἤδη καθόλου ἐστὶν αὐτῶν, οὔτε τὰ καθόλου ἁπλῶς καὶ κυρίως πρῶτα· ὥστε οὐδ' ἡ περὶ τὰ καθόλου ἁπλῶς πρώτη καὶ τιμιωτέρα. ἔτι δὲ οὐδὲ δείκνυται αἱ ἀρχαὶ διὰ τῶν ἀξιωμάτων· οὐδὲ γὰρ ἀποδεικτικαί. id. 10

τὸ "περὶ αὐτῶν" λέγοιτ' ἂν περὶ τῶν προτάσεων, ἐν αἷς καὶ τὰ ἀξιώματα· τίνος γὰρ ἄλλου τὸ περὶ τοῦ ἐν προτάσεσιν ἀληθοῦς τε καὶ ψευδοῦς διαλαμβάνειν παρὰ τὸν φιλόσοφον; δείκνυται δὲ διὰ τούτων ὅτι εἰ καὶ μὴ τοῦ πρώτου φιλοσόφου ἐστὶ τὸ περὶ ἀποδείξεως καὶ τῶν ταύτης ἀρχῶν διαλαμβάνειν, ἀλλὰ τοῦ φιλοσόφου γε. εἴη δ' ἂν πως διὰ τούτων καὶ τὸ μέρος φιλοσοφίας εἶναι τὴν ἀποδεικτικὴν πραγματείαν τιθέμενον. id. 15

45 18. εἰ γὰρ μίαν, μία ἂν εἴη καὶ ἡ ἀποδεικτικὴ πάντων τῶν ταῖς οὐσίαις καθ' αὑτὰ συμβεβηκότων. πᾶσα γὰρ ἀποδεικτικὴ ἐπιστήμη τῶν τῷ γένει ἐκείνῳ, περὶ ὃ καταγίνεται, καθ' αὑτὰ ὑπαρχόντων ἐστὶν ἀποδεικτική· ὥστε εἰ καὶ περὶ τῆς οὐσίας μία τις ἐπιστήμη, ἓν ἄν τι γένος εἴη καὶ ἡ οὐσία. id. 20

45 22. καὶ γὰρ εἰ πολλαὶ ἀποδεικτικαὶ οἷον γεωμετρία καὶ ἀστρονομία καὶ ἀριθμητικὴ καὶ ἄλλαι πλεῖσαι, ἀλλὰ πρὸ τούτων πασῶν ἐστί μία ἡ τὰ καθ' αὑτὰ τῷ ὄντι ᾗ ὄν συμβεβηκὸς ἐπισκεπτομένη. τίνα δέ ἐστι ταῦτα, ἐν τῷ Γ αὐτὸς εἰρεῖ σαφέστερον· ἀριθμητικὴ μὲν γὰρ τὰ τῷ ἀριθμῷ καθ' αὑτὸν ὑπάρχοντα δείκνυσι καὶ γεωμετρία τὰ τοῖς σχήμασιν· ἐκείνη δὲ ἡ μία ἀποδεικτικὴ τὰ παντὶ τῷ ὄντι καθ' αὑτὰ ὑπάρχοντα δείκνυσιν, οὐχ ᾗ τοιόνδε ἢ τοσονδί ἐστιν ἀλλ' ᾗ ὄν· ὥστε οὐδὲν μ' ἄτοπον ἔπεται. Syrian. 25 30

ὁ λόγος τοιοῦτος. εἰ μία περὶ πάσας εἴη τὰς οὐσίας ἐπιστήμη, μία πάντων ἔσται τῶν καθ' αὑτὰ ὑπαρχόντων ταῖς πάσαις οὐσίαις καὶ ἀποδεικτική, εἴτε καὶ ἡ αὐτὴ εἴη τῇ περὶ τὰς οὐσίας αὐτὰς διατριβούσῃ εἴθ' ἑτέρα· μήπω γὰρ περὶ τούτου, ἀλλ' ὅτι μία ἔσται καὶ

ἀποδεικτική, τοῦτο, φησί, δείκνυμι. ἡ δὲ δεῖξις τοιαύτη. περὶ ὅπερ ὑποκείμενον τὸ ὅτι θεωρεῖ μία τις ἐπιστήμη, περὶ τοῦτο καὶ ἀποδεικτικὴ μία στρέφεται, τὰ καθ' αὑτὰ ὑπάρχοντα τῷ ὑποκειμένῳ δεικνῦσα ἐκείνῳ ἐκ τῶν κοινῶν ἐννοιῶν, αἵ εἰσι πάσης ἀποδείξεως
5 ἀρχαί· ὁ γὰρ τὸ μὴ ὅτι τοῦ ὑποκειμένου, τουτέστι τὴν οὐσίαν, μία θεωρεῖ, τὸ δὲ ἐξ ὧν, τουτέστι τὰ δὲ καθ' αὑτὰ ὑπάρχοντα, ἐξ ὧν καὶ οἱ ὁρισμοὶ καὶ τὸ τί ἐστι τοῦ πράγματος, πολλαί· ἀλλὰ μία καὶ ἡ ἀποδεικτική ἐστιν, εἴθ' ἡ αὐτὴ οὖσα τῇ περὶ τὸ ὅτι εἴθ' ἑτέρα, πλὴν ὅτι μιᾶς οὔσης ἐκείνης μία καὶ αὕτη. εἰ τοίνυν πάσας τὰς οὐσίας
10 μία θεωρήσει ὡς ἓν ὑποκείμενον γένος καὶ πάντα τὰ καθ' αὑτὰ ὑπάρχοντα ταύταις μία τις ἀποδεικτικὴ περιλήψεται, εἴθ' ἡ αὐτὴ οὖσα τῇ σοφίᾳ εἴθ' ἑτέρα· τοῦτο γὰρ ἐν τῷ ἑξῆς προβλήματι διακριθήσεται. τὸ δὲ "ὥστε καὶ τὰ συμβεβηκότα εἴθ' αὖ θεωρήσουσιν εἴτε ἐκ τούτων μία" τοιοῦτόν ἐστιν· ὥστε καὶ τὰ καθ' αὑτὰ ὑπάρ-
15 χοντα, εἰ μὴ πολλαὶ εἶεν αἱ τὰς οὐσίας εἰδυῖαι, πᾶσαι δείξουσιν αἱ ἀποδεικτικαί, εἰ δὲ μία εἴη, μία τῶν ἀποδεικτικῶν πάντα θεωρήσει. καὶ ἔπεται μὴ τοῦτο πάντως, εἰ καὶ μὴ μία τῶν ἄλλων ἀποδεικτικῶν ἐστὶν ἡ σοφία πασῶν ἐξῃρημένη· οὐδὲν δέ ἐστιν ἄτοπον μίαν τὰ καθ' αὑτὰ ὑπάρχοντα παντὶ τῷ ὄντι ᾗ ὂν ἐπισκέπτεσθαι. id.
20 εἴη τὸ λεγόμενον τοιοῦτον. τῆς αὐτῆς ἐστὶν ἐπιστήμης τὸ ὑπο- 45 26.
κείμενον θεωρεῖν τί ποτε ἔστι, καὶ τὰ τούτῳ καθ' αὑτὸ ὑπάρχοντα· ἐκ γὰρ τούτων καὶ ἐν τούτοις ἐκείνῳ τὸ εἶναι. ἀλλὰ μὴν ἧς τὸ τὰ καθ' αὑτά τινι ὑπάρχοντα εἰδέναι, ταύτης καὶ τὸ ἀποδεικνύναι τὰ καθ' αὑτὰ συμβεβηκότα ἐκείνῳ. δύναται δὲ καὶ τὰ "ἐξ ὧν
25 μιᾶς" εἰρηκέναι ἀντὶ τοῦ καὶ ἐξ ὧν αἱ περὶ ἐκείνου τοῦ ὑποκειμένου ἀποδείξεις γιγνόμεναι· διὰ γὰρ τῶν καθ' αὑτὰ ὑπαρχόντων αἱ ἀποδείξεις, ἃ δεῖ εἰδέναι τὸν περὶ ἐκεῖνο καταγινόμενον· ὥστε ὅ τὸ εἰδέναι τὴν ὑποκειμένην φύσιν, τούτου καὶ τὸ τὰ ταύτῃ ὑπάρχοντα εἰδέναι καθ' αὑτά· διὰ γὰρ τούτων ἡ γνῶσις τῆς οὐσίας τοῦ προκει-
30 μένου, δι' ὧν καὶ αἱ περὶ τῶν ὑπαρχόντων αὐτῇ ἀποδείξεις. ἧς δὲ τὸ ταῦτα εἰδέναι, ταύτης καὶ τὸ τὰ καθ' αὑτὰ συμβεβηκότα συμβεβηκότα τῷ γένει τούτῳ δεικνύναι, τουτέστι τὰ δι' ἀποδείξεως ὑπάρχειν δεικνύμενα αὐτῷ. ὅ γὰρ τὸ εἰδέναι τό τε ὑποκείμενον γένος καὶ δι' ὧν τὰ τούτῳ ὑπάρχοντα δείκνυται, τούτου καὶ τὸ ἀποδεικνύναι τὰ

ὑπάρχοντα αὐτῷ· ὃ δὲ τὸ ἀποδεικνύναι τινά, τούτου καὶ τὸ εἰδέναι. εἰ γοῦν μία ἐστὶν ἡ περὶ τὸ ὑποκείμενον γένος καὶ τὴν οὐσίαν πραγματευομένη τῷ ἓν αὐτῷ εἶναι καὶ μίαν τινὰ φύσιν, ἔσται καὶ τὸ πάντα τούτῳ τὰ καθ' αὑτὸ συμβεβηκότα ἀποδεικνύναι, εἴτε πλειόνων καὶ ἄλλης ἡ περὶ τὸ λαμβανόμενον γένος καὶ τὴν οὐσίαν πραγματευόμενος τῷ μὴ εἶναί τινα μίαν φύσιν αὐτοῦ· οὐ γὰρ εἴ τινα ὑφ' ἓν τὸ ἀνωτέρω γένος ἐστίν, ἤδη περὶ τούτων μιᾶς τὸ θεωρεῖν ἐπιστήμης, ἀλλὰ δεῖ ὁμοειδὲς εἶναι καὶ μιᾶς φύσεως τὸ ἑκάστῃ ἐπιστήμῃ ὑποκείμενον, περὶ ὃ πραγματευόμενος· πλειόνων δὴ καὶ τῶν αὐτῶν ἔσται τὸ καὶ τὰ ὑπάρχοντα αὐτῷ ἀποδεικνύναι· ὅσαι γὰρ περὶ τὸ ὑποκείμενον, τοσαῦται καὶ περὶ τὰ καθ' αὑτὰ τούτῳ ὑπάρχοντα καὶ συμβεβηκότα. τὸ δὲ "ὥστε καὶ τὰ συμβεβηκότα, εἴτε αὐτὰ θεωροῦσιν εἴτε ἐκ τούτων μία "ἴσον ἂν σημαίνοι τῷ τῶν αὐτῶν ἔσται, ὧν ἥ τε περὶ τοῦ ὑποκειμένου γένους θεωρία καὶ ἡ περὶ τὰ δι' ὧν τὰ τούτῳ ὑπάρχοντα ἀποδείκνυται, καὶ ἡ τῶν καθ' αὑτὰ συμβεβηκότων καὶ ἀποδεικνυμένων ὑπάρχειν αὐτῷ γνῶσις. εἴτε οὖν πλείους ἐκεῖναι ὡς κεχωρίσθαι ἀπ' ἀλλήλων, πλείους καὶ αἱ ταῦτα ἀποδεικνῦσαι, εἴτε ἐκεῖναι μία ἐκ πλειόνων ἐπιστημῶν ὡς μερῶν οὖσα, οὕτως ἕξει καὶ ἡ τὰ καθ' αὑτὰ ὑπάρχοντα δεικνῦσα τούτῳ τῷ γένει· μία μὲν γὰρ ἔσται, ἐκ πλειόνων μέντοι ἐπιστημῶν ὡς μερῶν ἠθροισμένη. τοῦτο δὲ προσέθηκεν, ἐπεὶ δοκεῖ ἡ περὶ τὴν οὐσίαν πραγματεία ἅπασα φιλοσοφία εἶναι, οὐ μὴν πᾶσα πάσης τῆς οὐσίας ἐστίν, ἀλλὰ κατὰ μὲν ἄλλο μέρος αὐτῆς τῆς αἰσθητῆς τε καὶ φυσικῆς, κατ' ἄλλο δὲ τῆς νοητῆς. ὡς δὲ ἐπ' ἄτοπόν τι ἐπαγαγὼν τὸ μίαν ἔσεσθαι τῶν καθ' αὑτὸ ὑπαρχόντων τῆς οὐσίας ἀποδεικτικήν, ἐπαύσατο μηδὲν ἐπενεγκών· ἄλογον γὰρ δόξει τὴν αὐτὴν ἐπιστήμην εἶναι θεωρητικὴν περί τε τῶν τῇ αἰσθητῇ οὐσίᾳ συμβεβηκότων καὶ περὶ τῶν τῇ νοητῇ. πῶς οὖν οὐχ ἓν γένος ἡ οὐσία; ἐπιζητήσαι δ' ἄν τις εἰ περὶ ἓν γένος, οὗ τὸ κοινόν, ὡς εἶπε, νῦν λέγει, ἀλλὰ καὶ περὶ ἓν εἶδος καὶ μίαν τινὰ ὁμοειδῆ φύσιν. οὕτω γὰρ ἡ ἐπιστήμη περὶ ἓν γένος, οὐχ ὅτι μία περὶ πάντα τὰ ἐκ τοῦ αὐτοῦ τοῦ ἀνωτάτου καὶ κοινοτάτου γένους, ἀλλ' ὅτι περὶ τὰ τοῦ αὐτοῦ εἴδους καὶ λόγου κεκοινωνηκότα. δύναται καὶ οὕτως τις ἀκοῦσαι τοῦ "περί τε γὰρ ὃ μιᾶς καὶ ἐξ ὧν μιᾶς," οὗ γένους μία, ἢ τὸ τί ἐστιν ἑκάστου τῶν ὑπ' αὐτὸ καὶ τὸν ὁρισμὸν ζητοῦσα, τούτῳ μία καὶ ἡ

τῶν ὑπαρχόντων αὐτῷ, καὶ ἐξ ὧν ἐστὶν αὐτῇ τὸ εἶναι γνωστική τε καὶ δεικτική· διὰ γὰρ τῶν καθ' αὑτὰ ὑπαρχόντων ἑκάστῳ καὶ τῶν συμβεβηκότων αὐτῷ καθ' αὐτὸ αἱ ἀποδείξεις. μιᾶς δὲ ἐπιστήμης τὸ τὰ καθ' αὑτὰ ὑπάρχοντα ἑνί τινι γένει εἰδέναι· ὅ γὰρ ἡ ὁριστικὴ
5 μία, καὶ ἡ ἀποδεικτική. τὸ μὲν γὰρ ὁ τὴν οὐσίαν καὶ τὸ τί ἦν εἶναι σημαίνει, τὸ δὲ "εἴτε τῆς αὐτῆς" τό τε ὁρίσασθαι τὸ αὐτὸ καὶ ἀποδεῖξαι τὰ καθ' αὐτὸ ὑπάρχοντα τῷ αὐτῷ τούτῳ, τουτέστιν εἰ ἡ αὐτὴ ἐπιστήμη ἐστὶν ὁριστική τε καὶ ἀποδεικτική, εἴτε ἑτέρα ἐστὶ καὶ μὴ μιᾶς ἄμφω μόρια. ἀκολουθήσει οὖν τὰ καθ' αὐτὸ συμβεβηκότα τῷ
10 αὐτῷ γένει μίαν ἀποδεικνύναι· λείπει γὰρ τοῦτο τῇ λέξει τῇ "ὥστε καὶ τὰ συμβεβηκότα·" ἐνδεῖ γὰρ αὐτῷ τὸ μιᾶς ἕξαι θεωρεῖν τε καὶ δεικνύναι· ἦν γὰρ τὸ εἰδέναι τὰ ἐξ ὧν ταύτης τε καὶ τὸ τὰ συμβεβηκότα τῷ ὑποκειμένῳ δεικνύναι· εἴτε ἑκατέρα τούτων ἑτέρα ὅσα τὰ καθ' αὐτὸ ὑπάρχοντα τῷ ὑποκειμένῳ θεωρεῖ, ἡ μὲν λαμ-
15 βάνουσα ὁριστική, ἡ δὲ ἀποδεικνύουσα ἀποδεικτική, εἴτε καὶ μία τίς ἐστιν ἐπιστήμη ἐξ ἀμφοτέρων τοῦ τε ὁρίζεσθαι καὶ τοῦ ἀποδεικνύναι συγκειμένη· ὡς γὰρ μία ἡ ὁριστική τε καὶ δεικτικὴ τοῦ τί ἦν εἶναι, τοῦ ἑνός, οὕτω μία καὶ ἡ ἀποδεικτική. γράφεται ἔν τισιν ἀντὶ τοῦ εἶθ' 45 28.
αὖθ' "εἶθ' αἱ αὐταί·" καὶ εἴη ἂν διὰ τούτου τὸ λεγόμενον, εἴτε αἱ
20 αὐταὶ ἀλλήλαις εἰσίν, εἴτε ἡ ὁριστικὴ περὶ τοῦ αὐτοῦ γένους καὶ ἡ ἀποδεικτική, εἴτε οὐκ εἰσὶ μὲν αἱ αὐταί, μόρια δέ ἐστι μιᾶς, ὥστε ἐξ ἀμφοτέρων συγκειμένη τὴν τοῦ ὑποκειμένου γένους ἐπιστήμην. Alex.

ὁ δὲ ἀπορεῖ διὰ τούτων, δόξει τῷ προειρημένῳ ἀκόλουθον 45 29.
εἶναι τῷ "περί τε γὰρ ὁ μιᾶς καὶ ἐξ ὧν μιᾶς, εἴτε τῆς αὐτῆς εἴτε
25 ἄλλης." εἰπὼν γὰρ δι' ἐκείνων τὸ μιᾶς εἶναι ὥσπερ τὸ ὁρίσασθαι τὸ ὑποκείμενον γένος, οὕτω καὶ τὸ ἀποδεῖξαι τὰ καθ' αὐτὰ συμβεβηκότα αὐτῷ, εἶτα ἀπορήσας τὸ εἴτε τῆς αὐτῆς ἄμφω ἐστίν, εἴτε ἄλλης μὲν τὸ ὁρίσασθαι ἄλλης δὲ τὸ ἀποδεῖξαι, νῦν περὶ τούτου καθ' αὐτὸ ἀπορεῖ καὶ ζητεῖ πότερον ἡ ἐπιστήμη ἡ προκειμένη ἡμῖν
30 (αὕτη δέ ἐστιν ἡ σοφία) τῶν οὐσιῶν μόνον ἐστὶ θεωρητική, τί ἐστι τὸ εἶναι ἐξετάζουσα καὶ τίς ἡ φύσις αὐτῆς ὁριζομένη, ἢ τὰ συμβεβηκότα καθ' αὐτὰ τῇ οὐσίᾳ ἡ αὐτὴ θεωρεῖ, ὡς εἶναι ἅμα καὶ ἀποδεικτική. ἢ μὲν γὰρ τῆς αὐτῆς τὴν οὐσίαν θεωρεῖν καὶ τὰ καθ' αὐτὰ συμβεβηκότα, αὕτη ἂν εἴη ἀποδεικτική· ἀποδεικτι-

κῆς γὰρ τὰ ἀποδεικνύναι τὰ καθ' αὐτὰ ὑπάρχοντα τῇ οὐσίᾳ. ᾧ ἐπήνεγκεν ὡς ἄτοπον τὸ "ἀποδεικτικὴ ἂν εἴη καὶ ἡ τῆς οὐσίας," ὡς ἑπόμενον τῇ ἀποδεικτικῇ λαμβάνων τὸ περὶ ὧν τὸν λόγον καὶ τὴν θεωρίαν ποιεῖται ταῦτα ἀποδεικνύναι. οὐ δοκεῖ δὲ τοῦτο, φησί, τοῦ τί ἐστιν ἀπόδειξις εἶναι, τὸ μὴ τοῦ ὁρισμοῦ καὶ τοῦ τί ἐστι μὴ εἶναι ἀπόδειξιν ὑγιῶς λαμβάνων (ἔδειξε γὰρ τοῦτο ἐν τοῖς Ὑστέροις Ἀναλυτικοῖς 2 3 sq.)· οὐ μὴν πάντως ἔπεται, εἰ ἡ αὐτὴ εἴη τῆς τε οὐσίας καὶ τοῦ τί ἐστιν ἡ οὐσία θεωρητική, καὶ τῶν καθ' αὐτὰ τῇ οὐσίᾳ ὑπαρχόντων ἤδη τοῦ τί ἐστιν ἀποδεικτικὴν αὐτὴν εἶναι. id.

τοῦτο τὸ πέμπτον μέν ἐστιν ἐν τῇ τῶν προβλημάτων ἐκθέσει, νυνὶ δὲ μετὰ τὸ τρίτον οὐκ εἰκῇ δοκεῖ μοι παρειλῆφθαι. ἀλλ' ἐπειδὴ ἐν τῷ τρίτῳ τοῦτο αὐτὸ λίαν ἀμφιβόλως ἔθηκεν (εἴτε γάρ φησι τῆς αὐτῆς εἴτε ἄλλης), ἠθέλησεν εὐθέως περὶ τούτου προηγούμενον λόγον ποιήσασθαι. Syrian.

46 1. κεφὸν δὲ καὶ διὰ τοῦ παραδείγματος ἔλυσε τὴν ἀπορίαν, ἣν ἐπιφέρει. οἱ γὰρ γεωμέτραι περὶ ἀμφοτέρων λέγοντες οὐκ ἀποδεικνύουσι τοὺς ὁρισμούς, ἀλλὰ τὸ μὴ εἶναι ἐπίπεδον τὸ μῆκος καὶ πλάτος μόνον ἔχον λαμβάνοντες χωρὶς ἀποδείξεως αὐτῷ χρῶνται, τὸ δὲ τινὰ μὴ τοῖς εὐθυγράμμοις ὑπάρχειν τῶν ἐπιπέδων τινὰ δὲ τοῖς περιφερογράμμοις καθ' αὑτὸ ἀποδεικνύουσι, καὶ διὰ τοῦτο γίνεται τοῦ τί ἐστιν ἀπόδειξις. Alex.

46 6. ἐπενεγκὼν δὲ τῷ εἰ τῆς αὐτῆς ἐπιστήμης περὶ ἀμφοτέρων ἐπισκοπεῖν, ὡς ἄτοπον τὸ ἔσεσθαι ὁρισμοῦ καὶ τοῦ τί ἦν εἶναι ἀπόδειξιν, εἰ μὴ οὕτως ἔχει, ὡς τῆς αὐτῆς εἶναι τὸ περὶ ἀμφοτέρων θεωρῆσαι, πάλιν τί ἕπεται ἄτοπον λέγει· τίς γὰρ ἔσται ἐπιστήμη περὶ τὴν τῆς οὐσίας θεωρητικὴν ἡ τῶν καθ' αὐτὰ ὑπαρχόντων τῇ οὐσίᾳ θεωρητική τε καὶ ἀποδεικτική, διαφέρουσα ἐκείνης, εὑρεῖν χαλεπόν· τὸ ὑγιὲς ἐπενεγκών, ὅτι οὐ ῥᾴδιον εὑρεῖν ἄλλην μὴ τὴν περὶ τοῦ τί ἐστι τὸ ὑποκείμενον πραγματευομένην, ἄλλην δὲ περὶ τοῦ τὰ ὑπάρχοντα αὐτῷ καθ' αὐτά, οὔτε ἐπ' ἄλλου τινὸς γένους οὔτε ἐπὶ τῆς οὐσίας· οὐ γὰρ οἷόν τε ἀγνοοῦντά τινος τὴν οὐσίαν τὰ καθ' αὐτὸ αὐτῷ ὑπάρχοντα δεικνύναι. id.

46 9. προσίθησι δὲ τούτῳ τῷ εἶναί τινας παρὰ τὰς αἰτήσεις, ὃ καὶ ἐν τῇ ἐκθέσει τῶν ἀπορίων προσέθηκε, πότερον μοναχῶς εἰσὶν αὗται

ἢ πλείω γένη τῶν τοιούτων εἰσὶν ὑσιῶν, ὡς εἶναι τὰς μέν τινας ἰδέας τε καὶ παραδείγματα, τὰς δέ τινας μεταξὺ τῶν τε ἰδεῶν καὶ τῶν αἰσθητῶν, ὡς τὰς μαθηματικάς· ταύτην γὰρ τὴν χώραν τοῖς μαθηματικοῖς ἔταττον οἱ περὶ Πλάτωνα, ὑσίας καθ' αὑτὰς λέ-
5 γοντες εἶναι, ἐξ ὧν τὰ κεχωρισμένα τῶν τε αἰσθητῶν καὶ τῶν ἰδεῶν. καὶ περί γε τούτου τὰ ἑξῆς λέγει, ζητῶν εἰ πλείω γένη τῶν ὑσιῶν. καὶ ὅτι μὴ δόξει πλείω εἶναι, δείξει διὰ τοῦ ἀνελεῖν τὰ λεγόμενα. id.

πρῶτον ὑπομιμνήσκει ἡμᾶς ὁποίας τινὰς ἔλεγον αὐτὰς εἶναι, 46 13.
ἀναπέμπων εἰς τὰ εἰρημένα ἐν τῷ πρώτῳ. ὅθεν καὶ δῆλον ἐκ πλειό-
10 νων ἤδη ὅτι κἀκεῖνα Ἀριστοτέλης τέ ἐστι καὶ ἐκ ταύτης τῆς πραγματείας. καὶ γὰρ ἐν τῷ ἤθει ὁμοίως ἐκεῖ τε περὶ αὐτῶν εἴρηκε καὶ ἐνταῦθα ἐμνημόνευσεν· ὡς γὰρ περὶ οἰκείας τῆς δόξης τῆς περὶ ἰδεῶν ὕσης τοὺς λόγους ἐν ἀμφοτέροις πεποίηται. τὸ δὲ "ὡς μὴ ὖν" ἴσον ἐστὶ τῷ πῶς μὴ ὖν. id.

15 ὡς τοῦ αὐτοῦ διδασκαλεῖν ὑπάρχων ὁ Ἀριστοτέλης φησὶ τὸ "λέγομεν." id.

τίνες μὴ αἱ πολλαὶ δυσκολίαι, εἴρηκεν ἐν τῷ πρώτῳ. τὸ δὲ 46 15.
"παρὰ τὰς ἐν τῷ οὐρανῷ" λέγει ἀντὶ τοῦ παρὰ τὰς αἰσθητάς τε καὶ ἐν τῷ κόσμῳ (οὐρανὸν γὰρ τὸν κόσμον λέγει) ὡς καὶ ἐν τόπῳ οὔσας καὶ
20 φύσει συνεστώσας· ταῦτα γὰρ λέγοιτ' ἂν κυρίως ἐν οὐρανῷ. φησὶ δὲ πολλῶν ὄντων ἀτόπων τῶν ἑπομένων τῷ περὶ τῶν ἰδεῶν δόγματι, καὶ τίς ἡ ὑπόστασις αὐτῶν ἀπορεῖ, πότερον ἡ οὐσία ἢ οὔ, καὶ τίς ὁ τῆς μεθέξεως τρόπος, καὶ ὅσα ἐν τῷ πρώτῳ προσηπόρησε τῇ δόξῃ, οὐδενὸς ἧττον ἄτοπον εἶναι καὶ ὃ νῦν τίθησιν ὡς ἑπόμενον αὐτοῖς. λέ-
25 γουσι μὴ γὰρ εἶναί τινας φύσεις παρὰ τὰς αἰσθητὰς καὶ φύσεις συνεστώσας ταύτας, ἃς δὴ καὶ ἰδέας λέγουσι, ταύτας δὲ τὰς φύσεις τὰς αὐτὰς τίθεται τοῖς αἰσθητοῖς καὶ ἐν τῷ οὐρανῷ οὖσι, μόνῳ τῷ ἀϊδίους εἶναι τῶν αἰσθητῶν διαφερούσας. ὃ ὅτι ἕπεται τῷ δόγματι, ἐπιστώσατο ἐκ τοῦ ὑπ' αὐτῶν λεγομένου. id.

30 θαυμάσειε δ' ἄν τις ἐν τούτοις καὶ τὸν Ἀλέξανδρον κατασκευάζοντα μὴ σὺν πολλῇ προθυμίᾳ τὰ τῷ Ἀριστοτέλει νυνὶ ῥηθέντα, λανθάνοντα δὲ ἑαυτὸν ἀπεναντία τῷ φιλοσόφῳ φθεγγόμενον. εἰ γὰρ συνώνυμός ἐστιν ὁ τῆδε ἄνθρωπος τῷ ἐκεῖ ἀνθρώπῳ, ὡς Ἀλεξάνδρου λόγος, οὐδ' ἂν ἀϊδιότητι διαφέροι τοῦ τῆδε ὁ ἐκεῖ· ἐν γὰρ

τῷ λόγῳ τοῦ τῆδε ἀνθρώπου τὸ θνητὸν ἔγκειται καὶ ὅλως ὅσοις τὸ θνητὸν καὶ τὸ ἄφθαρτον ὑπάρχει καὶ ὁ κατὰ συμβεβηκός, ὡς αὐτὸς ὁ φιλόσοφος ἐν αὐτῇ ταύτῃ τῇ πραγματείᾳ σαφῶς ἀπέδειξεν· ὥςε ὁ καλῶς τοῦτο συγκεχώρηκεν Ἀριςοτέλης κατὰ τὸν Ἀλεξάνδρου λόγον. ἀλλὰ ταῦτα μὴ ὁδ' αὐτοὺς οἶμαι διαλεχθῆναι τοὺς ἄνδρας οὕτως ὄν- 5 τας δεινοὺς τὰ συλλογιςικά, ὅτι τῶν Πλάτωνος θείων δογμάτων οὐχ ἅπτεται, ὡς οὐδὲ τὰ παρὰ τῶν Θρακῶν τοξεύματα τῶν αἰθερίων ἐφικνεῖτο θεῶν. Syrian.

46 24. ὁ δὲ ἐν τῷ Α τῷ μείζονι (c. 9) λέγων πρὸς τὰς ἰδέας πρῶτον ἔθηκε, τὸ ὅτι βουλόμενοι ἐπιςήμην τινὰ τῶν ὄντων λαβεῖν ἦλθον 10 ἐπὶ τὸ τὰς αἰτίας αὐτῶν ζητεῖν, ἰσαρίθμους δὲ ποιήσαντες ταῖς προϋπαρχούσαις ἠγοῦντο τὴν ἐπιςήμην αὐτῶν οὕτως ἕξειν, καὶ νῦν ἐξηγήσατο πῶς εἴρηται διὰ τοῦ οὐδὲν γὰρ ἄλλο ἢ ἴσας καὶ τὰς αὐτὰς ταῖς ζητουμέναις οὐσίαις οὐσίας ἀϊδίους ἔλαβον οἱ τὰς ἰδέας θέμενοι, εἴγε μόνῃ τῇ τοῦ αὐτό προσθήκῃ διαφέρει τῶν αἰσθητῶν, ὃ τοῦ ἀϊδίου 15 ἂν εἴη δηλωτικόν. Alex.

46 27. πῶς δὲ οἷόν τε εἶναι ἥλιόν τινα μαθηματικὸν μὴ κινούμενον, ἢ κόσμον ἢ ἄλλο τι τῶν ἄςρων; ἡ γὰρ οὐσία καὶ ἡ φύσις τούτων μετὰ τῆς τοιᾶσδε κινήσεως· οἱ δὲ λέγουσι τὰ μαθηματικὰ ἀκίνητα εἶναι. πολὺ δ' ἔτι ἀλογώτερον τοῦ λέγειν κόσμον καὶ ἥλιον ἀκί- 20 νητα, τὸ λέγειν εἶναι μὴ αὐτὰ κινούμενα, οὐκ αἰσθητὰ δὲ ἀλλὰ μαθηματικά· ἀδύνατον γὰρ κινεῖσθαί τι μὴ ὂν ἔνυλον καὶ τῇ αὐτοῦ φύσει αἰσθητόν. ἔποιτο δ' ἂν τοῦτο τὸ ἄτοπον καὶ τοῖς λέγουσιν ἰδέαν τινὰ εἶναι οὐρανοῦ αὐτοούρανον καὶ ἡλίου αὐτοήλιον· πῶς γὰρ οἷόν τε ἐπινοῆσαί τι τούτων ἀκίνητον; id. 25

47 4. αὕτη δέ ἐςιν οὐχ ἡ τὰς χορδὰς ἁρμόζομεν (αὕτη γὰρ δοκεῖ αὐτοῖς περὶ τὰ αἰσθητὰ εἶναι), ἀλλ' ἡ δεικνῦσα ἐν τίνι λόγῳ ἀριθμῶν ἐςὶν ἑκάςη συμφωνία· αὕτη γὰρ ἡ μαθηματική, ἥτις δηλονότι περὶ τὰ μαθηματικὰ ἔςαι. πᾶσαι γὰρ αὗαι μαθηματικαὶ οὖσαι ἕξουσί τινας οὐσίας μαθηματικὰς ὑποκειμένας, μεταξὺ οὔσας 30 τῶν τε αἰσθητῶν καὶ τῶν ἰδεῶν· πῶς δὲ οἷόν τε ὁρατά τινα εἶναι μὴ αἰσθητά, περὶ ἃ ἡ ὀπτική, ἢ ἀκουςὰ μὴ αἰσθητά, περὶ ἃ ἡ ἁρμονική; τὸ γὰρ ὀπτικὴ εἶναι τὸ περὶ ὁρατῶν λέγειν καὶ τὸ ἁρμονικὴ τὸ περὶ ἀκουςῶν. τούτῳ γὰρ ἀκολουθήσει καὶ αἰσθήσεις τινὰς μεταξὺ

λέγεω, καὶ ἄλλας τινὰς παρὰ ταύτας δι' ὧν ἡ ἀντίληψις ἐκείνων τῶν μεταξύ. εἰ δὲ αἰσθήσεις, δῆλον ὅτι καὶ ζῷα τὰ τὰς αἰσθήσεις ἐκείνας ἔχοντα, μεταξὺ ὄντα αὐτῶν τε τῶν ζιφίων, τυτέςι τῶν ἰδεῶν, καὶ τῶν φθαρτῶν· ἐ γὰρ δὴ αἰσθήσεις οἷόν τε ἄνευ ζῴων
5 εἶναι. id.

ὡς δὲ περὶ τὴν γεωδαισίαν φησὶ τὴν γεωμετρίαν εἶναι, ἐδενὶ 47 10.
ἄλλῳ διαφέρεσαν τῆς γεωδαισίας ἢ τῷ ταύτην μὲν περὶ τὰ αἰσθητὰ εἶναι καὶ τὰ τύτων μέτρα, εὑρεθεῖσαν ἐν Αἰγύπτῳ διὰ τὴν χρείαν τῆς κατὰ τὴν χώραν διαιρέσεως τῷ τὺς φθάσαντας ὅρυς κεῖσθαι
10 συγχεῖσθαι ὑπὸ τῆς ἀναβάσεως τῦ Νείλυ, τὴν γεωμετρίαν δὲ μὴ περὶ τὰ αἰσθητά, εἶναι δὲ ἄλλην τὴν περὶ τὰς τύτων ἰδέας. id.

ὡς γὰρ ὄντος αὐτοτριγώνυ καὶ αὐτογραμμῆς, ὄντων δὲ καὶ 47 12.
αἰσθητῶν, περὶ ἃ ἡ γεωδαισία, ἔςι τινὰ μεταξὺ καὶ τύτων, περὶ ἃ ἡ γεωμετρία, ὕτως καὶ ὕσης τῆς αὐτοῦγιείας, ὕσης δὲ καὶ τῆς ἐν
15 τοῖς αἰσθητοῖς, περὶ ἣν ἰατρική, ἔςαι τις καὶ μεταξὺ αὐτῶν ὑγίειά τε καὶ ἰατρική· ὁ γὰρ αὐτὸς λόγος. εἰ δὲ ὑγίειά τις ἔςαι μεταξὺ καὶ ἰατρική, ἔςαι καὶ ὑγιεινά τινα ἄλλα, δι' ὧν τὴν ὑγίειαν ἐκεῖνος ὁ ἰατρικὸς περιποιεῖ, καὶ δῆλον ὅτι ζῷά τινα, ἐν οἷς ἐκείνη ἡ ὑγίεια. ὁ ὐκέτι τοῖς τὰ μαθηματικὰ ἐξ ἀφαιρέσεως ἀπὸ τῶν αἰσθητῶν
20 νοῦσι καὶ μὴ διδῦσιν αὐτοῖς ἰδίαν ὑπόςασιν ἔπεσθαι, τὸ καὶ ὑγίειάν τινα ἐξ ἀφαιρέσεως ἀνάλογον τοῖς μαθηματικοῖς νοεῖσθαι· ὐ γὰρ ἔςιν ἐπινοίᾳ χωρίσαι ὐσίαν ἀπὸ τῦ φυσικῦ σώματος. ὡς δὲ ἐπὶ ἰατρικῆς, ὁμοίως καὶ ἐπὶ τῶν ἄλλων τεχνῶν ῥηθήσεται. id.

ἀπορήσας δὲ τῦτο ἑξῆς φησὶ μηδὲ τῦτο ὑγιῶς ὑπ' αὐτῶν λέ- 47 17.
25 γεσθαι, τὸ εἶναι τὴν μὲν γεωδαισίαν περὶ τὰ αἰσθητά, τὴν δὲ γεωμετρίαν περὶ ἄλλα τινά· ὐδὲ γὰρ ἡ γεωδαισία περὶ αἰσθητά ἐςιν. ὅ πίςιν φέρει τό, εἰ ἦν περὶ τὰ αἰσθητά, συμφθείρεσθαι ἂν αὐτὴν φθειρομένων. ἀνάγκη γὰρ ἀναιρυμένυ τῦ περὶ ὅ ἐςί τι, ἀναιρεῖσθαι καὶ τὸ περὶ ἐκεῖνο ὄν· εἰ γὰρ περὶ τόδε τί ἐςι, φθαρέντος τύτυ ἀνάγκη
30 καὶ τὸ περὶ αὐτὸ ὂν ἐφθάρθαι, εἴγε καὶ αὐτῷ τὸ εἶναι ἐν τῷ περὶ τῦτο εἶναι. νυνὶ δὲ ὐδεμία ὅτε τέχνη ὅτε ἐπιςήμη συμφθείρεται τύτοις, ὥσπερ ὐδὲ ἡ γεωδαισία· ὡς δῆλον ὅτι ὐδὲ περὶ τύτων ὐδὲ περὶ ταῦτα ἐςίν, ἃ ἐςιν αἰσθητὰ καὶ φθαρτά, ἀλλὰ περὶ τὸ καθόλυ, ὅ ἐςιν ἀίδιον. πᾶσα γὰρ ἐπιςήμη τε καὶ τέχνη περὶ τὸ καθόλυ συνί-

ςαθ, ὃ ὐκ ἔςιν αἰθητόν· ὐ γὰρ εἰ χρῆταί τις πρὸς τὰ αἰθητὰ ταῖς ἐπιςήμαις καὶ τέχναις, ἤδη περὶ ταῦτα εἰσίν· ἀλλὰ καὶ ὕσαι περὶ τὰ καθόλου καὶ τὰ τοιαῦτα περὶ τὰ αἰθητὰ πραγματεύονθ, ὐχ ᾗ αἰθητὰ καὶ τάδε, ἀλλ' ᾗ τοιάδε καὶ τοῦ κοινοῦ μετέχει. id.

47 23. ὁ γὰρ κύκλος ὁ αἰθητὸς τοῦ κανόνος καὶ τοῦ ἐπιπέδου τοῦ αἰθητοῦ ὐ καθ' ςιγμὴν ἅπτεθ, οἱ δὲ μαθηματικοί τε καὶ ἀςρολόγοι ὅτιο λέγουσι καὶ περὶ τοῦ κύκλου καὶ τῆς σφαίρας ὡς κατ' σημεῖον ἁπτομένου τοῦ ἐπιπέδου. Πρωταγόρας ὧν τοῖς αἰθητοῖς προχρώμενος ᾤετο τοὺς γεωμέτρας ἐλέγχειν ὡς ψευδομένους, δεικνὺς ὅτι ὐδὲν τούτων τοιοῦτόν ἐςιν ὁποῖον ἐκεῖνοι λέγουσιν, ἀγνοῶν καὶ αὐτὸς ὅτι μὴ περὶ τούτων ὁ λόγος αὐτοῖς, ὥσπερ ὧν ὐδὲ ἄλλῳ τινὶ τεχνίτῃ. ἀλλ' ὐδὲ αἱ κινήσεις αὐτῶν κατ' τὸν ὐρανόν, ἀλλ' ὐδὲ αὐτοῦ τοῦ ὐρανοῦ, αἵ τε κύκλῳ γινόμεναι καὶ αἱ κατ' ἕλικας, τοιαῦθ ὁποίας ὁ ἀςρολόγος λαμβάνει· γραμμὰς γὰρ λαμβάνει ὁ ἀςρολόγος καὶ τὴν ἕλικα καὶ τὸν κύκλον, ἃ ἐςι μήκη ἀπλατῆ, καὶ ἐπὶ τούτων τὰς κινήσεις ὑποτίθεθ γίγνεται· ὐδὲν δέ ἐςιν ἐν τοῖς αἰθητοῖς μῆκος ἄνευ πλάτους. ἔτι οἱ μὴ λαμβάνουσι τὰ ἄςρα σημεῖά τινα καὶ σημείων ἐπέχειν λόγον ἐν τῷ ὐρανῷ, τὸ δὲ σημεῖόν ἐςιν οὗ μέρος ὐδέν, ὐδὲν δὲ τῶν ἄςρων τοιοῦτον. εἰ δὲ μηδεμία τέχνη περὶ τὰ αἰθητά, ὐκ ἂν εἴη ταῖς τέχναις πρὸς τὰς μαθηματικὰς ἐπιςήμας ἡ διαφορὰ τῷ ταύτας μὴ εἶναι περὶ αἰθητὰς τὰς δὲ μαθηματικὰς περί τινας νοητὰς ὐσίας. id.

47 23. εἰπὼν διὰ τοὺς τὰ μαθηματικὰ ὐσίας λέγοντας εἶναι αὐτὰς καθ' αὐτὰς κεχωρισμένας τῶν τε ἰδεῶν καὶ τῶν αἰθητῶν, νῦν μέτεισιν ἐπὶ τοὺς λέγοντας μὴ τὰ μαθηματικὰ εἶναι κατά τινα φύσιν οἰκείαν, ὐ μὴν ἔξω αὐτὰ τῶν αἰθητῶν εἶναι, ἀλλ' ἐν τούτοις. διαφέροι δ' ἂν ἡ δόξα αὕτη τῆς λεγούσης ἐξ ἀφαιρέσεως τὰ μαθηματικὰ λαμβάνεθαί τε καὶ νοεῖθαι, ἧς καὶ αὐτός ἐςιν, ὅτι ἐκεῖνοι μὴ οἰκείαν τινὰ φύσιν ἀποδόντες αὐτοῖς, ἄλλην παρὰ τὰ αἰθητά, ἐν τοῖς αἰθητοῖς αὐτὰ λέγουσιν εἶναι ὐκ αὐτῶν τι ὄντα, ἀλλ' ἐν τούτοις ὄντα ἄλλα εἶναι αὐτῶν, οἱ δὲ ἐξ ἀφαιρέσεως λαμβάνοντες αὐτὰ τῷ λόγῳ, τινὰ τῶν αἰθητῶν χωρίσαντες, καταλείπουσιν αὐτὰ σὺν τοῖς χωριθεῖσι πάντα τὰ κατ' τὰ ὅλα αἰθητά, ὐκέτι ἐκείνων τῶν κεχωρισμένων αὐτῶν ἐφ' αὐτῶν δυναμένων τὴν αἰθητὴν ἀποπληροῦν φύσιν, ὐδ' ἐπὶ διαςά-

σεώς τινος νουμένων. ἡ γὰρ ἐν τοῖς μαθηματικοῖς νουμένη διάστασις μετὰ τῶν τῷ λόγῳ κεχωρισμένων παθητικῶν ἡ αἰθητὴ φύσις· ἐν ἀμφοῖν γὰρ ἡ αἰθητικὴ φύσις ἐν ὑποστάσει οὖσα φύσει. id.

εἰ γὰρ ταῦτα ὄντα οὐσίαι καθ' αὑτὰς νοηταὶ ἐν αἰθητοῖς ἐστί, τί 48 3.
5 δήποτε καὶ αἱ ἰδέαι, οὖσαι καὶ αὐταὶ οὐσίαι τινὲς νοηταί, οὐκ ἔσονται ἐν τοῖς αἰθητοῖς; δεῖ γὰρ λόγου τινός, δι' ὃν ταῦτα μὴ ἔσται ἐν τοῖς αἰθητοῖς, ἐκεῖνα δὲ οὐκέτι. ὅτι δὲ πολλὰ ἕπεται τῇδε τῇ δόξῃ, εἴρηκε μὴ καὶ ἐν τῷ δευτέρῳ, ὑπέμνησε δὲ καὶ ἐν τῷ πρώτῳ τῷ μείζονι A (c. 9) λέγων περὶ τῆς Εὐδόξου δόξης, ἐρεῖ δὲ καὶ ἐν τῷ N (c. 2 extr. et 3)
10 τῆσδε τῆς πραγματείας. ἔτι δὲ δύο στερεὰ ἐν τῷ αὐτῷ τόπῳ ἔσται, 48 5.
τό τε μαθηματικόν (ἔστι γὰρ καὶ μαθηματικὸν στερεόν, περὶ ὃ ἡ στερεομετρία) καὶ τὸ αἰθητόν, εἰ ἐκεῖνο ἐν τούτῳ ἔσται. ἔσται γὰρ σῶμα διὰ σώματος οὕτω δυόν, εἰ ἑκάτερον αὐτῶν κατ' οἰκείαν φύσιν ὄν, τὸ ἕτερον ἐν τῷ ἑτέρῳ ἐστίν. ἔτι δὲ οὐδὲ ἀκίνητα ἔσται τὰ μαθηματικά,
15 ὄντα τε ἐν τοῖς αἰθητοῖς· κινουμένων γὰρ τούτων ἀνάγκη καὶ τὰ ἐν αὐτοῖς κινεῖσθαι, κινεῖσθαι δὲ οὐχ ὡς τὰ συμβεβηκότα, ἀλλ' ὡς καὶ αὐτὰ ἐν τόπῳ· εἰ γὰρ μεγέθη καὶ ἐν διαστάσει, ἔσται κινούμενα ὁμοίως τοῖς τῶν σωμάτων βίᾳ καὶ ὑπό τινος κινουμένοις, οὐ κατὰ τὴν ἐν αὐτοῖς ῥοπήν. καθόλου δὲ τίνος χάριν δεῖ λέγειν αὐτὰ εἶναι, εἶναι δὲ ἐν
20 τοῖς αἰθητοῖς; οὐδεμίαν γὰρ ἔτι φαίνεται χρείαν αὐτοῖς παρεχόμενα, ὄντα γε καὶ καθ' αὑτά. ἀλλ' ἐπὶ τούτοις τοῖς προειρημένοις ἀτόποις καὶ ὅσα εἴπετο τοῖς κεχωρισμένα ποιοῦσιν αὐτά, καὶ τούτοις ἀκολουθήσει· ἔσται γάρ τις οὐρανὸς ἄλλος καὶ κατὰ τούτους παρὰ τὸν αἰθητὸν οὐρανόν, ὁμοίως καὶ ἥλιος καὶ τῶν ἄστρων ἕκαστον, πλὴν οὐ καθ' αὑτοὺς
25 ὄντες ἀλλ' ἐν αὐτοῖς τούτοις, ἥλιος ἐν ἡλίῳ καὶ σελήνη ἐν σελήνῃ καὶ οὐρανὸς ἐν οὐρανῷ, πρὸς ἐκείνῳ δὲ τῷ ἀτόπῳ καὶ τοῦτο προσειληφότα τὸ δύο σώματα ἐν τῷ αὐτῷ τόπῳ εἶναι. περί τε οὖν τῶν προειρημένων τούτων πάντων ἀπορίαν φησὶν οὐ τὴν τυχοῦσαν εἶναι, πῶς θέμενος αὐτά τις τἀληθῶς ἐπιτεύξεται, καὶ ἔτι περὶ ὧν προσίθησι "καὶ
30 περὶ τῶν ἀρχῶν." id.

ἣν μὴ ἐν τῇ ἐκθέσει τῶν προβλημάτων ἕκτον τῶν ἠπορημέ- 48 13.
νων, τίνος ἐστὶ περὶ ταὐτοῦ καὶ ὁμοίου καὶ ἐναντίου καὶ ἑτέρου καὶ ἀνομοίου διαλαβεῖν ἐπιστημόνως, καθάπερ ἐνδόξως τοῦ διαλεκτικοῦ. τούτου δὲ ὑπερβὰς νῦν ἴσως, ἐπειδὴ τῷ ἐφεξῆς βιβλίῳ τῷ Γ λαμπρῶς

ἔμελλεν ἀποφανεῖς περὶ αὐτῶν ὡς τῷ πρώτῳ φιλοσόφῳ προσηκόντων (καὶ γὰρ πολλὴν μὲν διαπορίαν οὐκ ἐπιδέχεται τὸ σκέμμα, μᾶλλον δὲ ἀποφάσεως ἔδειτο καὶ βραχείας ἐπικρίσεως), ἢ ὅτι καὶ ἐν τῷ
I τὴν τελευτάτην ἡμῖν αὐτῶν παραδίδωσι διδασκαλίαν, ταῦτ' οὖν ὑπερβὰς διά τινας τοιαύτας αἰτίας, ὃ ἐν τοῖς πρώτοις ἕβδομον 5
ἔταξε νῦν ἕκτον παραλαμβάνει, καὶ ζητεῖ πότερον τὰ ἐνυπάρχοντα ἀρχαὶ τῶν πραγμάτων ἢ τὰ γένη. Syrian.

48 24. Ἐμπεδοκλῆς τε γὰρ τὰ τέσσαρα σώματα στοιχεῖα τῶν ὄντων ὑποθέμενος οὐχ ὡς γένη αὐτὰ ἔλεγεν ἀρχάς, ἀλλ' ὡς ἐνυπάρχοντα τοῖς ἐξ αὐτῶν τὴν γένεσιν ἔχουσιν· ὁμοίως καὶ τῶν ἄλλων 10
φυσικῶν ἕκαστος τῶν σωματικὴν τὴν ἀρχὴν ὑποθεμένων. Alex.

49 2. ἡ ἐπιχείρησις δυνάμει τοιαύτη ἐστίν. ἐξ ὧν ἕκαστον γνωρίζομεν, ταῦτα ἐκείνων ἀρχαί (κεῖται γὰρ ὅτι ἐκ τοῦ τὰ αἴτια καὶ τὰ στοιχεῖα τινῶν εἰδέναι καὶ τὰς ἀρχὰς γίνεται τὸ αὐτὰ εἰδέναι), ἐκ δὲ τῶν ὁρισμῶν γνωρίζομεν ἕκαστον τῶν ὄντων, οἱ ὁρισμοὶ 15
ἄρα ἀρχαί· ἀρχὴ δὲ τῶν ὁρισμῶν ἡ τοῦ γένους λῆψις, ὥστε τὸ γένος ἀρχή. δύνανται δὲ γένη καὶ αἱ διαφοραὶ λέγεσθαι, ὡς ἐν τοῖς Τοπικοῖς (1 4) εἶπεν, ὡς εἶναι τὸ λεγόμενον, ὅτι εἰ τῶν ὁρισμῶν ἀρχὴ ἡ τοῦ γένους λῆψις, δύνανται τὰ γένη ἀρχαὶ εἶναι, ἅπερ ἐστὶ τὸ γένος καὶ αἱ διαφοραί· ἐκ γὰρ τούτων οἱ ὁρισμοὶ συγκεῖνται· ὥστε 20
τὰ γένη ἀρχαί· οἱ μὲν γὰρ ὁρισμοὶ τῶν ὁριστῶν, τούτων δὲ τὰ γένη.

49 5. "καὶ εἰ ἔστι τῶν ὄντων λαβεῖν ἐπιστήμην τὸ τῶν εἰδῶν λαβεῖν." ἡ ἐπιχείρησις τοιαύτη. κατὰ τὰ εἴδη ἡ ἐπιστήμη καὶ ἡ γνῶσις τῶν ὄντων γίγνεται· οὐ γὰρ ἔστι τῶν καθ' ἕκαστα ἐπιστήμη· καὶ γὰρ οἱ ὁρισμοὶ αὐτῶν κατὰ τὰ εἴδη. εἰ δ' ἐκ τῆς τούτων γνώσεως ἡ τῶν ὄντων 25
γνῶσις ἤρτηται, τὰ εἴδη ἂν εἴεν ἀρχαὶ τῶν καθ' ἕκαστα, καθ' ἃ εἴδη ἐστὶν ἑκάστοις τοῖσδέ τισιν εἶναι. ἀλλὰ μὴν τῶν εἰδῶν ἀρχαὶ τὰ γένη· ἐκ γὰρ τῆς τούτων διαιρέσεως τὰ εἴδη καὶ οἱ τῶν εἰδῶν ὁρισμοὶ διὰ τῶν γενῶν· καὶ τῶν ὄντων ἄρα ἀρχαὶ πάντων τὰ γένη. ἢ κατὰ τὰ εἴδη μὲν ἡ γνῶσις ἑκάστου· κατὰ γὰρ ταῦτα τὸ εἶναι ἑκάστῳ· 30
οὐ μὴν κατὰ τὸ εἶδος τὸ ὡς ἐκ γένους διῃρημένον, ἀλλὰ τὸ εἶδος τὸ ἀντιδιαιρούμενον τῇ ὕλῃ· ὁ δὲ λαβὼν τὸ εἶδος τοῦτο ἐπὶ τὸ ἐκ γένους μετῆλθε. id.

εἴη δ' ἂν ἡ δόξα Πλάτωνος· οὗτος γὰρ τὸ ἕν, ὃ κυρίως ὂν ἔλεγε, καὶ τὴν ἀόριστον δυάδα, ἣν μέγα καὶ μικρὸν ὠνόμαζεν, ἀρχὰς ὑπέθετο. ὡς γένη δὲ ταῦτα ὑπελάμβανε τῶν ὄντων, ὅτι καθ' ἕκαστα τῶν ὄντων καὶ τὸ ἓν ἑώρα κατηγορούμενον καὶ τὴν ἀνισότητα. καθ' ὅσον μὲν γὰρ τόδε τι ἐστὶν ἕκαστον τῶν ὄντων, τοιοῦτον δὲ κατὰ τὸ εἶδος, τὸ ἓν αὐτοῦ καὶ τὸ ὂν κατηγορεῖται· καθ' ὅσον δὲ ἐν φύσει συνεχεῖ καὶ μεταβολῇ ἑώρα τὸ ὑποκείμενον, κατὰ τοῦτο τὸ μέγα καὶ τὸ μικρόν. κοινὰ ἄρα καὶ τὰ γένη ταῦτα, καὶ ὡς γένη τὰ ἀνωτάτω ἀρχαὶ κατ' αὐτόν. id. 49 7.

οἱ τὸ ἓν ἢ τὸ ὂν ἢ τὴν ἀόριστον δυάδα τῶν ὄντων ἀρχὰς εἶναι λέγοντες καὶ τελεσιουργοὺς αὐτὰς παρεδίδοσαν, ἐκ μὲν τοῦ ἑνὸς τἀγαθὸν ἐφήκειν τοῖς πᾶσιν ἐθέλοντες, ἐκ δὲ τοῦ ὄντος τὸ εἶναι, ἐκ δὲ τῆς ἀορίστου δυάδος τάς τε δυνάμεις καὶ τὰς ἐνεργείας καὶ τὰς κινήσεις καὶ προόδους καὶ αὐξήσεις παντοδαπάς, καὶ οὐδὲν εἶναι τῶν ὄντων, ὃ μὴ μετέχει τοῦ τε ἑνὸς καὶ τῆς ἀορίστου δυάδος καὶ τοῦ ὄντος καὶ ὑπ' αὐτῶν ἀπογεννᾶται. εἰ οὖν διὰ τοῦτο γένη τις αὐτοὺς ἐθέλοι ταῦτα τῶν πάντων ὀνομάζειν, φθόνος οὐδεὶς τῶν ὀνομάτων. Syrian.

ἡ δὲ ἐπιχείρησις τοιαύτη. λαμβάνει τὸν ὁρισμὸν τὸν τῆς οὐσίας ἑκάστου δηλωτικὸν ἕνα εἶναι δεδειγμένον ἐν τοῖς Ὑστέροις Ἀναλυτικοῖς (2 9 et 10)· ἑκάστῳ γὰρ τῶν ὄντων τὸ εἶναί ἐστιν ὃ ἔστιν, ᾧ ὁ κυρίως ὁρισμὸς δηλωτικός. ἀλλὰ καὶ τὸ ἐκ τῶν ἀρχῶν δὲ ὁ ὁρισμός. τούτων κειμένων λαμβάνει τὸ εἶναι ἀρχὰς τῶν ὄντων καὶ τὰ γένη καὶ τὰ στοιχεῖα, καί φησιν, εἰ ἐκ τῶν ἀρχῶν ἑκάστου ὁ ὁρισμός, ἄλλος ἔσται ὁ ὁρισμὸς ὁ διὰ τῶν γενῶν (γένη δέ, ὡς ἔφαμεν, καὶ τὰς διαφορὰς λέγει) καὶ ἄλλος ὁ διὰ τῶν στοιχείων· ὥστε εἰ ἐκ μὲν τῶν ἀρχῶν ὁ ὁρισμός, ἄλλος δὲ ὁ ἐξ ἐκείνων καὶ ἄλλος ὁ ἐκ τούτων, πλείους ὁρισμοὶ τοῦ αὐτοῦ ἔσονται. ἀλλὰ μὴν οὐ πλείους, εἷς γὰρ ἑκάστου ὁρισμός· οὐκ ἄρα ἀμφότερα στοιχεῖα. Alex. 49 10.

ὅτι εἷς ἐστὶν ἑκάστου τῶν εἰδῶν ὁ κυριώτατος ὁρισμός, ἔδειξεν ἐν τοῖς Ὑστέροις Ἀναλυτικοῖς (2 9. 10), καὶ ὅτι οὗτος πάντως διὰ τῶν γενῶν, ὥστε ταύτῃ ἂν μᾶλλον κατὰ τὴν αὐτοῦ δίαιταν ἀρχαὶ τὰ γένη λέγοιτ' ἄν. Syrian. 49 11.

49 14. ζητῆσαι, φησίν, ἄξιον πότερον τὰ ἀνωτάτω γένη χρὴ τίθεσθαι ἀρχὰς τὰ κοινότατα, ἢ τὰ ἔσχατα καὶ προσεχῆ τοῖς καθ' ἕκαστα, ἃ ἄτομα εἴδη καλεῖται· γένη γὰρ καὶ τὰ εἴδη νῦν λέγει. Alex.

49 22. νυνὶ δὲ ὅτι τὴν τῶν γενῶν τῶν ἐπιγενηματικῶν ἰδιότητα οὐκ ἐνδέχεται ταῦτα, δείκνυσιν ὁ λόγος. ἐπιχειρεῖ δὲ οὕτως. τὸ ἓν καὶ τὸ ὂν τῶν διαφορῶν κατηγορεῖται, τὰ εἴδη καὶ τὰ γένη τῶν διαφορῶν οὐ κατηγορεῖται, τὸ ἓν καὶ τὸ ὂν οὔτε γένος οὔτε εἶδός ἐστιν. ἑρμηνεύει δὲ ταῦτα τοῦτον τὸν τρόπον. "ἀνάγκη — ἑκάστην." τουτέστιν, ἀνάγκη τὸ ἓν καὶ τὸ ὂν πάσης διαφορᾶς κατηγορεῖσθαι. "ἀδύνατον — εἰδῶν." ὡς εἰ ἔλεγεν, ἀδύνατον δὲ ἢ τὸν ἄνθρωπον ὅλου τοῦ λογικοῦ κατηγορεῖσθαι (οἰκεία γὰρ αὐτοῦ καὶ εἰδοποιὸς αὕτη διαφορά· πῶς δ' ἂν τοὐλάττον τοῦ ἐπὶ πλέον ἐκτεινομένου κατηγοροῖτο), ἢ τὸ ζῷον ἕξω που τῆς ἀνθρώπου φύσεως κειμένου τοῦ λογικοῦ κατ' αὐτοῦ ῥηθῆναι. ὅτ' οὖν ἄνθρωπος, ὃς ἐστιν εἶδος γένους, καὶ τῆς ἑαυτοῦ ῥηθείη ποτ' ἂν διαφορᾶς, οὔτε τὸ ζῷον μὴ κατηγορούμενον τοῦ ἀνθρώπου ἰδίᾳ τοῦ λογικοῦ ποτ' ἂν κατηγορηθείη. ἀλλὰ μὴν τὸ ἓν καὶ τὸ ὂν πάσης διαφορᾶς κατηγορεῖται. ὅτ' ἄρα εἶδος τῶν ὄντων τινὸς οὔτε γένος τὸ ἓν καὶ τὸ ὄν. ὥστ' εἴπερ γένος τὸ ἓν ἢ τὸ ὄν, οὐδεμία διαφορὰ οὔτε ὂν οὔτε ἓν ἔσται. εἰ δέ τις ἐκ παντὸς εἰσγλίχοιτο λέγειν εἶναι γένη τό τε ἓν καὶ τὸ ὄν, ἕπεται αὐτῷ μηδεμιᾶς διαφορᾶς ταῦτα κατηγορεῖν, ὃ καὶ ἄτοπόν ἐστι καὶ τῆς ὑποθέσεως τῶν πρεσβευόντων αὐτὰ λίαν ἀνατρεπτικόν· οὐκέτι γὰρ ἔσται γενικώτατον τὸ ἓν καὶ τὸ ὄν, οὐδὲ πάντων κατηγορηθήσεται. ταῦτα μὲν ἐπιχειρηματικῶς νῦν ὁ Ἀριστοτέλης διαλέξεται. Syrian.

49 23. ὅτι οὖν μὴ γένη τὸ ὂν καὶ τὸ ἕν, οὕτω δείκνυσι. πᾶσα διαφορὰ γένους διαιρετικὴ καὶ ὂν καὶ ἕν ἐστιν, ὥστε καὶ αἱ τοῦ ἑνὸς καὶ τοῦ ὄντος διαφοραί, εἰ γένη ταῦτα, καὶ ἐν ἑκάστῃ αὐτῶν καὶ ὂν καὶ ἓν ἔσται. ἀλλὰ εἰ τὸ ὂν καὶ ἓν ἐν ἑκάστῃ τοῦ ὄντος διαφορᾷ, γένους ὄντος τοῦ ὄντος καὶ τοῦ ἑνὸς κατηγοροῖτο ἂν τῶν οἰκείων διαφορῶν τὰ γένη. τοῦτο δὲ ἀδύνατόν φησιν εἶναι· καθόλου γὰρ οὕτως εἶναί τι τὸ ὡς γένος ἓν εἶδος· πολλαχῶς γὰρ τὸ εἶδος, ὡς εἴρηται πρὸ ὀλίγου, τῆς οἰκείας κατηγορεῖται διαφορᾶς, εἰ καθ' αὐτὴν ἡ διαφορὰ λαμβάνοιτο· ἡ γὰρ διαφορὰ ἐπὶ πλέον κατηγορεῖται τοῦ εἴδους, ὡς τὸ λογικὸν τοῦ ἀνθρώπου ἢ θνητόν, τὸ δ' ἐπ' ἔλαττον λεγόμενον τοῦ ἐπὶ πλέον λεγο-

μένυ ὑχ οἷόν τε ἀληθῶς κατηγορεῖσθαι. καὶ διὰ τοῦτο δὲ εἶπε "τῶν οἰκείων διαφορῶν," ἴσον λέγων τῷ ἐφ' ὧν εἴδη ποιεῖται. ἔτι τὸ μὲν εἶδος συναμφότερόν τι, ἡ δὲ διαφορὰ μέρος τοῦ συναμφοτέρυ. ἔτι μόριόν ἐςιν ἡ διαφορὰ τοῦ εἴδυς, καθ' ὅσον τῶν ἐν τῷ
5 ὁριςικῷ λόγῳ παραλαμβανομένων ἕκαςον μόριόν ἐςιν ἐκείνυ ὃ συμπληροῖ τὴν ὑσίαν, καὶ μόριον ἀνομοιομερές· ὑ γὰρ ταὐτὸν τὸ γένος σημαίνει ἐν τῷ ὁρισμῷ ἑκάςῃ τῶν διαφορῶν, τὸ δὲ τοιοῦτον ὅλον ὑ κατηγορεῖται τῶν αὐτοῦ μερῶν. ὥςε ὑδετέρως τὸ εἶδος τῆς οἰκείας κατηγορεῖται διαφορᾶς· τὸ γὰρ γένος ὑχ ὕτως ἔχει μέρη τὰ
10 εἴδη· ὑ γὰρ ἐν τῷ τῶν γενῶν ὁρισμῷ τὰ εἴδη. ἀλλ' ὑδὲ τὰ γένη κατηγορεῖται τῶν οἰκείων διαφορῶν, ὅταν αἱ διαφοραὶ χωρὶς τῶν εἰδῶν λαμβάνωνται καὶ μὴ ἐν αὐταῖς τὰ εἴδη περιέχωνται. τὸ γὰρ ζῷον ὅταν λογικοῦ κατηγορῆται τοῦ ζῴυ λογικοῦ (τοῦτο γὰρ ἐξακύει τότε), ὑ τοῦ λογικοῦ κατηγορεῖται, ἐπεὶ αὐτῆς τε καθ' αὐτῆς τῆς διαφορᾶς
15 ἄνευ τοῦ εἴδυς λαμβανομένης ὑ κατηγορεῖται, οἷον τῆς λογικότητος· ποιότητες γάρ τινες αἱ διαφοραί, καθ' ὧν πῶς οἷόν τε τὸ ζῷον ὑσίαν συναμφότερον σημαῖνον κατηγορεῖν; ὅτε γὰρ τὰ εἴδη ὅτε τὰ γένη τῶν διαφορῶν κατηγορεῖται. εἰ δὲ τοῦτο, αἱ τοῦ ὄντος καὶ ἑνὸς διαφοραί, εἰ γένη ταῦτα, ὅτε ὄντα ὅτε ἑκάςη αὐτῶν ἕν ἐςι,
20 τυτέςιν ὑδεμία διαφορὰ ὅτε ἓν ὅτε ὂν ἔςαι· πᾶσαι γὰρ τοῦ ὄντος ἔσονται, ὅπερ ἄτοπον. ὥςε ὑδὲ γένη ταῦτα. εἰ δὲ μὴ γένη, ὑδὲ ἀρχαί, εἰ τὰ γένη ἀρχαί. σημαίνει δὲ τὸ μὲν "ἀδύνατον δὲ κα- 49 25.
τηγορεῖσθαι ἢ τὰ εἴδη τοῦ γένυς ἐπὶ τῶν οἰκείων διαφορῶν," τυτέςι τῶν ἰδίων διαφορῶν· τὸ δὲ "ἢ τὸ γένος ἄνευ τῶν εἰδῶν" ἤτοι ἴσον
25 ἐςὶ τῷ ἢ τὸ γένος ἄλλυ τινὸς χωρὶς τῶν αὐτοῦ εἰδῶν κατηγορεῖσθαι, ἢ τὸ γένος τῶν διαφορῶν κατηγορεῖσθαι, μὴ λαμβανομένων τῶν διαφορῶν ὡς εἰδῶν ἤδη καὶ συναμφοτέρων. δοκεῖ δέ μοι ἡ ἐπιχείρησις λογικωτέρα εἶναι, ὥσπερ ὖν καὶ αἱ πλεῖςαι τῶν λεγομένων ὑπ' αὐτοῦ. Alex.

30 ὃ λέγει νῦν, ὑ πρὸς τὸ τὰ πρῶτα γένη ἀρχὰς εἶναι ἢ μὴ εἶναι 50 1.
λέγειν δόξει μόνον, ἀλλὰ καὶ πρὸς τὸ μὴ εἶναι τὰ γένη ἀρχάς· ἄπειροι γὰρ καὶ πολλαὶ ἔσονται αἱ ἀρχαὶ τῶν ὄντων ἑκάςυ. ἑκάςη γὰρ διαφορὰ τῶν ἐν τῷ ἀτόμῳ εἴδει τῷ γένει συντιθεμένη, ὃ ἐςὶ διαφορά, γένος ποιεῖ. ἕκαςον γὰρ τῶν μεταξὺ γενῶν τοῦ τε πρώτυ καὶ τοῦ ἀτόμυ

εἴδους συντιθέμενον τῇ οἰκείᾳ διαφορᾷ γένος ποιεῖ, εἰ καὶ ἐπί τινων μὴ δοκεῖ τῷ μὴ ὠνομάσθαι οἰκείῳ ὀνόματι τὸ γένος ἐκείνου· τοῦτο γὰρ σημαίνει τὸ "τὰ μὲν δοκεῖ τὰ δὲ οὐ δοκεῖ." τὸ γὰρ ζῷον πτηνὸν γένος ἐστίν, ὥσπερ τὸ ζῷον, εἰ καὶ μὴ δοκεῖ ὠνομάσθαι. ἢ "τὰ μὲν δοκεῖ" εἶπε, "τὰ δὲ οὐ δοκεῖ," ὅτι, ὡς εἶπεν ἐν τῷ πρώτῳ περὶ Ζῴων (de Part. An. 1 2 et 3), μόνον αἱ στερητικαὶ διαφοραὶ συντιθέμεναι τοῖς γένεσιν οὐ ποιοῦσιν εἴδη οὐδὲ γένη, ὅτι οὐδὲ ὡρισμένον δηλοῦσι. καὶ εἴη ἂν καὶ τοῦτο ὡς ἄτοπον ἑπόμενον τοῖς τὸ ἓν καὶ τὸ ὂν γένος λέγουσιν. id.

503. τὸ δὲ "μέχρι τῶν ἀτόμων" λέγοι ἂν τῶν ἐσχάτων εἰδῶν· ταῦτα γὰρ οὐκέτι διαφοραῖς διαιρεῖται. id.

ὅτι δὲ καὶ ἐν τῷ πρώτῳ τῆς περὶ Μορίων Ζῴων (1 2. 3) τὰ αὐτὰ ταῦτα τῇ Πλάτωνος ἐγκαλεῖ διαιρετικῇ, σαφές ἐστι τοῖς ἐκείνων μὴ ἐπιλελησμένοις. Syrian.

εἰ γὰρ τὰ γένη ἀρχαί, πολλῷ πλέον αἱ διαφοραί· ὕλης μὲν γὰρ λόγον ἔχει τὰ γένη, τοῦ δὲ εἴδους αἱ διαφοραί, μᾶλλον δὲ τῆς ὕλης τὸ εἶδος ἀρχή· εἰ οὖν τὰ γένη, πολλῷ πλέον αἱ διαφοραί. εἰ δὲ καὶ αἱ διαφοραὶ ἀρχαί, σχεδὸν ἄπειροι αἱ ἀρχαί. id.

507. ἐπιχειρήσας πρῶτον ὅτι τὰ ἀνωτάτω γένη μᾶλλον ἀρχαὶ τῶν ὄντων, νῦν ὅτι τὰ εἴδη μᾶλλον ἀρχὴ τῶν γενῶν ἐπιχειρεῖ δεικνύναι. εἰ γὰρ τὸ ἓν ἀρχῆς ἐπέχει χώραν, τὸ μᾶλλον ἓν μᾶλλον ἂν ἀρχὴ εἴη. ἀλλὰ μὴν τὸ ἓν ἀδιαίρετόν ἐστιν· τὸ γὰρ μὴ διῃρημένον ἢ ἀδιαίρετον μᾶλλον ἀρχή· ἔστι δὲ μᾶλλον ἀδιαίρετον τὸ εἶδος τοῦ γένους, ὥστε καὶ μᾶλλον ἀρχή. ὅτι δὲ μᾶλλον ἀδιαίρετον, ὅτως ἔδειξε. τὸ ἀδιαίρετον ἢ κατ' εἶδος ἢ κατὰ τὸ ποσόν· κατ' εἶδος μὲν ἀδιαίρετον τὸ μηκέτι εἰς εἴδος διαιρούμενον, ὁποῖά ἐστι τὰ ἄτομα εἴδη, κατὰ δὲ τὸ ποσὸν ἀδιαίρετον τὸ μὴ τῷ ἀριθμῷ διαιρούμενον, οἷόν ἐστι τὸ ἓν τῷ ἀριθμῷ καὶ καθ' ἕκαστον. Alex.

εἰπὼν δὲ τὰ γένη διαιρεῖσθαι εἰς εἴδη, ἵνα μή τις ἡγῆται καὶ τὰ ἄτομα εἴδη αὐτὸν λέγειν, ὃ μέχρι νῦν ἔλεγεν, ἐπήνεγκε τὸ "οὐ γὰρ γένος ἄνθρωπος τῶν τινῶν," ὧν κατηγορεῖται ἀνθρώπων, καὶ εἰς οὓς διαιρεῖται· διαιρεῖται μὲν γὰρ ὁ ἄνθρωπος, ἀλλ' οὐκ εἰς εἴδη (οὐ γάρ ἐστι

γένος) ἀλλ' εἰς ἄτομον μόνον, τὸ δὲ γένος κᾳ τὰ εἴδη καὶ κᾳ τὰ ἄτομα διαιρεῖ. id.

"ἔτι — ταῦτα." καὶ τοῦτο ἐπιχειρεῖ πρὸς τὸ ὅτι δεῖ τὰ ἔσχατα 50 12. γένη, τουτέστι τὰ ἄτομα, ἤδη μᾶλλον ἀρχὰς λέγειν τῶν ἀνωτάτω καὶ κοινοτάτων γενῶν· τὰ γὰρ γένη τὰ κᾳ τῶν εἰδῶν κατηγορούμενα οὐδὲ τὴν ἀρχὴν ἐστί τι παρὰ τὰ εἴδη ὧν κατηγορεῖ. δείκνυσι δ' αὐτὸ οὕτως. ἐν οἷς τὸ πρότερον καὶ ὕστερον ἐστί, τὸ ἐπὶ τούτοις κοινῶς κατηγορούμενον ὡς γένος οὐδέν ἐστι παρὰ ταῦτα ὧν κατηγορεῖ· οἷον εἰ ἐπ' ἀριθμῶν πρώτη τῶν ἀριθμῶν δυὰς ἢ τριάς, οὐκ ἔστιν ἀριθμῷ τις ἄλλη φύσις παρὰ τούτους τοὺς ἀριθμούς, δυάδα καὶ τριάδα καὶ τὰ ἑξῆς, ὧν ὡς γένος κατηγορεῖ. ὁμοίως καὶ περὶ τῶν χημάτων οὐδέν ἐστι τὸ κοινῶς κατηγορούμενον τῶν χημάτων ὡς χῆμα παρὰ τρίγωνον καὶ τετράγωνον καὶ τὰ ἄλλα ἀκολούθως τούτοις κᾳ τὴν τάξιν. τοῦτο δὲ λαμβάνει ὡς κἀκείνοις δοκοῦν· οὗτοι γὰρ ἀρχὰς τῶν ὄντων τὰ ἀνωτάτω ἐτίθεντο γένη, ὡς ἱστόρησε, τὸ ἓν καὶ τὸ ὂν καὶ τὸ μέγα καὶ μικρόν (εἰσὶ δὲ οὗτοι οἱ περὶ Πλάτωνα)· ἐν οἷς γὰρ τὸ πρότερον καὶ ὕστερόν ἐστιν, ἐν τούτοις ἔλεγον μὴ εἶναί τι τὸ κοινὸν παρὰ τὰ ὧν κατηγορεῖ. διὰ τοῦτο γοῦν οὐδὲ ἰδέαν ἔλεγον εἶναι τούτων, ὡς ἱστορεῖ ἔν τε ἄλλοις καὶ ἐν τῷ πρώτῳ τῶν Νικομαχείων Ἠθικῶν (c. 4). λαβὼν οὖν τὸ ἐν τούτοις κατ' αὐτοὺς ἐκείνους μηδὲν εἶναι τὸ κοινὸν παρὰ τὰ ὧν κατηγορεῖ (μήτε γὰρ ἐν ἀριθμοῖς μήτε ἐν χήμασι), προσίθησιν αὐτὸς τὸ εἰ μὴ ἐπὶ τούτοις ἐστὶ κοινὸν παρὰ τὰ ὧν κατηγορεῖ. τοῦτο δὲ ἤτοι ὡς πᾶσι τοῖς γένεσιν ὄντος τινὸς προτέρου καὶ ὑστέρου καὶ μέσης τινὸς διαφορᾶς ἔν τε τοῖς αὐτοῖς κατηγορουμένοις καὶ ἐν τοῖς ἄλλοις γένεσιν, ἀλλ' ὁμοίως τούτων τε καὶ ἐκείνων ὄντων γενῶν. εἰ οὖν ἐν τοῖς μάλιστα δοκοῦσι γένεσιν εἶναι μὴ ἔστι τὸ κοινὸν παρὰ τὰ ὧν κατηγορεῖ, οὐδὲ ἐν τοῖς ἄλλοις ἂν εἴη, κἂν εἰ μή ἐστιν ἐν αὐτοῖς τὸ πρότερον καὶ ὕστερον. διὰ τοῦτο δὲ μάλιστα δοκοῦσι γένη τε καὶ ἀρχαὶ εἶναι, ὅτι μάλιστα ὄντα ἐδόκουν αὐτοῖς εἶναι οἱ ἀριθμοὶ καὶ τὰ χήματα, ὧν τὰ γένη μάλιστα ἂν εἴη. ἔτι δοκεῖ ἐναργῶς τὸ μ̄ χῆμα τῶν χημάτων ὁ δὲ ἀριθμὸς τῶν ἀριθμῶν ὡς γένος κατηγορεῖ. εἰ οὖν τὸ ἐν τούτοις κοινὸν μὴ ἀρχή, οὐδ' ἂν τὸ ἐν τοῖς ἄλλοις. id.

50 15. τιμιώτερος γὰρ παρὰ τοῖς Πυθαγορείοις ὁ περιττὸς τοῦ ἀρτίου καὶ ὁ κύκλος τῶν εὐθυγραμμῶν, ἔτι δὲ τὸ κυκλοφορούμενον σῶμα τοῦ εὐθυφορουμένου, καὶ τὰ ἄλλα πάντα χεδὸν ὅτιως. οὐ μὴν διὰ τοῦτο τὰ εἴδη ταῦτα οὐ τάττει ὑφ' ἓν γένος. Syrian.

εἰ γάρ τις τὰ εἴδη λέγει εἶναι, ὅτι καθόλου πάντων τῶν ὑφ' ἑαυτὰ καὶ τῶν καθ' ἕκαστα ὃ κατηγορεῖται, καὶ ἔστιν ἄλλα ἑκάστου αὐτῶν, καὶ διὰ τοῦτο ἀρχὰς αὐτὰ λέγοι, τούτῳ τῷ λόγῳ τὰ ἐπαναβεβηκότα γένη μᾶλλον ἀρχαὶ τῶν εἰδῶν ἔσονται· μᾶλλον γὰρ ἐκεῖνα κοινὰ καὶ πλειόνων κατηγορεῖται. πάνυ δὲ καὶ τὸ ἔνδοξον καὶ λογικῶς ἐπικεχείρηκε ταῦτα. Alex.

51 3. καὶ τοῦδε ἡ τάξις τοῦ σχέμματος μετατέθειται· δέκατον μὲν γάρ ἐστιν ἐν τοῖς προβλήμασιν, ὄγδοον δὲ ἐν ταῖς τῶν λόγων γυμνασίαις παραλαμβάνεται. ζητεῖ δὲ εἴτε ἔστι παρὰ τὰ αἰσθητὰ τὰ καθόλου λεγόμενα εἴτε οὔ· εἰ μὲν γὰρ μὴ εἴη, φησίν, οἴχεται ἡ ἐπιστήμη τῶν ὄντων. Syrian.

51 12. τὸ μὲν σύνολον λέγει τὸ καθ' ἕκαστον καὶ αἰσθητὸν καὶ συναμφότερον ἐξ ὕλης καὶ εἴδους· τοῦτο γὰρ μᾶλλον ἔθος αὐτῷ λέγειν τὸ καθ' ἕκαστα καὶ συγκεχυμένον. τὸ δὲ "ὅταν κατηγορηθῇ τι τῆς ὕλης" ἤτοι δηλωτικόν ἐστι τοῦ ὅλου καὶ συνόλου· τότε γὰρ ὅλον τί ἐστιν, ὅταν κατηγορηθῇ τι τῆς ὕλης, τουτέστιν ὅταν ἐν τῇ ὕλῃ ἐπιγένηται· τοῦτο δέ ἐστι τὸ εἶδος· εἶδος γὰρ ἡ ὕλη λαβοῦσα γίγνεται τὸ σῶμα. ἢ "τῆς ὕλης" τοῦ ὑποκειμένου νῦν λέγει, ὃ σύνολον εἶπεν, ὅταν κατηγορήσωμεν αὐτῶν. ὃ δὲ λέγει, τοιοῦτόν ἐστιν. εἰ καὶ δοθείη εἶναι τὸ καθόλου, τουτέστι τὰ γένη καὶ εἴδη (ταῦτα γὰρ τὰ κατηγορούμενα τῆς ὡς ὕλης οὐσίας, ἥτις ἐστὶν ἡ ἄτομος παρὰ τὰ ὧν ἔστι γένη καὶ εἴδη ἀτόμων), πότερον παρὰ πάντα τὰ ἄτομά ἐστι ταῦτα τὰ καθόλου καὶ ἐπὶ πᾶσιν ἀτόμοις, εἴτε φυσικὰ εἴη εἴτε τεχνικά, εἶναί τι τὸ κοινὸν παρ' ἐκεῖνα, ἢ παρὰ μὲν ἔνια ἄτομά ἐστί τι τὸ κοινόν, παρὰ δὲ ἔνια οὐδέν ἐστι κοινόν. Alex.

σύνολον μὲν τὰ καθ' ἕκαστα λέγει, οἷον τὸ εἶδος πεποιημένον καὶ ἔχον εἶδος ἐν ὑποκειμένῳ, ὅ φησι κατηγορεῖσθαι τῆς ὕλης· ἔθος γὰρ αὐτῷ τὸ ἐν ὑποκειμένῳ καθ' ὑποκειμένου καλεῖν. διαιρεῖ δὲ τελείως· ἢ γὰρ παρὰ πάντα τὰ αἰσθητά ἐστι τὰ καθόλου, ἢ παρ' ἔνια, ἢ παρ' οὐδέν. ἐπειδὴ δὲ ἐξ ὑποθέσεως προάγει τὴν διαίρεσιν (εἰ

γάρ ἐςι, φησί, τὰ καθόλυ, γίγνεϑ τὸ τριτόν), ἀναιρετικὸν τῆς ὑποθέσεως, καθὰ πρὸ ἡμῶν ϗ ὁ Ἀλέξανδρος ἐπεσημήνατο. μήποτε ὖν ὕτω χρὴ ἀκύειν τῆς ὑποθέσεως· εἰ δεῖ ὅλως θεωρεῖν ἡμᾶς, εἴπερ ἐςὶ τὰ καθόλυ, ἢ ἐπὶ πάντων αὐτὰ εἶναι φήσομεν ἢ ἐπ' ἐνίων ἢ ἐπ' ὐδένων. εἶτα δείκνυσιν ὅτι τὸ πάντη αὐτὰ ἀναιρεῖν τῶν ὅλων ἐςὶν ἀνατρεπτικώτατον. Syrian.

τυτέςιν ἐν ῥύσει· κῷ τὸ ἔνδοξον ἐπιχειρῶν, ϗ καθ' ὃς ἐδόκει πάντα τὰ αἰϑητὰ γεννητὰ εἶναι ϗ φθαρτά. μάλιςα δὲ τῦτο ἐδόκει Πλάτωνι· ϗ γὰ εἰ ὑπετίθετο τὸν κόσμον μὴ φθείρεϑ, ἀλλὰ τῇ γε αὐτῦ φύσει φθαρτὸν αὐτὸν ἔλεγεν εἶναι. ἄλλως δὲ ϗ εἴπετο φθαρτὸν αὐτὸν εἶναι, γεννητόν τε ὄντα, ἐπεὶ αὐτῷ γε κινεῖϑ μὲ πάντα δοκεῖ τὰ αἰϑητά, ὐ μὴν ϗ φθαρτὰ εἶναι· τὸ γὰ κυκλοφορητικὸν σῶμα πᾶν ἀγέννητόν τε ϗ ἄφθαρτον ἡγεῖϑ. ἀλλὰ νῦν, ὡς ἔφην, κῷ τὸ ἔνδοξον ἐπιχειρεῖ. Alex. 51 20.

ἀλλὰ μὴν ὐδὲ ἐπ' ἄπειρον οἷόν τε ἄλλο ἄλλυ αἴτιον εἶναι ϗ ἄλλο ἄλλῳ ὑποκεῖϑ κατ' εὐθυωρίαν, ὡς ἔδειξεν ἐν τῷ ἐλάττονι τῶν Α (c. 2) ὄντι πρὸ τύτυ. id. 51 23.

πᾶν ἄρα τὸ γιγνόμενον γενέϑ δύναϑ, τὸ δὲ δυνάμενον γενέϑ κἂν γένοιτο. ἀλλὰ μὴν τὸ γεγονὸς ἀνάγκη εἶναι ὅτε πρῶτον γέγονεν· ὅτε γὰ πρῶτον ἔςι, πέπαυϑ γινόμενον· δέδειχϑ γὰ τῦτο ἐν τῷ Ζ τῆς Φυσικῆς Ἀκροάσεως (c. 5). εἰ δὲ ἔςιν ὅτε πρῶτον γέγονεν, ἔςι πέρας παντὸς τῦ γιγνομένυ· τῦ γὰ τῦτο λαβεῖν χάριν ἐχρήσατο τῷ "τὸ δὲ γεγονὸς ἀνάγκη εἶναι ὅτε πρῶτον γέγονεν." ἔςιν ἄρα ϗ ἀρχὴ παντὸς γινομένυ τε ϗ κινυμένυ. εἰ δὲ τῦτο, ὐκ ἐπ' ἄπειρον ἄλλο ἐξ ἄλλυ γίγνεϑ. εἰ μὴ τῦτο, ἔςι τι ἀΐδιον ἔχατον ὑποκείμενον. ἀσαφὴς δὲ ἡ ἐπιχείρησις δοκεῖ τῷ παραλιπεῖν αὐτὸν τὸ ἀκολυϑῦν τῷ εἶναι πάσης κινήσεως ϗ γενέσεως πέρας. ἦν δὲ τὸ ὧν ἐςὶ πέρας, ϗ ἀρχὴν τύτων εἶναι. τῦτο γὰ ὡς γνωρίμως ἐπόμενον παραλιπών, μόνον ἔδειξεν ὅτι πάσης κινήσεως ϗ γενέσεως ἔςι πέρας. ϗ ἡ κυκλοφορητικὴ δὲ κίνησις πέρας ἔχει· ἀπὸ γὰ τῦ αὐτῦ ἐπὶ τὸ αὐτὸ γίνεϑ. ϗ ἡ ἀπειρία ταύτης τῷ πάλιν τὴν αὐτὴν γίγνεϑ κίνησιν, ὐ τῷ ἄλλοτε ἄλλην. id. 51 26.

δείξας ὅτι ἔςι τι ἔχατον ἀΐδιον ὑποκείμενον (τῦτο γὰ ἐδήλωσε διὰ τῦ "ἔτι δὲ εἴπερ ἡ ὕλη ἐςὶ διὰ τὸ ἀγέννητος εἶναι·"

ἀδύνατον γάρ, εἰ μὴ εἴη τι τοιοῦτον, γένεσιν εἶναι· καὶ γὰρ εἰ ἐπ' ἄπειρον ἡ ὕλη προΐοι, οὐδὲν ἂν ἐκ τῆς ὕλης γίνοιτο τῷ μηδέποτε ἄλλην ἐξ ἄλλης γινομένην ὕλην παύεσθαι, ἐκλυούσης (?) τῆς ὕλης τὰ ἐκ τῆς ἄλλης ἀλλ' οὐκ ἐγγινομένης) δείξας ὅν ὅτι τὸ πρῶτον ὑποκείμενον δεῖ ἀγέννητον εἶναι καὶ οὐκ ἐπ' ἄπειρον γίγνεσθαι ἄλλο ἐξ ἄλλου, νῦν δείκνυσιν ὅτι καὶ τὸ εἶδος, ὃ γίνεται ἐν τῇ ὕλῃ, εἶναι δεῖ ἀΐδιον, δεικνὺς διὰ τούτων καὶ κατασκευάζων ὅτι ἔσται τις οὐσία μοναδικὴ ἀΐδιος. εἰ ἔστι γὰρ φύσις τῆς ὕλης, εὐλογώτερον καὶ τὴν οὐσίαν εἶναι ταύτην, ἣν ἡ ὕλη δέχεται· τοῦτο γὰρ ἐδήλωσε διὰ τοῦ εἰπεῖν "ὅ ποτε ἐκείνη γίνεται." οὐσίαν δὲ τὸ εἶδος λέγει· καθ' ὃ γὰρ ἑκάστῳ τὸ εἶναι, τοῦτο οὐσία· ἡ γὰρ ὕλη δεξαμένη εἶδος παρέχει τὸ γιγνόμενον ἐξ αὐτῆς γεγονός, τουτέστιν ὃ δέχεταί τε καὶ γίνεται. ὅτι οὖν εὔλογον καὶ τὸ εἶδος προϋπάρχειν ἀΐδιον ὄν, ὃ ἡ ὕλη δέχεται, οὕτω δείκνυσιν. ὥσπερ μὴ ὄντος τοῦ ὑποκειμένου ἀδύνατον ἦν γενέσθαι τι, οὕτω καὶ μὴ ὄντος τοῦ ὃ δέχεται τὸ ὑποκείμενον, ἀδύνατον γένεσιν εἶναι. id.

524. ἐπὶ τούτοις ἀπορεῖ, ὃ καὶ αὐτὸ ἀρχόμενος τῆσδε τῆς ἀπορίας ἀπορήσειν προέθετο, εἰπὼν "πότερον εἰ ἔστι παρὰ πάντα εἶναι δεῖ" (p. 999 *a* 33). εἰ γὰρ καὶ τὸ εἶδός τις θήσεται προϋπάρχειν καὶ ἀΐδιον εἶναι τὸ γινόμενον ἐν τῇ ὕλῃ, ἐπὶ τίνων τῶν ὄντων τε καὶ γινομένων ἐρεῖ προϋπάρχειν τὸ εἶδος ἀΐδιον ὄν, καὶ ἐπὶ τίνων οὔ; οὐ γὰρ ἐπὶ πάντων τῶν γιγνομένων οἷόν τε τοῦτο λέγειν. καὶ παρατίθεται τὸ κατὰ τέχνην γιγνόμενον, ἐφ' ὧν ἄτοπον λέγειν τὸ ὑπὸ τοῦ τεχνίτου εἶδος ἐγγινόμενον τῇ ὕλῃ προϋπάρχειν τε καὶ ἀΐδιον εἶναι. ταῦτα δὲ δύναται μὲν καὶ περὶ τῶν ἰδεῶν λέγεσθαί τε καὶ ἀπορεῖσθαι, δύναται δὲ καὶ ἁπλῶς περὶ τοῦ ἐνύλου εἴδους κατ' ἀκολουθίαν τῆς ἀπορίας λέγεσθαι. id.

527. καὶ τοῦτο πρὸς τοῖς εἰρημένοις ἀπορεῖ, εἰ ἔστι καὶ τὰ εἴδη προϋπάρχοντα ὥσπερ καὶ ἡ ὕλη, πότερον ἓν εἶδος κατ' ἀριθμόν ἐστι καὶ μία οὐσία κατὰ τὸν ἀριθμὸν πάντων τῶν ἀνθρώπων, ἢ πολλὰ καὶ τοσαῦτα ὅσοι οἱ ἄνθρωποι οἱ καθ' ἕκαστα. εἰ μὲν γὰρ ἕν τις θήσεται κατὰ τὸν ἀριθμόν, εἷς ἄνθρωπος γενήσεται ἐκ τῆς ὕλης ἐκείνο δεξαμένης τὸ εἶδος· εἰ δὲ τοσαῦτα ὅσοι καὶ ἄνθρωποι καθ' ἕκαστα, ἄλογον· τίνι γὰρ ἐκεῖνα τὰ χωρὶς ὕλης εἴδη τοῦ ἀνθρώπου

λαμβανόμενα ἀλλήλων διοίσει; ὑλικὴ γὰρ αἱ τῶν καθ' ἕκαστα ἀνθρώπων πρὸς ἀλλήλους διαφοραί. ἐπὶ τούτοις ἀπορεῖ καὶ πῶς ἡ ὕλη δέχεται ταῦτα τὰ προϋπάρχοντα εἴδη ἢ ὁπωσοῦν τὰ εἴδη, καὶ πῶς γίνεται καὶ ἔστιν ἕκαστον τῶν αἰσθητῶν, ἃ ὅλα ἐστὶν ἐξ ἀμφοτέρων τούτων, πότερον συντεθέντων ἢ κραθέντων τούτων ἢ μιχθέντων; ἢ τίς ὁ τρόπος καθ' ὃν ἡ ὕλη δεξαμένη τὰ εἴδη γίγνεται ἃ γίνεται; ταῦτα δὲ καὶ ἐν ἄλλοις ἠπόρηκε, ζητῶν τί τὸ ἑνοῦν καὶ συνέχον τὸ εἶδος ἐν ὕλῃ, ἐν οἷς τὸ δυνάμει τῆς ὕλης αἴτιόν φησι γίγνεσθαι τοῦ λαμβάνειν αὐτὸ καὶ μένειν ἐν αὐτῇ εἰς τοῦτο μεταβάλλουσαν, ὅτε ὡς ἐδύνατο δηλονότι ποιητικοῦ τινὸς προϋπάρχοντος αἰτίου. id.

ἔδει γὰρ καὶ τοὺς ἐνταῦθα πάντας ἀνθρώπους ἓν εἶναι, ἅτε πρὸς ἓν εἶναι· ἓν γὰρ πάντα ὧν ἡ οὐσία μία." ποία οὐσία; ἐρωτήσομεν· ἡ χωρὶς τὸ ἀχώριστον εἶδος, ἢ ἡ χωρὶς τὸ χωριστόν; εἰ χωρὶς τὸ ἀχώριστον, ἀληθῆ μὴν τὴν ἐπιτίμησιν εἶναί φαμεν, οὐκ ἦν δὲ ὁ λόγος ὁ νῦν περὶ τοῦ ἀχωρίστου εἴδους· εἰ δὲ ἡ χωρὶς τὸ χωριστόν, οὐδὲν ἄτοπον εἶναι φήσομεν ἐξ ἑνὸς αἰτίου πολλὰ καὶ ἄπειρα γεννᾶσθαι, ὁμοειδῆ μέντοι ἀλλήλοις, εἰ κατ' ἐκεῖνο γίγνοιτο. ὥστε εἴθ' οὕτως ἔχει ἡ γραφή, οὐδὲν ἄτοπον ἕπεται· εἴτε γράφειν αἱροῖτό τις "ἀλλ' ἄτοπον· οὐ γὰρ πάντων ἡ οὐσία μία," τὰ αὐτὰ πάλιν ἐροῦμεν, ὅτι ἡ μὴ χωριστὴ οὐσία αὐτῶν καὶ αἰτία οὐ κωλύει εἶναι μία, ἡ δὲ ἀχώριστος εἴδει μὴ μία, πολλὴ δὲ καὶ ἄπειρος τῷ ἀριθμῷ. Syrian.

ἡ ἀπορία ἀκόλουθος μέν ἐστι τῷ ἠπορημένῳ τῷ εἰ ἓν κατ' 52 12.
ἀριθμὸν τὸ εἶδος ἢ πλείω, δύναται δὲ καὶ ἐπὶ τὰς ἰδέας τὴν ἀναφορὰν ἔχειν διὰ τὸ παρατίθεσθαι αὐτὸν τὸ αὐτοὲν καὶ αὐτοόν. ἢ δύναται κοινῶς ἀπορεῖσθαι περὶ τῶν ἀρχῶν· κυρίως γὰρ ὄντα αἱ ἀρχαί· διὸ καὶ τὸ αὐτό προσίθησιν αὐταῖς. κοινῶς οὖν ἀπορουμένη δύναται ἐφαρμόζειν καὶ τοῖς ὑποκειμένοις λεγομένοις. ἔστι δὲ ὁ ἀπορεῖ περὶ τῶν ἀρχῶν, πότερον ἑκάστη αὐτῶν, εἴτε μίαν τις εἴτε πλείους ὑποτίθεται τὰς ἀρχάς, χωρὶς τὸ εἶδος τὸ ἓν ἔχουσιν ἢ χωρὶς ἀριθμόν, οἷον εἰ ὕλη μία ἀριθμῷ μία ἢ εἴδει, καὶ εἰ τὸ εἶδος ἓν ἀριθμῷ ἢ εἴδει. εἰ μὴ γὰρ εἴδει μία ἑκάστη τῶν ἀρχῶν, ἀριθμῷ δὲ πολλαί, οὐδὲν ἔσται, φησίν, ἐν ταῖς τῶν γιγνομένων ἀρχαῖς ἓν κατ' ἀριθμόν· εἰ δὲ μηδεμία τῶν ἀρχῶν ἓν κατ' ἀριθμὸν ἔσται, οὐδ' ἂν τῶν ἐκ τῶν ἀρχῶν συγκειμένων ἕν τι εἴη κατ' ἀριθμόν· τὰ γὰρ ἐξ ἑνὸς οὐ

τῷ ἀριθμῷ ἀλλὰ τῷ εἴδει συγκείμενα ἓν τῷ εἴδει, ὑ τῷ ἀριθμῷ· εἰ γὰρ τὰ ἐξ ἑνὸς κατ' ἀριθμὸν συγκείμενα ἓν τῷ ἀριθμῷ, δῆλον ὡς τὰ ἐξ ἑνὸς τὸ εἶναι ἔχοντα ὁμοίως ἐκείνοις ἕξει τὸ ἕν. ᾧ ἄτοπον ἑπόμενον ἐπήνεγκε τὸ μηδὲ τὸ αὐτοὲν καὶ αὐτοὸν κατ' ἀριθμὸν ἓν ἔσεσθαι, ἃ καὶ αὐτὰ ἐν ταῖς ἀρχαῖς ἐτίθεντο οἱ τὰς ἰδέας ἀρχὰς εἶναι λέγοντες. ἀλλὰ μὴν εἰ μή ἐστι τὸ αὐτοὲν ἓν κατ' ἀριθμόν, τούτου δὲ μετουσίᾳ πάντα ἐστὶν ἕν, οὐδ' ἂν τῶν ἄλλων τι ἓν κατ' ἀριθμὸν εἴη τῶν πρὸς ἐκεῖνο τὸ εἶναι ἐχόντων· πρὸς γὰρ ἓν τῷ εἴδει ὁμοούμενα ὁμοίως ἂν ἐκείνῳ καὶ αὐτὰ τὸ ἓν ἔχοι· οὐδὲν ἄρα ἔσται ἓν κατ' ἀριθμόν, εἰ μήτε τῶν γινομένων πρός τι ἓν κατ' ἀριθμὸν ἔσται, μήτε τὸ αὐτοὲν ἡ ἀρχή, ἀλλὰ μηδ' ἄλλη τις τῶν ἀρχῶν. καὶ προσίθησι τούτῳ ὅτι οὐδ' ἐπιστήμη ἔσται, εἰ μὴ εἴη ἕν τι κατ' ἀριθμόν· αἱ γὰρ ἐπιστῆμαι γίνονται τῷ ἕν τι ἐπὶ πολλῶν λαμβάνεσθαι, ὡς εἴρηκε καὶ πρὸ βραχέος. Alex.

52 14. δύναταί τις ἀκούειν τοῦ "καὶ τὸ ἐπίσασθαι πῶς ἔσται, εἰ μή τι ἔσται ἓν ἐπὶ πάντων;" ὡς εἰρημένου πρὸς τοὺς τὰς ἰδέας τιθεμένους· ἔλεγον γὰρ ἐκεῖνοι μὴ ἄλλως ἐπιστήμην ἔσεσθαι, εἰ μὴ αἱ ἰδέαι εἶεν· τὰ μὲν γὰρ αἰσθητὰ ἄπειρά τε καὶ ἐν ῥύσει συνεχεῖ, καὶ διὰ τοῦτο οὐδὲ ἐπιστητά, παρὰ δὲ τὰ αἰσθητά γε καθ' ἕκαστα ἡ ἰδέα μία τῷ ἀριθμῷ ἐπὶ πολλῶν λαμβανομένη ἀκίνητός τε καὶ ἀΐδιος αἰτία ἐπιστήμης γίνεται· ἀναιρεῖται δὲ τοῦτο, εἰ μηδὲ ἐκεῖναι τὸ κατ' ἀριθμὸν ἔχοιεν ἕν. id.

52 24. εἰπὼν δὲ "ὥσπερ οὖν εἰ τὰ τῆς φωνῆς ἀριθμῷ ἦν στοιχεῖα ὡρισμένα, εἴη ἂν καὶ τὰ γράμματα τοσαῦτα γραφόμενα ὅσα αὐτῶν καὶ τὰ στοιχεῖα," οὐκέτι ἀνταπέδωκε τὸ οὕτω δὲ καὶ ἐπὶ τῶν ὄντων καὶ τοῦ ἀριθμοῦ τούτων ἕξει· οὐδὲν γὰρ ἄλλο παρὰ τὰ στοιχεῖα ἔσται, τουτέστιν οὐ πλείω τὰ ὄντα τῶν στοιχείων ἔσται· ἀλλ' ὡς γνωρίμου τῆς ἀκολουθίας οὔσης παραλιπὼν αὐτήν, ἐπήνεγκεν, εἰ γάρ ἐστι μία τῷ ἀριθμῷ γῆ καὶ ἕκαστον τῶν τεσσάρων, ταῦτα δὲ ἦν ἐν τῷδέ τινι τῷ σώματι, ἀδύνατον ἐξ αὐτῶν δῆλον ὅτι ἄλλο τι σῶμα εἶναι. σφόδρα δὲ λογικῶς καὶ διαλεκτικῶς ἡ ἐπιχείρησις ἔχει. id.

53 7. πρῶτον μὲν τὴν ἀμβροσίαν καὶ τὸ νέκταρ τὰ θεοποιὰ νάματα αὐτοῖς ἴσως γνώριμα λέγοντες· οὐ γὰρ δὴ ἡμῖν ἢ τῶν ἄλλων τινί.

δεύτερον δὲ καὶ περὶ αὐτῆς τῆς προσφορᾶς τούτων ἁπλῶς εἶπον καὶ ὐδαμῶς γνωρίμως. id.

τὸ γὰρ "μυθικῶς σοφιζομένων" ἴσον τῷ διὰ μύθων παρακρυομένων τἀληθές. id.

5 καὶ δείκνυσί γε πῶς μὴ δοκεῖ λέγειν ὁμολογουμένως, πῶς δὲ οὐκ 53 20.
ἐκφεύγει τὴν ἀπορίαν. τίθησι μὲν γὰρ ἐν ταῖς ἀρχαῖς Ἐμπεδοκλῆς καὶ τὸ νεῖκος, ὅ ἐστιν αἴτιον αὐτῷ τῆς φθορᾶς· διὸ πάντα κατ' αὐτὸν τὰ γινόμενα φθείρει, καὶ οὐ τὰ μὲν τὰ δ' οὔ. τοῦτο γὰρ ὁμολογούμενον δοκεῖ λέγειν ὑπ' αὐτοῦ τὸ πάντα τὰ γινόμενα ἐκ τῶν αὐτῶν ἀρ-
10 χῶν ὄντα ὁμοίως καὶ φθείρεσθαι πάντα, ἀλλ' οὐ τὰ μὲν φθείρεσθαι τὰ δὲ μένειν ἀΐδια. μόνα δὲ ἄφθαρτα τὰ στοιχεῖα ὑποτίθεται, ταῦτα δέ ἐστι τὰ δ' σώματα καὶ τὸ νεῖκος καὶ ἡ φιλία. καὶ ταύτῃ μὲν δοκεῖ τοῦ φθείρεσθαι τὰ φθειρόμενα αἰτιά τινα ἀπολείπειν καὶ ὁμολογούμενα λέγειν αὐτῷ, ἄλλην μὲν γενέσεως ἄλλην δὲ φθορᾶς ἀποδιδοὺς αἰτίας.
15 ἣ δὲ λέγει καὶ τὸ νεῖκος αὐτὸ τοῦτο γεννᾶν, τουτέστι γενέσεως αἴτιον οὐ φθορᾶς γίγνεσθαι μόνον, ὥσπερ οὖν καὶ τὴν φιλίαν φθορᾶς, οὐ γὰρ γενέσεως· ἐκ γὰρ τοῦ ἑνός, ὃν θεὸν ἐκεῖνος καὶ σφαῖρον λέγει, τοῦ ὑπὸ τῆς φιλίας γενομένου, πάντα τὰ ὄντα ὑπὸ τοῦ νείκους κατ' αὐτὸν γίνεται πλὴν τοῦ θεοῦ, λέγων τοῦ σφαίρου, ὃν καὶ ἓν λέγει, ὡς δι' ὧν
20 παρέθετο ἐπῶν δηλοῦται; id.

τῷ δὲ ἐκ γὰρ τοῦ ἑνὸς ἅπαντα καὶ ἐκ τούτου τὰ ἄλλα ἐστὶ πλὴν 53 23.
θεός, δεῖ προστιθέναι τὰ γιγνόμενα ὑπὸ τοῦ νείκους. παραθέμενος δὲ τὰ ἔπη δι' ὧν τὸ νεῖκος γενέσεως κατ' αὐτὸν πάντων αἴτιον, "ὅσα τ' ἦν ὅσα τ' ἔστιν," ὃ καὶ ὡς φθορᾶς ποιητικὸν ἐν ταῖς ἀρχαῖς ὑπέθετο,
25 καὶ ἄνευ τῶν ἐπῶν, φησί, τούτων δῆλόν ἐστιν ὅτι κατ' αὐτὸν τὸ νεῖκός ἐστι γεννητικόν· εἰ γὰρ μὴ ἐν τοῖς οὖσι τὸ νεῖκος ἦν, ἓν ἂν, φησί, πάντα ἦν, καὶ οὐκ ἂν διεκρίνετο οὐδ' ἐγίνετο· τοῦ γὰρ μὴ μένειν τὸ ἓν τοῖς οὖσι, τὸ τῆς φιλίας ἔργον, τὸ νεῖκος μιγνύμενον αἴτιον. ὅταν γὰρ συνίῃ πάντα καὶ ἓν γίγνηται, τότε τελευταῖον χωρίζεσθαί φη-
30 σιν αὐτῶν τὸ νεῖκος ὡς αἴτιον τῆς τῶν διαφερόντων οὐσίας, ἐν τῷ τούτου χωρισμῷ ἐνοῦσθαι δυναμένων αὐτῶν. διὰ δὲ τοῦτο, φησί, καὶ ἐν μὲν τοῖς ἄλλοις πᾶσίν ἐστι τὸ νεῖκος κατ' αὐτόν, ὥσπερ καὶ τῶν ἄλλων στοιχείων ἕκαστον· οὕτω μὲν γὰρ εἶεν διακεκριμένα καὶ ἐπὶ τῆς

οἰκείας φύσεως· μόνον δὲ ὑκ ἔςιν ἐν τῷ ἑνὶ τῷ θεῷ, ὥςε μόνῳ τύτῳ ὑκ ἔςι τὸ νεῖκος αἴτιον τῦ εἶναι, τοῖς δὲ ἄλλοις πᾶσιν. εἰπὼν δὲ πῶς ὑχ ὁμολογύμενα ἀλλήλοις τὰ ὑπὸ Ἐμπεδοκλέυς εἰρημένα, κ̀ μνημονεύσας ὅτι κατ' αὐτὸν μόνον ὑκ ἔςι τὸ νεῖκος ἐν τῷ θεῷ,

543. διὸ ὑδὲ ποιητικὸν τύτυ ἐςίν, αἰτιᾶ) αὐτὸν ὡς κ̀ τῦτο τῶν ἄλλων ἀφρονέςερον ποιῦντα τὸν θεόν· τὰ μ̀ γ̀ ἄλλα πάντα κατ' Ἐμπεδοκλέα νοήσει τῷ πάσας μ̀ τὰς ἀρχὰς ἔχειν ἐν αὐτοῖς, γίγνε) δὲ τὴν νόησιν τῷ ὁμοίῳ τῦ ὁμοίυ, ὁ δὲ θεὸς τὰ μ̀ ἄλλα νοήσει τῷ ἔχειν κ̀ αὐτὸς τὰ τῶν ἄλλων ἐν αὐτῷ ςοιχεῖα, μόνον δὲ τὸ νεῖκος ὑκ ἔςαι νοῶν, ἐπεὶ μηδὲ τὴν ἀρχὴν ἐςιν ἐν αὐτῷ. ἀπορήσαι δ' ἄν τις πῶς ἀφρονέςερον λέγει γίγνε) τὸν θεὸν κατ' Ἐμπεδοκλέα, ἐπεὶ μὴ πάντα νοεῖ· ὕτω γ̀ κ̀ κατ' Ἀριςοτέλην αὐτὸν ἄφρων ἂν εἴη. ἀλλὰ κ̀ λέγει πυ αὐτὸς ὅτι ἔνια ἄμεινον μὴ νοεῖν, ὥσπερ τὰ κακά. ἢ κ̀ τῦτο κατ' Ἐμπεδοκλέα ἀφρονέςερος, ὅτι μὴ πλεονεκτῶν τῶν ἄλλων· ἐκ γ̀ τῶν ςοιχείων κ̀ αὐτός, παρὰ τὸ νεῖκος, κ̀ γινόμενος κ̀ φθειρόμενος, κ̀ μηδὲν ἄλλο τιμιώτερον νοῶν ἢ ταῦτα ἐξ ὧν ἐςίν, αὐτός τε κ̀ τὰ ἄλλα τῶν ςοιχείων ὑ νοεῖ· ἀλλὰ τὰ μ̀ πάντα τὰ ςοιχεῖα νοεῖ, ὁ δὲ θεὸς μόνος ἐξ αὐτῶν ὑχ οἷός τέ ἐςι νοεῖν. ἔτι τὰ μ̀ ὑλικὰ ςοιχεῖα ἔςαι πάντα νοῶν, ὑκέτι δὲ κ̀ τὰ ποιητικὰ πάντα, ἃ τιμιώτερα τῶν ὑλικῶν. λέγει δὲ ἐν ἄλλοις ὅτι κ̀ μόνον ἄφθαρτον τὸ νεῖκος κατ' αὐτόν. ἔξωθεν δὲ τῦτο ἀπορήσας πρὸς Ἐμπεδοκλέα, ἐπάνεισιν ἐπὶ τὸ τὴν ἀνομολογίαν αὐτῦ δεικνύναι. id.

544. πρῶτον μ̀ ἀπορίαν ταύτην ἀπορεῖ, πότερον τῶν φθαρτῶν κ̀ αἱ ἀρχαὶ φθαρταὶ ἢ ἄφθαρτοι. εἰ μ̀ ὖν φθαρταί, δῆλον ὡς ἔσον) ἐξ ἐκείνων εἰς ἃ φθείρον). ὑ γ̀ δὴ εἰς τὸ μὴ ὂν φθείρον)· εἰς ἃ γ̀ φθείρεταί τι ἔκαςον, ἐκ τύτων κ̀ συνέςηκεν· ὥςε ἔσον) τῶν ἀρχῶν ἀρχαί. ἀλλ' εἰ τῦτο, ὑκ αὗται ἀρχαὶ ἀλλ' ἐκεῖναι ἐξ ὧν αὖ)· ἀδύνατον δὲ τῶν ἀρχῶν ἀρχὰς εἶναι· ὑ γ̀ γίγνον) ἐκ τῶν ἀρχῶν ἀρχαί, εἴτε ἴςαν) ἐπί τινος εἴτε εἰς ἄπειρον προχωροῖεν. εἰ μ̀ γ̀ ἴςαν), ἐκεῖναί τε ἂν εἶεν ἀρχαὶ τῶν ὑποτεθειςῶν ἀρχῶν, ἐν αἷς ἴςα) ἡ φθορά, κ̀ ἔτι ἀΐδιοι ἂν εἶεν, ὡς δέδεικ), ἢ ἐκ τῦ μὴ ὄντος ἂν ἡ γένεσις εἴη, εἰ εἰς τὸ μὴ ὂν ἴςαιτο ἡ φθορά· εἰ δὲ εἰς ἄπειρον προῖοιεν, ἀεὶ τῆς φθειρομένης ἀρχῆς ἐκείνης εἰς ἣν φθείρε) ἔςαι

ἀρχή. πρὸς δὲ τούτῳ οὐδὲ τὴν ἀρχὴν ἀρχή τις ἔςαι· δέδεικται γὰρ τοῦτο ἐν τῷ πρὸ τούτου βιβλίῳ. ἢ τῷ "ὥςε συμβαίνει τῶν ἀρχῶν ἑτέρας εἶναι προτέρας" ἀκολουθεῖ τὸ "καὶ εἰ ἴςαται καὶ εἰ βαδίζει εἰς ἄπειρον·" ἑκατέρῳ γὰρ αὐτῶν ἕπεται τὸ τῶν ἀρχῶν ἀρχὰς εἶναι. μεθ' ὃ λέγοι ἂν τὸ "τοῦτο δὲ ἀδύνατον," ὃ ἐν μέσῳ τεθὲν ἀσαφεςέραν πεποίηκε τὴν λέξιν. "ἔτι δὲ πῶς ἔςαι τὰ φθαρτά, εἰ αἱ ἀρχαὶ ἀναιρεθήσονται;" τὸ λεγόμενον ἐςίν, εἰ τὰ φθαρτὰ ἐκ φθαρτῶν ἀρχῶν γίνεται, πῶς ἂν γένοιτο τῶν ἀρχῶν φθαρεισῶν; φθαρεισῶν γὰρ τῶν ἀρχῶν οὐκέτι ἂν οἷόν τε εἴη γίνεσθαι τὰ ἐξ αὐτῶν. καὶ εἴη ἂν τὸ λεγόμενον "ἔτι δὲ πῶς ἔςαι τὰ φθαρτά;" πῶς γὰρ ἔςαι τὰ φθαρτὰ φθειρόμενα καὶ γιγνόμενα, εἰ μὴ εἶεν αὐτῶν ἀρχαί; ᾗ ἐδείχθη ἀκολουθῆσαι, εἰ φθαρταὶ εἶεν αἱ ἀρχαί. τὰ γὰρ γιγνόμενα καὶ φθειρόμενα καὶ γίγνεται καὶ φθείρεται τῷ ἔχειν ἀρχὰς ἐξ ὧν καὶ ὑφ' ὧν γίγνεται καὶ φθείρεται· τῷ γὰρ εἰς ἐκεῖνα ἀναλύεσθαι ἡ φθορά· πῶς ὧν φθείροιντο μὴ ὄντων τῶν εἰς ἃ φθειρόμενα διαλυθήσεται; id.

καὶ πρὸς τούτοις δέ φησι μηδὲ τὴν ἀρχὴν εἰρηκέναι τινὰ ἄλλας 546.
ἀρχὰς τῶν φθαρτῶν καὶ ἄλλας τῶν ἀφθάρτων εἶναι· τὰς γὰρ αὐτὰς πάντες ὑποτίθενται· ὑποθέμενοι δὲ τὸ πρῶτον ἀπορηθέν, πῶς ἐκ τῶν ἀρχῶν τὰ μὲν φθαρτὰ τὰ δὲ ἄφθαρτα γίγνεται, παραπέμπουσι καὶ ἀποροῦσι· τοῦτο γὰρ σημαίνει τὸ "ἀποτρώγουσιν," ὡς δῆλον καὶ ἐξ οὗ ἐπήνεγκε τοῦ "ὥσπερ τοῦτο μικρόν τι λαμβάνοντες," ὡς μικρόν τι καὶ οὐκ ἔχον ἀπορίαν ὑποτιθέμενοι τὸ τὰς αὐτὰς ἀρχὰς πάντων εἶναι, οὐδένα λόγον ἐποιοῦντο τῆς ἀπορίας. ἢ τὸ "ἀποτρώγουσιν" εἴρηκεν ἀντὶ τοῦ διά τινων πιθανῶν αὐτοῖς δοκούντων παραμυθεῖσθαι πειρῶνται, ὡς εἶπε περὶ Ἡσιόδου καὶ τῶν ἀρχαίων θεολόγων, ἔτι δὲ περὶ Ἐμπεδοκλέους, ὃς ἐκ τῶν αὐτῶν ποιῶν πάντα τὸ μέν τι αἴτιον γενέσεως ἐφίςη τὸ δὲ φθορᾶς, ὡς οὐ μέγα καὶ δύσλυτόν τι ὑποθέμενοι. καὶ μέντοι αὐτὸν ὅτε αἱ αὐταὶ ἀρχαὶ τῶν ἀϊδίων τε καὶ τῶν φθαρτῶν, ἔν τε τοῖς φθαρτοῖς ὅτε πᾶσαι αἱ ἀρχαὶ ἀΐδιοι (τὸ γὰρ εἶδος οὐκ ἀΐδιον) ἥ τε ὕλη ἀΐδιος μὲν ἀλλ' οὐκ ἀπαθὴς ἀλλὰ παθητή τε καὶ ἀλλοιωτή. id.

ἀλλ' ὅτε πάντα φθείρειν φήσομεν Ἐμπεδοκλέα, οὐ γὰρ δεῖται 549.
τῆς τοιαύτης πρὸς ἑαυτοῦ συμφωνίας, ἀλλ' ὥσπερ τοὺς ἄλλους

Πυθαγορείους, ὅτω καὶ αὐτὸν εἰδέναι τὰς μὲν νοητὰς οὐσίας τὰς δὲ αἰσθητάς, ὅτε φθαρτικὴν μὲν ὑποτίθεσθαι τὸ νεῖκος ἀρχήν, μόνην δὲ τὴν φιλίαν ποιητικήν· ὅτε τὴν αἰτίαν τῆς δοκούσης αὐτῶν εἶναι παρὰ μέρος ἐπικρατείας ἀποσεσιωπηκέναι, ἀλλὰ Πυθαγόρειον ὄντα καὶ Ὀρφικὸν ὑποθέσθαι μὲν μετὰ τὴν μίαν τῶν ὅλων ἀρχήν, περὶ 5 ἧς ὅτε αὐτὸς ὅτε Παρμενίδης ὅτε Πυθαγόρας ἐπέτρεπον ἑαυτοῖς λόγους καταβαλέσθαι πλείονας, τὰς δύο ταύτας ἀρχὰς φιλίαν τε καὶ νεῖκος, ἃς οἱ Πυθαγόρειοι μονάδα καὶ δυάδα κατωνόμαζον, ἀόριστον αὐτὴν καλοῦντες διὰ τὴν ἐπὶ πᾶν ὑποφθάνουσαν δύναμιν· ἐκ δὲ τούτων τῶν ἀρχῶν τόν τε νοητὸν κόσμον ἀναφαίνεσθαι καὶ τὸν αἰσθη- 10 τόν· ἐν μὲν οὖν τῷ νοητῷ σφαίρῳ προσαγορευομένῳ κατὰ τὴν ποίησιν ἐπικρατεῖν τὴν φιλίαν διὰ τὴν ἕνωσιν τῶν ἀύλων καὶ θείων οὐσιῶν, ὡς αὐτῆς εἶναι δοκεῖν τὸ πᾶν γέννημα, ἐν δὲ τῷ αἰσθητῷ τὸ νεῖκος. τοῦ δὲ κρατεῖν ἑκάτερα τῶν ἀρχῶν ἐν ἑκατέρῳ καὶ παρ' ἀμφοτέρων οὐσῶν πανταχοῦ ἡ ἐκ τοῦ ἑνὸς τοῦ ἀμφοῖν ἐξῃρημένου καθήκουσα τε- 15 λειότης εἰς αὐτὰ αἰτία, ἣν τελειότητα χρόνου καλεῖ, τελείωσιν ἀπὸ τοῦ φρονοῦντος τὰ ὅλα καὶ συνέχοντος προιοῦσαν. χρόνον δὲ καὶ Ὀρφεὺς τὸ πρῶτον ἐκάλει, τὸ δὲ "ὅρκον μὲν τὸ πρῶτον" ὡς ἕρκος καὶ φρουρὰν τῶν ἄλλων· τὴν δὲ ἀπ' αὐτοῦ προιοῦσαν εἰς τὰς δύο τῶν ὅλων ἀρχὰς τελειότητα τὴν μετροῦσαν αὐτῶν τὰς δυνάμεις καὶ τὰς 20 ἐπικρατείας τελείωσιν ὠνόμασε χρόνου, ὡς εἰ ἔλεγε τὴν ἀπὸ τοῦ
54 14. χρόνου τελείωσιν. "ἀλλ' ὅτε ἐθρέφθη" μέγα μὲν αὐτὸ προειπών, ὥσπερ ὁ Ὀρφεὺς τὸ χάος καὶ "μέγα χάσμα πελώριον ἔνθα καὶ ἔνθα," καὶ ὁ Πυθαγόρας ἀόριστον τὴν δυάδα· μέλη δὲ αὐτῷ δοὺς καὶ αὔξησιν, ἐπειδὴ προόδου καὶ γενέσεως καὶ πλήθους καὶ πολλαπλα- 25 σιασμοῦ καὶ πάσης αὐξήσεως τοῖς ὅλοις αἴτιον γίνεσθαι. "ἐπὶ τιμᾶς — χρόνοιο." τιμῶν τε καὶ βασιλείων ἀνελάβετο κατὰ τὴν τελείωσιν, ἣν ὁ χρόνος ἐπέφερεν αὐτῷ· μετρεῖ γοῦν τὸ πρώτιστον καὶ τὴν ἄπειρον
54 16. δύναμιν τῶν δύο τούτων ἀρχῶν. "ὅς σφιν — ὅρκου." ἤ τις αὐτῆς τελειότης ἀπὸ τῆς φρουρᾶς τῶν ὅλων καὶ τῆς πρωτίστης τῶν ἁπάν- 30 των ἀρχῆς ἐνδίδοσθαι, ἣν πλατεῖαν ὡς ἀπερίληπτον τοῖς πᾶσι καὶ ὡς πάντα περιλαβοῦσαν καὶ μετρήσασαν κέκληκεν· "ἀμοιβαῖος" δὲ οὐχ ὅτι ποτὲ μὲν τούτῳ ποτὲ δὲ ἐκείνῳ τὴν τελείωσιν ἐπιφέρει τὸ ἐξῃρημένον αὐτῶν ἕν, ἀλλ' ὅτι ἰδίαν ἑκατέρῳ καὶ τὴν πρέπουσαν ἀμφο-

τέροις. εἰ δὲ ϗ ἀμοιβαῖος ὁ ἑπόμενός ἐςι ϗ ἀεὶ συνὼν αὐτοῖς ϗ ὑδ' ὁπωςιῶν ἀπολιμπανόμενος ὑδενὸς τῶν ὄντων, μήτοιγε τῶν μετ' αὐτῶν δυοῖν ἀρχῶν, ὀρθῶς ἂν ϗ ὕτως εἰρῆϛ δόξειε· πᾶσι γὰρ πάρεςι τὰ ἐκ τῆς πρωτίςης τῶν ὅλων αἰτίας ἀγαθὰ χορηγύμενα. Syrian.

ἴσον γὰρ τὸ εἰρημένον τῷ, ἐπεὶ τὸ ὂν ϗ τὸ ἓν τῶν ὄντων ἐςί, πότερον ὡς ὑσίαι ὄντα ἐςὶν ἢ ὡς συμβεβηκότα τῇ ὑσίᾳ. Alex. 55 12.

τὸ δὲ "ὡς ὕσης τῆς ὑσίας αὐτὸ τὸ ἓν εἶναι ϗ ὄν τι" ἴσον ἐςὶ τῷ ὡς τῆς αὐτῆς ὑσίας ὕσης τοῦ ἑνός τε ϗ τοῦ ὄντος, ϗ ταὐτοῦ ὄντος ἑνὶ εἶναι ϗ ὄντι. ὅτι δὲ Πλάτων ὑσίαν τινὰ τό τε ἓν ϗ τὸ ὂν ἔλεγε, δῆλον ἐκ τοῦ ϗ ἰδέας αὐτὸν λέγειν αὐτοὸν ϗ αὐτοέν. οἱ δὲ φυσικοί, ὧν ϗ Ἐμπεδοκλῆς, ἄλλο τι ὑπετίθεσαν τῷ ὄντι ϗ τῷ ἑνὶ κἀκείνοις ἔλεγον ὑπάρχειν ταῦτα. Ἐμπεδοκλῆς μὲν γὰρ ὡς εἰς γνωριμώτερόν τι ἀνάγων τὸ ἕν, τὴν φιλίαν ὑποτιθείς, ταύτης κατηγόρει τὸ ἕν, ἐπεὶ αἴτιον κατ' αὐτὸν αὕτη πᾶσι τοῦ ἕκαςον αὐτῶν ἓν εἶναι, συνάγουσα ϗ συγκρίνουσα αὐτά. ἄλλοι δὲ τῶν φυσικῶν πῦρ ὑπέβαλον τῷ ἑνὶ ϗ τῷ ὄντι, ὡς Ἡράκλειτος, οἱ δὲ ἀέρα, ὡς Ἀναξιμένης, οἱ δὲ ἄλλο τι· ὃ γὰρ ἕκαςος αὐτῶν ἀρχὴν τῶν ὄντων ϗ αἰτίαν ὑπετίθετο, ταύτης ϗ τὸ ὂν ϗ τὸ ἓν κατηγόρει. id.

"εἰ δὲ μή ἐςί τι αὐτοὲν μηδ' αὐτοόν" εἶπεν ἀντὶ τοῦ εἰ γὰρ μὴ ἔςι λαμβάνειν ὡς γένη τό τε ἓν ϗ τὸ ὂν τῶν ὄντων ϗ ὕτως αὐτῶν κατηγορούμενα, ἀλλ' ὐχ ὡς ὁμώνυμα, ὡς αὐτὸς ἐν ἄλλοις ἔδειξεν. εἶπε δὲ "τινὸς ὑσίαν" ἀντὶ τοῦ ὑσίαν τινὸς εἶναι ϗ ἐν τῇ ὑσίᾳ κατηγορεῖϛ, ὧν τι κατηγορεῖ· μόνα δὲ τὰ καθ' ἕκαςα ἔςαι, ὐ τὰ καθόλου. id. 56 1.

τὸ γὰρ "ὑσίας αὐτὸ εἶναι τὸ ἓν ϗ τὸ ὄν" δηλωτικόν ἐςι τοῦ ἑνὸς ϗ τοῦ ὄντος ὑσίας ταῦτα εἶναι, ἀλλὰ μὴ ἐν ἄλλῳ τινὶ εἶναι, ἢ τὸ ἑνὶ εἶναι ἢ τὸ ὄντι εἶναι, ὅ δεῖξιν παρέθετο τὸ "ὐ γὰρ ἕτερόν τι καθόλου κατηγορεῖ," ὃ ἴσον ἐςὶ τῷ ὐ γὰρ ἕτερά τινα ὄντα τὸ ἓν ϗ τὸ ὂν τῶν ὑποκειμένων αὐτοῖς καθ' ὧν κατηγορεῖ αὐτῶν καθόλου, ἀλλ' αὐτὰ ταῦτα ὄντα ἕν τε ϗ ὂν κατηγορεῖ αὐτῶν. ἢ ὕτως, ὐ γὰρ ἕτερόν τι τῆς ὑσίας κατηγορηθήσεϛ, ἀλλὰ ταῦτα τὰ ὄντα ϗ τὸ ἕν, ὡς πᾶν ὃ ἂν ᾖ ὑσία ἕν τε ϗ ὂν εἶναι, ὐκ ἄλλο τι ὄν, ἀλλ' αὐτὸ τοῦτο. ὡς γὰρ τῶν ἀνθρώπων, ἐπεὶ τὸ κατηγορούμενον ἦν ἄνθρωπος, ἄνθρωπος 56 7.

τὰ ὧν κατηγορεῖ, ὐκ ἄλλο τι, ὕτως καὶ ὧν τὸ ὂν καὶ τὸ ἓν κατηγορεῖ ἐν τῇ ὑσίᾳ, ὂν καὶ ἓν ἔςαι ἡ τύτων ὑσία, εἰ τὸ ὂν καὶ τὸ ἓν ὑσίαι τινές εἰσιν· ὐ γὰρ τὸ ὕδωρ ἢ πῦρ τῶν ὄντων κατηγορεῖ, ἵνα αὐτῶν τὴν ὑσίαν τῦτο εἴπωμεν, ἀλλὰ τὸ ὄν τε καὶ τὸ ἕν. εἰ δὲ ταῦτα ὑσίαι ὄντα κατηγορεῖ τῶν ὄντων καθόλυ, εἴη ἂν καὶ ἡ ὑσία τύτων ὧν κατηγορεῖ ταὐτό τε ἓν καὶ τὸ ὄν. δύναῖ δὲ τὸ "εἰ δ' ἐςί τι αὐτοὲν καὶ ὄν, ἀναγκαῖον αὐτῶν ὑσίας εἶναι τὸ ἓν καὶ τὸ ὄν" εἰρῆῖ πρὸς τὺς ἰδέας αὐτὰ λέγοντας· καθ' ὅς γάρ ἐςιν ἰδέα αὐτοὲν καὶ αὐτοόν, κᾷ τύτυς ἀναγκαῖον ὑσίαν τύτων εἶναι τὸ ἕν τε καὶ τὸ ὄν· τὸ γὰρ αὐτοόν τε καὶ ἓν ὐχ ἕτερά τινα ὄντα καθόλυ τῶν ὄντων κατηγορεῖ· ὐ γὰρ ἂν ἔτι ἦν αὐτοὸν καὶ αὐτοέν, ἀλλ' ἔςι ταῦτα καθὸ ἓν καὶ ὂν κατηγορύμενα τῶν ἄλλων καθόλυ. ἢ ὕτως. "ὐ γὰρ ἕτερόν τι καθόλυ κατηγορεῖ ἀλλ' αὐτὰ ταῦτα," τυτέςιν ὐ γὰρ ἕτερόν τι τῦ αὐτοενὸς καὶ αὐτοόντος καθόλυ κατηγορεῖ, ὡς εἶναι ἐκείνης αὐτὰ τῆς φύσεως, ἧς σημαίνει τὸ κατηγορύμενον αὐτῶν καθόλυ, ἀλλ' ἐςὶν αὐτὰ ταῦτα τὸ ἓν καὶ τὸ ὂν κατηγορύμενα αὐτῶν. id.

56 9. ὅτι μὴν βαθὺ τὸ σκέμμα, πῶς ἐξ ἑνὸς ὐδεμίαν διπλόην ὐδὲ ἔμφασιν πλήθυς ἔχοντος ἐν ἑαυτῷ ὐδὲ ἑτερότητα τὰ πάντα ὑπέςη, δηλῦσι Πλωτῖνος Πορφύριος Ἰάμβλιχος καὶ πάντες οἱ θεωρητικώτερον περὶ τῦτο τὸ πρόβλημα διατρίψαντες· ὐ μὴν ἀλλ' αἰτιασάμενοι τὴν ἐν ἁπλότητι γονιμωτάτην αἰτίαν τῦ ἑνὸς τὰ ὑπ' αὐτῦ προτεινόμενα λύειν ἐπιχειρήσομεν. Syrian.

56 14. φαμὶ δὲ ὅτι ὐκ ἔςιν ἀπὸ τῦ ἑνὸς ἤδη ὐδέν. ὐ γὰρ εἰ μὴ ἐκεῖνο τὸ ἕν, ἤδη ὐχ ἓν ἢ ὐδέν, ἀλλὰ δευτέρως ἓν καὶ πάλιν τρίτως. id.

56 20. ἠξίυ γὰρ Ζήνων (Ζήνωνα δὲ λέγει τὸν Ἐλεάτην τὸν Παρμενίδου γνώριμον), ὃ μήτε προςιθέμενόν τινι μεῖζον αὐτὸ οἷόν τέ ἐςι ποιῆσαι μήτε ἀφαιρύμενον ἔλαττον, τῦτο τὴν ἀρχὴν μηδὲ εἶναί τι· τοιῦτον δὲ καὶ τὸ αὐτοέν. ἐκεῖνος μὴν τῦτο ἠξίυ ὡς παντὸς τῦ ὄντος μεγέθυς τε ὄντος καὶ σώματος· ὐδὲν γὰρ ἄλλο μέγεθος ἐν ὑποςάσει ὡς ἢ αὔξεῖ ἢ αὔξειν κατ' αὐτὸν χωρὶς σώματος. τῦτο γὰρ πάντῃ ὄν· διὸ καὶ πάντῃ προςιθέμενον τὸ τοιῦτον μέγεθος αὔξει· τὰ δὲ ἄλλα μεγέθη ὐχ ἁπλῶς συντιθέμενα αὔξει τὸ ὅλον, πῶς δέ, ὡς ὐ κυρίως ὄντα μεγέθη ὐδὲ ὁλοκλήρως. μόνον γὰρ αὔξει ἡ

γραμμὴ καὶ τὸ ἐπίπεδον καὶ τὰ πέρατα ἀλλήλοις συντιθέμενα· ἡ γὰρ ἐπιφάνεια καὶ μία γραμμὴν συντιθεμένη, ἥτις αὐτή ἐστι πέρας τῆς ἐπιφανείας, αὔξει αὐτήν, καὶ δὲ ἐπιφάνειαν καὶ καὶ πλάτος οὐκ αὔξει. Alex.

5 ἐκεῖνο δέ, φησίν, ἄξιον ἀπορῆσαι, πῶς ἐκ τοῦ τοιούτου ἑνὸς 56 26. ἢ πλειόνων τοιούτων γίγνεται μέγεθος· ὅμοιον γὰρ τοῦτο τῷ τὴν γραμμὴν ἐκ στιγμῶν λέγειν συγκεῖσθαι. ταῦτα δὲ λέγει πρὸς τοὺς ἀρχαὶς καὶ στοιχεῖα πάντων τοὺς ἀριθμοὺς ὑποτιθεμένους· γίγνονται γὰρ τῶν μεγεθῶν ἀρχαί. οὗτοι δὲ ἦσαν οἱ Πυθαγόρειοι.

10 ἑξῆς δὲ προσαπορεῖ τῇ Πλάτωνος δόξῃ, ὃς ἀρχὴν ὑπετίθετο τοῦ ἀριθμοῦ τε καὶ τῶν ἄλλων τὸ ἓν καὶ ἄλλο τι οὐχ ἕν, τουτέστιν ἀριθμόν τινα· τοῦτο γὰρ δηλωτικὸν τὸ καὶ "ἄλλου μὴ ἑνός·" τοῦτο δ' ἦν ἡ ἀνισότης καὶ ἡ ἀόριστος δυάς, ὃ μέγα καὶ μικρὸν ἔλεγε, πρῶτον μὲν τὸν ἀριθμὸν γεννᾶσθαι ὁριζόμενος ἐκ τῆς ἀορίστου δυάδος ὑπὸ

15 τοῦ ἑνὸς καὶ γιγνομένης δυάδος, ἔπειτα τὰ ἄλλα. id.

τὸ δὲ "εἴπερ τὸ μὴ ἓν ἀνισότης, καὶ ἡ αὐτὴ φύσις ἦν" ἴσον ἐστὶ τῷ εἴπερ τὸ μὴ ἓν ἦν κατ' αὐτὸν ἡ ἀνισότης καὶ αὕτη ἡ φύσις ὅσα καὶ ἀριθμῶν καὶ μεγεθῶν ἡ αὐτὴ κατ' αὐτόν· πῶς γὰρ ἐκ τῶν αὐτῶν ἀρχῶν οἷόν τε καὶ ἀριθμὸς καὶ μεγέθη γεννᾶσθαι; id.

20 εἰ γὰρ μὴ ταῦτα οὐσίαι, οὐδ' ἂν ὅλως εἴη τις οὐσία· τίνες γὰρ ἔσονται οὐσίαι; ἔστι δὲ οὐκ οὐσία, οἷον αἵ τε ποιότητες (ταύτας γὰρ εἶπε παθητικὰς κινήσεις) καὶ τὰ πρός τι καὶ αἱ διαθέσεις, ἃ καὶ αὐτὰ ποιότητες. καὶ οἱ λόγοι δέ, ὃς ἀριθμὸς λέγει, εἰ καὶ οὐσιῶν εἰσίν, ἀλλ' οὐκ αὐτοί γε οὐσίαι. τὸ δὲ "οὐδενὸς δοκοῦσιν οὐσίαν ση-

25 μαίνειν" εἶπεν ὡς ἴσον τῷ οὐκ εἰσὶν οὐσίαι. ὁμοίως δὲ τούτοις καὶ τὰ ἄλλα τὰ ὑπὸ τὰς δέκα κατηγορίας οὐκ εἰσίν· ἅπαντα γὰρ καθ' ὑποκειμένου τινὸς λέγεται, τουτέστιν ἐν ὑποκειμένῳ τινί ἐστι, καὶ ὑποκείμενόν τι ἄλλο ἔχει καὶ οὐκ αὐτὰ ὑπόκειται, οὐδέ ἐστιν αὐτῶν τι ὑπὸ ἀπόδειξιν πῖπτον ὡς ὑποκείμενον καθ' αὐτό. ὃν δὲ τὴν οὐσίαν

30 νῦν λέγει. εἰπὼν δὲ ταῦτα μετὰ ταῦτα τίθησι μὲν ὡς ἐναργὲς τὸ τὰ ἁπλῶς σώματα οὐσίας εἶναι μάλιστα, χωρίσας δὲ τούτων τὰς ποιότητας καὶ τἆλλα πάθη ὡς συμβεβηκότα τοῖς σώμασι, λαμβάνει τὸ ὑποκείμενον τούτοις σῶμα, λέγω δὲ τοῖς πάθεσιν, εἶναι τὴν οὐσίαν, ὅ ἐστι τὸ τριχῇ διεστώς. τοῦτο δὲ λαβὼν μετὰ ταῦτα

δείκνυσιν ὅτι τὸ σῶμα τοῦτο ἥττόν ἐςιν οὐσία τῶν ποιοτήτων καὶ τῶν ἄλλων παθῶν καὶ διαθέσεων· μᾶλλον γὰρ οὐσία ἐπιφάνεια μὲν σώματος, ἐπιφανείας δὲ γραμμή, καὶ ταύτης ςιγμή. εἶτα μέλλων ἐπὶ τούτοις τοῦ ταῦτα οὐσίας εἶναι συναναιρήσειν καὶ τὸ τὸ σῶμα οὐσίαν εἶναι, τῷ ἀπὸ τοῦ μᾶλλον καὶ ἧττον χρησάμενος τόπῳ. id. 5

57 13. ἡμεῖς δὲ πρὸς τοὺς πολλοὺς τὸν Ζήνωνα γυμναςικοὺς λόγους ποιούμενον οὐκ ἀπὸ σπουδῆς τούτοις ἐπιχειρεῖν οἰόμεθα· εἰ μὴ ἄρα τοσοῦτον ἠνίττετο ὅτι τὰ ἀδιαίρετα τῆς φύσεως οὐκ ἔςι τῶν διαιρετῶν, ἀλλ' ὑπερέχοντα τούτων ἄλλως αὐτὰ περατοῖ καὶ ὁρίζει. Syrian. 10

57 14. ἐν μὲν τῇ ἐκθέσει τῶν προβλημάτων τοῦτο τελευταῖόν ἐςι καὶ ἑπτακαιδέκατον, νυνὶ δὲ τρίτον ἐςὶν ἐπὶ δέκα διὰ τὴν πρὸς τὸ γυμνασθὲν οἶμαι συγγένειαν. id.

57 29. ἄρα τὰ πέρατα τοῦ σώματος μᾶλλον οὐσίαι τοῦ σώματος. τὸ δὲ "ἐνδέχεσθαι δοκεῖ εἶναι" πάνυ καλῶς προσέθηκε· τῇ μὲν γὰρ ὑποςάσει οὐδὲν τούτων χωρὶς σώματος οἷόν τε εἶναι, ὥσπερ οὐδὲ τὸ σῶμα ἄνευ τούτων, τῇ δὲ ἐπινοίᾳ καὶ τῷ λόγῳ οἷόν τε· σῶμα μὲν γὰρ ἄνευ ἐπιφανείας οὐχ οἷόν τε νοηθῆναι, οὐδ' ἂν ἐπιφάνειαν ἄνευ γραμμῆς, οὐδὲ ταύτην χωρὶς σημείου. Alex. 15

58 6. τοῦτο λαβὼν μετ' ταῦτά φησιν ὅτι εἰ μηδὲν τούτων οὐσία, οὐδ' ἂν ἄλλο τι οὐσία εἴη· οὔτε γὰρ τὰ σώματα, ἧττον γὰρ ταῦτα οὐσίαι, οὔτε ἔτι μᾶλλον τὰ τῷ σώματι συμβεβηκότα. ὅτι δ' αὖ μή ἐςι ταῦτα ὄντα, τυτέςιν οὐσίαι, δείκνυσιν οὕτως. εἰ ἔςι σημεῖον καὶ γραμμὴ καὶ ἐπίπεδον ὄντα τε καὶ οὐσίαι, δῆλον ὅτι καὶ ἐν σώμασιν αὐτῶν ἡ ὑπόςασις, καὶ εἰ ἐν σώμασιν, ἐν τοῖς αἰσθητοῖς· ἀλλὰ μὴν οὐδὲν τούτων ἐςὶν ἐν τοῖς αἰσθητοῖς. id. 20 25

58 14. ἐπὶ τούτοις ὅτι μή ἐςιν ἐν τοῖς σώμασι ταῦτα, ἥ τε ἐπιφάνεια καὶ ἡ γραμμὴ καὶ τὸ σημεῖον, οὕτω δείκνυσιν. ἐπινοίᾳ ταῦτα ἐν τοῖς σώμασι λέγεσθαι εἶναι· οὐ γὰρ δὴ τῇ ὑποςάσει καὶ τῷ χωρίζεσθαι δύνασθαι. τούτῳ προχρώμενος λέγει ὅτι ἐν τῷ σώματι ἔςιν ἀποιοῦν χῆμα καὶ ὁποιανοῦν ἐπιφάνειαν ὁμοίως ὄντα λαβεῖν. τῇ γὰρ ἐπινοίᾳ ἐν τῷ λίθῳ τῷ ἀργῷ καὶ τὸ τοῦ Ἑρμοῦ καὶ τὸ τοῦ Ἀπόλλωνος καὶ ἄλλου τινὸς ὁμοίως ἔςι λαβεῖν ὁτιοῦν χῆμα· ἀλλὰ καὶ ἐν τῷ κύβῳ τὸ ἥμισυ τοῦ κύβου τῇ ἐπινοίᾳ ἔςι, καὶ ἡ ἐπιφάνεια ἡ διαιροῦσα αὐτὸν 30

εἰς δύο ἐν τῷ βάθει ληφθῆναι δυναμένη, ὁμοίως καὶ ἡτισοῦν. εἰ οὖν πάντα μὲν ὁμοίως τὰ χήματα καὶ αἱ ἐπιφάνειαι ἐν τῷ σώματι, τῇ δὲ ἐπινοίᾳ, μή ἐςι δὲ ἐν αὐτῇ ὑπόςασιν λαμβανόμενα, οὐδ' ἂν ἄλλο τι εἴη. id.

5 ἔνεςι δὲ ἐπὶ τούτων ὁμοίως τῇ ἐπινοίᾳ ἐν τῷ ὑποκειμένῳ σώ- 58 14.
ματι λέγειν ὁποιανοῦν εἶναι, καὶ λαμβάνοντάς τινα τῶν δυνάμει καὶ δεικνύναι ὅτι μὴ ἔςιν ἐν αὐτῷ· τὸ δὲ δυνάμει ὂν ἔν τινι οὐδέπω ἐςὶν ἐν αὐτῷ, ὅτι μηδὲ τὰ ἐνεργείᾳ δοκοῦντα εἶναι ἐν αὐτῷ ἔςιν ἐν αὐτῷ δεικνύναι. id.

10 ἴσον ἐςὶ τῷ μήτε ἐςὶν ὄντα ταῦτα μήτε οὐσίαι τινές. "πρὸς 58 21.
δὲ τοῖς εἰρημένοις καὶ τὰ περὶ τὴν γένεσιν καὶ τὴν φθορὰν συμβαίνει ἄλογα." καὶ αὕτη ἡ ἐπιχείρησις αὐτῷ δείκνυσιν ὅτι μὴ οὐσίαι τὰ πέρατα τοῦ σώματος, ἃ μᾶλλον οὐσίαν ἔδειξε τοῦ σώματος. αἱ μὲν δὲ οὐσίαι, πρότερον μὴ οὖσαι, διὰ γενέσεως εἰς τὸ εἶναι προῖασιν,
15 ὁμοίως δὲ καὶ αἱ πρότερον οὖσαι εἰς τὸ μὴ εἶναι διὰ φθορᾶς, ὥςε τῶν μὲν οὐσιῶν τοῦ εἶναι καὶ μὴ εἶναι γένεσις καὶ φθορὰ προηγεῖται, ταῦτα δὲ ἄνευ γενέσεως καὶ φθορᾶς ὁτὲ μὲν ἔςιν ὁτὲ δὲ οὐκ ἔςιν, ὥςε οὐκ οὐσίαι. id.

ἁπτομένων μὲν δὲ εὐθὺς καὶ ἅμα μία, διαιρουμένων δὲ πάλιν καὶ 59 2.
20 κεχωρισμένων εὐθὺς καὶ ἅμα δύο, οὐδεμιᾶς γενέσεως προηγησαμένης. ὅτι δὲ ὁτὲ μὲν εἰσὶν ὁτὲ δὲ οὐκ εἰσὶ χωρὶς γενέσεως καὶ φθορᾶς, δείκνυσιν οὕτως. ὅταν ἅπτηται τὰ σώματα ἀλλήλων καὶ πάλιν ὅταν διιςῆται, ποτὲ μὲν μία ἡ ἐπιφάνεια καὶ ἡ γραμμὴ καὶ τὸ σημεῖόν ἐςιν ἀθρόως· ὅταν μὲν ἅπτωνται, ἓν τὰ ἀμφοτέρων πέρατα τῷ ἐφαρμό-
25 ζειν, ὅταν δὲ αὖ χωρισθῇ, δύο πάλιν ἀθρόως· ὥςε ποτὲ μὲν ἔςιν ἡ ἐπιφάνεια καὶ τὰ ἄλλα, ὅταν μὴ ἅπτηται τὰ σώματα ἀλλήλων, ποτὲ δὲ οὐκ ἔςιν, ὅταν ἅπτηται, καὶ ταῦτα χωρὶς γενέσεως καὶ φθορᾶς. οὐ μὲν δὴ ἡ σιγμὴ ἡ ἀδιαίρετος τῇ αὐτῆς φύσει διηρέθη εἰς δύο, ὥςε εἶναι ταύτην τὴν διαίρεσιν γένεσιν τῆς ἑτέρας σιγμῆς, ἀλλ' ἡ
30 πρότερον οὐκ ὖσα ὕςερόν ἐςι χωρὶς γενέσεως. ὁ δ' αὐτὸς λόγος καὶ ἐπὶ γραμμῆς καὶ ἐπιφανείας· ὅτε μὲν τὴν γραμμὴν οἷόν τε διηρῆσθαι κατὰ πλάτος, ὡς οὕτως γίνεσθαι τὴν μίαν δύο, ἀπολυομένης τῆς ἁφῆς, ὅτε τὴν ἐπιφάνειαν κατὰ βάθος. προςίθησι δὲ τούτοις ὅτι εἰ πᾶν μὲν τὸ γινόμενον ἐξ ὑποκειμένου τινὸς γίνεται καὶ ὕλης, τούτοις δὲ οὐδὲν

ὑπόκειθ, ὑ γίνεθ ταῦτα· εἰ γὰρ χωρὶς τοῦ γίνεσθ ποτὲ μ̄ ἔςι ποτὲ δὲ ὐκ ἔςιν, ὐκ ἔςι τὰ προειρημένα. ἔτι ὡς ἐπὶ τοῦ νῦν πέρατος ὄντος τοῦ χρόνου ἔχει, οὕτως ἕξει καὶ ἐπὶ τῆς γραμμῆς καὶ γραμμῆς καὶ ἐπιφανείας· ἅπαντα γὰρ ὁμοίως ταῦτα πέρατά ἐςι τὰ μ̄ σώματος τὰ δὲ ἐπιφανείας τὰ δὲ γραμμῆς τὰ δὲ χρόνου ἡ διαίρεσις· κᾳ γὰρ ταῦτα αἱ διαιρέσεις τῶν προκειμένων. id.

59 13. τοῦτο ἰδίᾳ μ̄ ἐν τοῖς πρώτοις ὐ πρώτειναν, ἔοικε δὲ μέρος εἶναι τοῦ πέμπτου· ἀπορεῖ γὰρ ἐν τούτῳ πρὸς τὰς ἰδέας. ἢ τοῦ ἐνάτου· καὶ γὰρ ἐν ἐκείνῳ πρὸς αὐτὰς ἠπόρησεν. Syrian.

59 16. εἰπὼν δὲ "ὐκ ἔςαι μία ἀριθμῷ ὡς ἀρχὴ ὐσία," προσέθηκε τὰ "καὶ τῷ εἴδει," ἤτοι λέγων τῇ φύσει καὶ τῇ ὑποςάσει, ἢ ὅτι ὐκ ἔςαι ἀρχὴ ἡ μ̄ τῷ ἀριθμῷ μία ἡ δὲ τῷ εἴδει· μόνη γὰρ ἔςαι ἡ τῷ εἴδει, ἥτις ὐδὲ ἀρχὴ κυρίως, ἐν τούτοις ἔχουσα τὰ εἶναι καὶ ἀπὸ τούτων νοουμένη ὧν αἱ ἀρχαὶ εἶναι λέγονθ. ἄμεινον δὲ γεγράφθαι "ὐκ ἔςαι μία ἀριθμῷ ἀλλ' εἴδει·" τοῦτο γὰρ συνάγει τά τε προειρημένα καὶ τὰ ἐπιφερόμενον τὰ "ὐδ' αἱ ἀρχαὶ τῶν ὄντων ἀριθμῷ ἔσονθ ποσαί τινες ἀλλ' εἴδει." εἰ δὴ μὴ ὕσης ὐσίας τινὸς παρὰ τὰς μαθηματικάς τε καὶ αἰθητὰς ὐκ ἔσονταί τινες ὡρισμέναι ὐσίαι. οὕτω δὲ ὐδὲ ἀρχῶν ὐσῶν ὐσίαι κυρίως ταῖς καὶ ὡρισμέναις ἀναγκαῖον, ἔδοξέ τε ἄλλας τινὰς ὐσίας θέσθ ὧν ἑκάςη κυρίως ὐσία ἔςαι, ὐ κᾳ μετυσίαν τινὸς ὐδὲ κᾳ συμβεβηκὸς τὰ εἶναί τε καὶ ἓν ἐχούσας· κᾳ συμβεβηκὸς γὰρ ἓν τὰ τῷ εἴδει ἕν, ἀλλ' ὐ κυρίως. ἀλλ' εἰ τοῦτό τις θήσεθ εἶναί τινας τοιαύτας ὐσίας, ὑπομιμνήσκει ἡμᾶς ἃ ἔδειξεν ἑπόμενα δυχερῆ τῇ τῶν ἰδεῶν ὑποθέσει. ὁ δὲ τῶν λεγομένων νῦς τοιοῦτος. παρέθετο τὰ ςοιχεῖα τῶν συλλαβῶν, δεικνὺς ἐπὶ τούτων πῶς αἱ ἀρχαὶ καὶ τὰ κατηγορούμενα κοινῶς τινὸς ὐκ ἔςιν ἀριθμῷ ὡρισμένα ἀλλ' εἴδει. Alex.

59 21. τουτέςιν ὐκ ἔςαι τις εἰδικὴ ὐσία κᾳ τὸν ἀριθμὸν μία, ὐδὲ αἱ ἀρχαὶ ἄρα τῶν ὄντων ὡρισμένων κᾳ τὸν ἀριθμὸν καὶ ποσὰ ἄλλα ὄντα τῷ εἴδει. εἰ δέ ἐςιν ἀναγκαῖον τοῦτο, ἀριθμῷ ὡρίσθ τὰς τῶν ὄντων ἀρχάς (οὕτω γὰρ ὐσίαι ἔσονθ· τὰ γὰρ κοινὸν ὐ κυρίως ὐσίαι, διὸ ὐδὲ ἀρχή τε καὶ ςοιχεῖον), ἀναγκαίως δόξουσι κινηθέντες οἱ τὰς ἰδέας ὑποθέμενοι ἐπὶ τοῦτο ἐλθεῖν. καὶ γὰρ εἰ μὴ ἄντικρυς τοῦτο λέγουσι τῷ μὴ διαρθροῦν πάνυ τι τὴν αὐτῶν δόξαν,

ἀλλὰ τοῦτό γε φαίνεται εἶναι τὸ ἀγαγὸν αὐτοὺς ἐπὶ τὸ τὰς ἰδέας τῶν ὄντων ἀρχὰς ὑποτίθεσθαι, τὸ δεῖν τὰς ἀρχὰς οὐσίας τε εἶναι καὶ ὡρισμένας· οὕτω γὰρ οὐσίαι αὐτοῖς αἱ ἀρχαὶ γίνονται, καὶ καθ' αὑτὰς οὐσίαι, καὶ διαφέρουσαι τῶν ἄλλων, οἷς τὸ ἓν κοινῇ τὸ εἶδος καὶ οὐ κοινῇ
5 συμβεβηκός, ὡς δοκεῖ τὰ κοινά· οὐ γὰρ καθ' αὑτὴν ἡ τῶν κοινῶν ὑπόστασις, ἀλλὰ κοινῇ συμβεβηκός. εἰπὼν δὲ ταῦτα καὶ προσαγαγὼν τὸ ὅτι εὔλογον εἶναι τοιαύτας τῶν ὄντων ἀρχάς, ἐπήνεγκεν ὑπομιμνήσκων ἡμᾶς τῶν πρὸς ταύτην τὴν δόξαν ἠπορημένων καὶ ὅλως πρὸς τὸ μίαν ἀριθμῷ τῶν ἀρχῶν ἑκάστην εἶναι. ἐρρέθη γὰρ
10 ὅτι οὐδὲν ἄλλο παρὰ τὰς ἀρχὰς ἔσται· ὧν γὰρ αἱ ἀρχαὶ ἀριθμῷ ὡρισμέναι, ταῦτα ἰσάριθμα ταῖς ἀρχαῖς ἐδείχθη ὄντα, ὥστε οὐκ ἔσται ἄλλα παρὰ τὰς ἀρχάς. ἀλλὰ καὶ ὅσα πρὸς τὰς ἰδέας ἠπορήθη ἐν τῷ πρώτῳ (c. 9), καὶ μᾶλλον ἐκείνων ἂν ἡμᾶς ὑπομιμνήσκοι. id.

15 Ζητεῖ δὲ πότερον τὰ στοιχεῖα καὶ αἱ τῶν ὄντων ἀρχαὶ δυνάμει 60 4.
εἰσὶν ἢ ἐνεργείᾳ· τοῦτο γὰρ σημαίνει διὰ τοῦ "ἤ τινα ἕτερον τρόπον." εἰ μὲν γὰρ ἐνεργείᾳ (τοῦτο γὰρ σημαίνει τὸ "εἰ μὲν γὰρ ἄλλως πως"), ἔσονται τῶν ἀρχῶν ἀρχαί, ὥς φησι, καὶ πρότερόν τι ἔσται τῶν ἀρχῶν· τοῦτο δὲ ἄτοπον. τί δὲ ἔσται πρότερον ἢ τὸ δυνάμει; δοκεῖ γὰρ ἐπὶ τοῦ αὐτοῦ
20 πρῶτον εἶναι τὸ δυνάμει τῆς ἐνεργείας, ὥστε ἡ τῆς κατ' ἐνέργειαν αἰτίας καὶ ἀρχῆς δύναμις πρότερον ἔσται τῆς ἀρχῆς οὔσης γε κατ' ἐνέργειαν· τὸ γὰρ δυνατὸν οὐκ ἀναγκαῖον ἤδη καὶ ἐνεργείᾳ εἶναι. ὥστε εἰ μὴ ἀντιστρέφει ἀλλὰ τοῦ μὲν ἐνεργείᾳ ὄντος προηγεῖται ἡ δύναμις, καὶ παντί γε τῷ δυνατῷ ἕπεται ἐνέργεια, προτέρα ἡ δύναμις ἔσται.
25 πάνυ δὲ βραχέως ἡρμήνευσε συνάψας τῷ "πρότερον γὰρ ἡ δύναμις ἐκείνης τῆς αἰτίας· τὸ δὲ δυνατὸν οὐκ ἀναγκαῖον ἐκείνως πᾶν ἔχειν," τουτέστιν ἐνεργείᾳ εἶναι. τὸ δὲ "ἐκείνης τῆς αἰτίας" εἶπεν ἀντὶ τοῦ ἐκείνης τῆς ἀρχῆς, ἥτις ἦν ἡ κατ' ἐνέργειαν. λαβὼν δὴ τὸ "πρότερον μὲν γὰρ ἡ δύναμις ἐκείνης τῆς αἰτίας" τὸ εἴ τι ἐνεργείᾳ ἐστὶ
30 πρότερον τὸ δυνάμει ἐσχηκέναι, ἐπάγει, εἰ δέ τις θήσεται τὰ στοιχεῖα δυνάμει εἶναι καὶ μὴ ἐνεργείᾳ, τούτῳ ἀκολουθήσει τὸ ἐνδέχεσθαι μηδὲν ὅλως εἶναι· δύναται γὰρ εἶναι τὸ μήπω ὄν, ὥστε καὶ ἀρχαὶ εἰ δυνάμει εἰσί, δύνανται καὶ μὴ εἶναι· εἰ δὲ αὗται μὴ εἶεν, οὐδὲ τὰ ἐξ αὐτῶν. ὅτι δὲ δυνατὸν εἶναι καὶ τὸ μὴ ὄν, ἔδειξεν, εἰ τὸ γινόμενον οὐκ ἔστιν·

τοῦτο γὰρ εἶπε διὰ τοῦ "γίγνεται μὴ γὰρ τὸ μὴ ὄν." τὸ δὲ δυνατὸν οὐκ ἔστιν· εἰ γὰρ τὸ γινόμενον οὐκ ἔστι, τὸ δυνατὸν οὐκ ἔστιν. ἔλαβε δὲ τὴν δευτέραν πρότασιν διὰ τὸ "οὐθὲν δὲ γίγνεται τῶν εἶναι ἀδυνάτων." τοῦτο γὰρ ἴσον τῷ τὸ δυνάμει καὶ τὸ δυνατὸν τὸ γινόμενον εἶναι. ἐπὶ τούτοις πάλιν μέμνηται τῆς πρόσθεν ἤδη ῥηθείσης ἀπορίας· ἔστι δὲ 5 αὕτη, πότερον τὰ στοιχεῖα καὶ αἱ ἀρχαὶ τῶν ὄντων καθόλου εἰσὶ καὶ κοινά τινα ἢ καθ' ἕκαστα· καὶ προσίθησιν ἄλλην ἀπορίαν παρὰ τὴν ῥηθεῖσαν τότε. ἡ μὲν γὰρ οὐσία ὑποκείμενον καὶ τόδε ἀλλ' οὐ τοιόνδε· οὐ γὰρ τὰ τῶν οὐσιῶν γένη καὶ εἴδη τόδε τι σημαίνει, ἀλλὰ περὶ οὐσίαν τὸ ποιὸν ἀφορίζει, ὡς εἶπεν ἐν Κατηγορίαις (c. 5). ὅτι δὲ μὴ ἔστι 10 τὸ κοινόν, οὕτως δείκνυσιν. εἴ τις λέγει τὸ κοινὸν τόδε τι εἶναι καὶ ὑπὸ ἔκθεσιν καὶ δεῖξιν πίπτειν, ὡς ὁ Σωκράτης καὶ ἡ ἄτομος οὐσία, πολλὰ ἔσται ζῷα κατ' ἀριθμόν. id.

60 16. ἢ τοῦτό ἐστι τὸ εἰρημένον. ἀλλ' εἴ τις τὸ καθόλου ἀξιώσαι τοιοῦτον εἶναι ὡς μὴ τοιόνδε σημαίνειν ἀλλὰ τόδε τι καὶ οὐσίαν καὶ εἶναι 15 τοιοῦτον ὡς τὰ τῇ ἐκθέσει δηλούμενα. εἶπεν οὖν καὶ ἐκθέσθαι τὸ κοινῇ κατηγορούμενον, τοιοῦτον δὲ τὸ καθόλου· διὸ εἰκότως νῦν ἐπὶ τὸ ἕτερον μόριον τῆς ἀπορίας μεταβαίνων οὕτως εἶπεν. id.

60 25. ἀλλὰ σχεδὸν πάντα ταῦτα διαλεκτικοῖς ἐπιχειρήμασι χρώμενος, ὡς καὶ ὁ ὑπομνηματιστὴς Ἀλέξανδρος ἐπεσημήνατο, διεξῆλθεν ὁ φιλόσοφος. τὸ δὲ ἑκκαιδέκατον ἐν τῇ ἐκθέσει τῶν προβλημάτων σκέμμα, πότερον κινοῦνται ἢ ἀκίνητοί εἰσιν αἱ ἀρχαί, οὐδ' ἐγύμνασεν ἐν τούτοις. προθεὶς τοίνυν ἑπτακαίδεκα προβλήματα, καθ' ἣν ἐξεθέμεθα τάξιν, τὸ μὲν ἕκτον καὶ τὸ ἑκκαιδέκατον οὐκ εἰργάσατο κατὰ τὴν εἰς ἑκάτερα ἐπιχείρησιν, τὸ μὲν ἕκτον, ὅτι πρὸς ταῖς ἤδη ῥηθείσαις αἰτίαις καὶ προείληπτο· ζητήσας γὰρ εἰ μὴ μόνων τῶν οὐσιῶν ἀλλὰ καὶ τῶν καθ' αὑτὰ συμβεβηκότων αὐταῖς ὁ πρῶτος φιλόσοφος ἐπιστήμων ἐστίν, ἐζήτησε τρόπον τινὰ καὶ εἰ περὶ ταὐτοῦ καὶ ὁμοίου καὶ ἴσου καὶ τῶν ἀντικειμένων τούτοις διαλήψεται· ταῦτα γὰρ ἦν τὰ καθ' αὑτὰ τὰ συμβεβηκότα τῷ ὄντι ᾗ ὄν. τὸ δὲ ἑκκαιδέκατον, ὅτι πανταχοῦ συγχωρήσας τὰ μὲν εἶναι φθαρτὰ τῶν ὄντων τὰ δὲ ἀΐδια, εἶχεν ἐξ ἀνάγκης ἑπόμενον τὸ τὰς μὲν τῶν ἀρχῶν κινεῖσθαι, τὰς δὲ εἶναι ἀκινήτους. δῆλον δὲ ποτέρας ποτέρων· ὅτι γὰρ ἀμφοῖν οὐχ αἱ αὐταί, μετρίως ἐπέστησε. ταῖς δὲ

λοιπαῖς δεκαπέντε προθεὶς τὸ ἐν τῇ ἐξεργασίᾳ τῶν προβλημάτων δ' ἐπὶ δεκάτῳ πρὸς τὰς ἰδέας ἐνιςάμενον, τὰ πάντα δέκα καὶ ἓξ εἰς γυμνασίαν προήγαγε λογικήν, ὧν τὰ μὲν ἐν τῷ Γ διαίτης ἀξιώσει, τὰ δὲ ἐν τῷ Ζ Η Θ Ι, τὰ πλεῖςα δὲ ἐν τῷ Λ. πρὸς δὲ
5 τὰς ἰδέας καὶ τοὺς ἀριθμοὺς ἐν τοῖς τελευταίοις δύο βιβλίοις, τῷ γε Μ καὶ τῷ Ν, διαλεχθῆναι πειράσεται. Syrian.

λαμβάνει τὸ δεῖν τὰς ἀρχὰς τὰς πρώτας καὶ τὰς ἀκροτάτας 61 5.
αἰτίας, ἃς νῦν φησὶν εἶναι τὰς ζητουμένας ὑπ' αὐτοῦ, τουτέςιν ὑπὸ τοῦ σοφοῦ τε καὶ πρώτου φιλοσόφου, φύσεώς τινος ἀρχὰς εἶναι καθ'
10 αὐτὸ καὶ μὴ κατὰ συμβεβηκός· πᾶσα γὰρ ἀρχὴ καὶ πᾶν αἴτιον τινός ἐςι, καὶ αὕτη γε κυρίως ἀρχὴ καὶ αἰτία ἡ καθ' αὐτὸ ὅσά τινος καὶ μὴ κατὰ συμβεβηκός· ὥςε καὶ αἱ πρῶται ἀρχαί, μάλιςα ὅσαι ἀρχαί, φύσεώς τινος ἂν εἶεν ἀρχαὶ καθ' αὐτὸ καὶ οὐ κατὰ συμβεβηκός. τῶν μὲν οὖν καθ' ἕκαςα ἐπιζητῶν οὐδενὸς αἱ τοιαῦται ἀρχαί· οὐδενὸς γὰρ τούτων αἱ
15 ἀρχαὶ πρῶταί εἰσιν ἀρχαί· ἄλλαι γὰρ ἑκάςου τούτων ἀρχαί. σημεῖον δὲ τὸ τὰς περὶ αὐτῶν ἐπιςήμας ἔχειν μὲν αὐτῶν τὰς ἀρχάς, ἄλλας δὲ καὶ μὴ ταύτας ἔχειν. ἄλλου τινὸς ἄρα ἀρχαὶ αἱ πρῶται ἀρχαὶ καὶ ἀκρότατα. τίνα δὲ τὰ κατὰ συμβεβηκὸς αἴτια καὶ τίνα τὰ καθ' αὐτά, ἔδειξεν ἐν τῇ Φυσικῇ Ἀκροάσει (2 3)· τά τε γὰρ μὴ καθ'
20 αὐτό τινος ὄντα μηδὲ πρώτως, ἀλλὰ κατὰ τὴν ἐπ' ἄλλο ἀναφοράν. Alex.

τὰ δὴ πρῶτα αἴτια ὅτε κατὰ τὸν δεύτερον τρόπον τοῦ κατὰ συμβεβηκὸς αἴτια οἷόν τε τοῦ ὄντος λέγειν (οὐ γὰρ οἷόν τε πρῶτα αὐτὰ αἴτια ὄντα μὴ αἴτια εἶναι) ὅτε κατὰ τὸν πρῶτον τρόπον· εἰ γὰρ κατὰ συμβεβη-
25 κὸς τοῦ ὄντος ἢ ὄν, ἄλλου τινὸς ἐπαναβεβηκότος ἔςαι καθ' αὐτό· ἀλλ' οὐδὲν ὑπὲρ τὰ ὄντα. τὰ πρῶτα ἄρα αἴτια καθ' αὐτὸ αἴτιά τέ ἐςι τοῦ ὄντος ἢ ὄν. id.

ὃ συνέςησε τοιούτῳ χρησάμενος λόγῳ. ὥσπερ οἱ τὰ ςοι- 61 7.
χεῖα τῶν ὄντων ζητοῦντες τὰς τοιαύτας ἀρχὰς ἐζήτουν καὶ τὰ τοιαῦτα
30 αὐτῶν ςοιχεῖα ἃ καθ' αὐτὰ ἦν αὐτῶν ςοιχεῖα ἀλλ' οὐ κατὰ συμβεβηκός, οὕτω καὶ ἡμῖν ζητοῦσι τὰς τοῦ ὄντος πρώτας ἀρχὰς καὶ τὰ αἴτια δεῖ τοιαῦτα ζητεῖν ἃ κυρίως καὶ καθ' αὐτό εἰσιν αὐτοῦ ἀρχαί. ἡ δὲ λέξις ἀσαφῶς ἔχει διὰ τὴν συντομίαν. id.

61 12. τίθεῖ οὖν τὸ ὂν διαιρεῖας εἰς τά τε ὁμώνυμα καὶ τὰ συνώνυμα, καὶ τὰ ἀφ' ἑνός τινος ἢ πρὸς ἓν λεγόμενα. ἣ διαιρέσει προχρησάμενος δείξει τὸ ὂν μήτε γένος ὂν τῶν καθ' ὧν κατηγορεῖται (ἔχει γάρ τινας ἀπορίας τὸ οὕτω λέγειν, ὡς δείκνυσιν ἐν πολλοῖς) μήτε ὁμώνυμον (καὶ γὰρ καὶ τὸ τοῦτο λέγειν ἀπορίας τινὰς ἔχει), 5 μεταξὺ δὲ εἶναι τῶν τε ὁμωνύμων καὶ τῶν συνωνύμων· εἶναι γὰρ μεταξὺ αὐτῶν τὰ ἀφ' ἑνὸς καὶ πρὸς ἓν λεγόμενα, ὧν ἐστὶ καὶ τὸ ὄν. διαφέρει δὲ τὰ οὕτω λεγόμενα ἐκείνων ἑκατέρου, ὅτι τὰ μὲν συνώνυμα καὶ ὑπό τι κοινὸν γένος καὶ ἰσοτίμως καὶ ὁμοίως πάντα τῆς ὑπὸ τοῦ κατηγορουμένου γένους αὐτῶν δηλουμένης οὐσίας κοινωνεῖ τε καὶ 10 μετέχει, τὰ δέ γε ὁμώνυμα οὐδενὸς κοινωνεῖ ἀλλήλοις ἄλλου κατὰ τὸ κοινῶς κατηγορούμενον αὐτῶν ὄνομα ἢ τοῦ ὀνόματος μόνου, εἴγε ὁμώνυμά ἐστιν ὧν ὄνομα μόνον κοινόν, ὁ δὲ κατὰ τοῦνομα λόγος τῆς οὐσίας ἕτερος (Categor. 1). τὰ δὲ ἀφ' ἑνός τε καὶ πρὸς ἓν λεγόμενα οὔτε τὴν τῶν συνωνύμων ἰσοτιμίαν πρὸς τὸ κατηγορούμενον 15 σώζει πρὸς ἄλληλα, οὔτε πάλιν ἔχει τὴν τῶν ὁμωνύμων ἄκρατόν τε καὶ ἄμικτον ἑτερότητα, ἀλλ' ἔστι τις αὐτοῖς κοινωνία κατὰ τὸ εἶναι ταῦτα ἃ λέγεται τῷ εἶναί τινα φύσιν ἐκείνου τοῦ πράγματος, καὶ ταύτην ἐν τούτοις πως ἑωρᾶς πᾶσιν, ἀφ' οὗ ὄντα ἢ πρὸς ὃ λόγον ἔχοντά τινα διὰ τοῦτο καὶ τοῦ ὀνόματος κεκοινώνηκεν αὐτοῦ. τὴν 20 δὲ τοιαύτην φύσιν ἐν ἄλλοις μὲν ὑπὸ τὰ ὁμώνυμα κοινότερον ἐτίθει· ἐνταῦθα δὲ ἐπιμελεστέραν ποιούμενος τὴν διαίρεσιν διαφέρειν τε αὐτήν φησι τῶν ὁμωνύμων, καὶ τίνι διαφέρει λέγει. id.

61 19. τὸ δὲ "ὁμοιοτρόπως δὲ καὶ ἄλλα ληψόμεθα" ἤτοι εἴρηκεν ἐπὶ τῶν τοῦ ἰατρικοῦ παραδειγμάτων, ἢ ὅτι καὶ ἄλλα ἔστιν ὁμοίως τούτοις 25 πρὸς ἓν καὶ μίαν φύσιν λεγόμενα λαβεῖν· δόξει γὰρ καὶ τὸ ἀγαθὸν τούτων εἶναι καὶ τὸ σχῆμα καὶ ὁ ἀριθμός. ὁμοίως δὲ τούτοις φησὶν ἔχειν καὶ τὸ ὄν· λέγεας μὲν γὰρ καὶ αὐτὸ πολλαχῶς καὶ μὴ ὑφ' ἓν γένος εἶναι, ὡς καὶ τὰ προειρημένα, οὐ μὴν ἤδη καὶ ὁμωνύμως· οὐ γὰρ μόνα τὰ ὁμώνυμα τῶν πολλαχῶς λεγομένων ἐστίν, ἀλλὰ καὶ τὰ 30 ἀφ' ἑνὸς καὶ πρὸς ἕν. καὶ ὡς ἔχει τά γε προειρημένα, οὕτως ἔχει καὶ τὸ ὄν. ὂν γὰρ λέγεται κυρίως μὲν ἡ οὐσία, λέγεται δέ γε ὄντα καὶ τὰ τῇ οὐσίᾳ συμβεβηκότα, ἅ ἐστι τὰ ἐννέα γένη. οὐ μὴν αὐτὸς οὕτως νῦν χρῆται τοῖς παραδείγμασιν, ἑκάστου γένους ἓν τιθείς, ἀλλὰ δι' αὐτῶν

ἐξαρίθμησίν τινα τῶν ὑπαρχόντων τῇ ὑσίᾳ καὶ δι' αὐτὴν ὄντων καὶ δι' αὐτὴν λεγομένων ποιεῖ, ὧν πολλὰ καὶ ὑφ' ἓν γένος καὶ τὴν αὐτήν ἐςι κατηγορίαν. καὶ εἴη ἂν τῇ πρώτῃ διαιρέσει τῶν ἐν ταῖς Κατηγορίαις (c. 2) τοῦ ὄντος γεγονυιῶν μᾶλλον χρησάμενος, καθ' ἣν διαιρεῖ τὰ ὄντα εἰς ὑσίαν καὶ συμβεβηκότα. id.

ποιητικὰ δὲ καὶ γεννητικὰ ὑσίας ἤτοι ὡς ἐν εἴρηκε, καὶ εἶεν ἂν τοιαῦτ αἱ ἐνέργειαι δι' ὧν ἡ γένεσις τῶν ὑσιῶν (τὸ γὰρ σπέρμα καθ' αὐτὸ ὑσία), ἢ τὸ ποιητικὸν ὡς ἄλλο τοῦ γεννητικοῦ, καὶ εἴη ἂν τοιαῦτα ὅσα αἴτια τοῦ μεταβάλλειν τινὰ εἰς ὑσίαν, ὡς τὸ θερμαίνεσθαι γενέσεως τινῶν ζῴων αἴτιον. id. 61 24.

τυτέςι τῶν τῇ ὑσίᾳ συμβεβηκότων, ἃ λέγεται ὄντα τῷ πρὸς ὑσίαν πως ἔχειν. id. 61 25.

λέγων τύτων μέν τινος τῶν τῇ ὑσίᾳ ὑπαρχόντων, "ἡ ὑσίας" δὲ αὐτῆς τῆς ὑσίας. ἐνδείκνυται δὲ τὴν τῆς ὑσίας ἰσχὺν πρὸς τὸ εἶναί τε καὶ τὸ ὄν· καὶ γὰρ αἱ ἀποφάσεις αὐτῆς τε τῆς ὑσίας καὶ τῶν τῇ ὑσίᾳ ὑπαρχόντων, καίπερ ἀναιρετικαὶ οὖσαι τύτων ὧν εἰσὶν ἀποφάσεις, ὅμως, ἐπεὶ σχέσιν ἔχυσί τινα πρὸς ὑσίαν, λέγονται ὄντα. id.

καθ' ἓν μὲ λεγόμενα λέγει τὰ συνώνυμα καὶ ὑφ' ἕν τι κοινὸν τεταγμένα γένος. ὑ μόνον δέ, φησί, τῶν ὕτως ἐχόντων πρὸς ἄλληλα μία ἐπιςήμη, ἀλλὰ καὶ τῶν ἀφ' ἑνὸς καὶ πρὸς ἕν. τρόπον δέ τινα καὶ ταῦτα πρὸς μίαν φύσιν τὴν ἀναφορὰν ἔχοντα καθ' ἓν λέγεται, καθ' ὅσον ἐν πᾶσί πως αὐτοῖς ὁρᾶται ἡ φύσις αὕτη, ἀφ' ἧς καὶ δι' ἣν ὕτως καλεῖται, εἰ καὶ μὴ ὁμοίως καὶ ἐπίσης αὐτῆς πάντα μετέχει. id. 61 29.

λαβὼν ὅτι τῶν πολλαχῶς λεγομένων ὡς ἀφ' ἑνός τε καὶ πρὸς ἓν ἐπιςήμη μία, ἐξῆς δείκνυσιν ὅτι ἐν τοῖς ὕτως ἔχυσιν, ἐν οἷς τὸ μὲ πρῶτόν τί ἐςι καὶ κυρίως λεγόμενον, τὰ δὲ ἀπ' ἐκείνυ, ὡς ἔχει ἐν τοῖς ἀφ' ἑνὸς καὶ πρὸς ἓν λεγομένοις, τοῦ πρώτυ κυρίως καὶ μάλιςά ἐςιν ἡ περὶ ἐκείνην τὴν φύσιν καταγινομένη ἐπιςήμη. id. 62 2.

γένυς μὲ κοινότερον λαμβάνων ἀντὶ τοῦ φύσεως μιᾶς· γένη γὰρ κοινότερον πάντα ὅσα κατά τινα μίαν φύσιν κεκοινώνηκεν ἀλλήλοις· τοιαῦτα δὲ καὶ τὰ ἀφ' ἑνός τινος τὸ εἶναι ἔχοντα. καὶ γὰρ ἐν τοῖς αἰθητοῖς πάντων τῶν τῆς αὐτῆς φύσεως τῷδέ τινι, ὅ 62 5.

ἐςὶν ἥδε ἡ αἴσθησις ἀντιληπτική, κεκοινωνηκότων ἡ αὐτὴ αἴσθησις ἀντιλαμβάνε). id.

62 7. δείξας ὅτι μιᾶς ἐςὶν ἐπιςήμης ἡ περὶ παντὸς τοῦ ὄντος ᾗ ὄν θεωρία, ἥτις ἐςὶ σοφία τε καὶ φιλοσοφία (εἴρη) δὲ ὅτι μιᾶς ἐςὶ τῷ γένει, τυτέςι μιᾶς καὶ τὸ γένος ἐπιςήμης, ὅσα εἴδη καὶ ὅσαι διαφοραὶ τοῦ ὄντος ᾗ ὂν θεωρῆσαι), ἐπήνεγκε τὸ "τὰ δὲ εἴδη τῶν εἰδῶν·" ὡς γὰρ ἔχει τὸ γένος τὸ ἐπιςητὸν πρὸς τὰ ὑπ' αὐτὸ εἴδη, οὕτω καὶ τὸ γένος τῆς τούτου ἐπιςήμης πρὸς τὰ εἴδη τὰ αὐτῆς· καὶ ἐναλλὰξ ἄρα, ὡς τὸ γένος τὸ ἐπιςητὸν πρὸς τὸ γένος τῆς οἰκείας ἐπιςήμης, οὕτω καὶ τὰ εἴδη τοῦ ἐπιςητοῦ πρὸς τὰ εἴδη τῆς ἐπιςήμης. id.

62 9. διὰ δὲ τῶν νῦν εἰρημένων δέδειχε) ὅτι τῆς πρώτης φιλοσοφίας ἡ εἰς τὰ γένη τοῦ ὄντος διαίρεσις, ὃ πεποίηκεν αὐτὸς ἐν ταῖς Κατηγορίαις. ἅμα δὲ καὶ ἐνεδείξατο ἡμῖν διὰ τούτων καὶ πῶς ἐςὶ μία ἐπιςήμη ἡ φιλοσοφία· τῷ γὰρ καθόλου. εἴδη δὲ αὐτῆς ὅσα τὰ τοῦ ὄντος· εἴδη γὰρ αὐτῆς ἥ τε πρώτη φιλοσοφία, ἥτις καὶ κυρίως σοφία καλεῖ), ὅσα ἐπιςήμη τῶν ἀϊδίων τε καὶ ἀκινήτων καὶ θείων. ἡ μὲν γὰρ σοφία ἐςὶν ἡ καθόλου τε καὶ πρώτη, εἴγε αὐτή ἐςιν ἡ περὶ τὸ ὂν ᾗ ὂν ἀλλ' οὐ τὶ ὄν· ἔςι δὲ ὑπὸ ταύτην ἡ μέν τις πρώτη φιλοσοφία ἡ περὶ τὰς πρώτας οὐσίας, ἡ δὲ φυσικὴ ὅσα περὶ τὰ φυσικά, ἐν οἷς ἤδη κίνησις καὶ μεταβολή, ἡ δέ τίς ἐςι τῶν πρακτῶν θεωρητική· τοιαῦτα γὰρ καὶ τῶν ὄντων τινά. id.

δι' ὧν δὲ εἴρηκέ τε καὶ κατεσκεύασε, λέλυκεν ἀπορίας τῶν ἐν τῷ Β βιβλίῳ ῥηθεισῶν, τήν τε εἰ τῆς αὐτῆς ἐπιςήμης ἐςὶ περὶ τῶν οὐσιῶν πασῶν τὴν θεωρίαν ποιεῖ) ἡ ἄλλη ἄλλης οὐσίας ἐςὶν ἐπιςήμη, ἔτι καὶ τὴν εἰ τῆς αὐτῆς ἐςὶ περί τε τῆς οὐσίας θεωρεῖν καὶ τῶν συμβεβηκότων αὐτῇ. ἀλλ' εἰ δέδειχε) ὅτι τῆς αὐτῆς τῷ γένει περί τε πασῶν τῶν οὐσιῶν καὶ ἔτι περὶ τῶν ὑπαρχόντων αὐτοῖς, διὰ τοῦτο τῆς αὐτῆς ἔςαι καὶ ἡ τοῦ τί ἐςιν ἀπόδειξις· οὐδὲν γὰρ κωλύει ὑπὸ τὴν αὐτὴν τῷ γένει ἐπιςήμην εἶναι καὶ τὴν ὁριςικήν, ἥτις τοῦ τί ἐςι θεωρητική, καὶ τὴν ἀποδεικτικήν, ἡ τῶν καθ' αὑτὰ ὑπαρχόντων ἑκάςῳ γένει ἐςὶν ἀποδεικτική. id.

62 10. ὃ γὰρ ἀρχή, τοῦτο καὶ αἴτιον, καὶ ὃ αἴτιον, τοῦτο καὶ ἀρχή, ἄλλος μέντοι λόγος αὐτοῦ καὶ ἄλλη ἐπιβολὴ τῆς διανοίας καθὸ ἀρχὴ λέγε)

καὶ ἄλλος καθὸ αἴτιον (ἡ μὲν γὰρ ἀρχὴ καθὸ πρῶτόν ἐστι τοῦ οὗ ἐστὶν ἀρχή, καὶ καθὸ ἐξ αὐτοῦ τὰ ὧν ἐστὶν ἀρχή, τὸ δὲ αἴτιον καθό ἐστι δι' αὐτὸ τὸ οὗ αἴτιον. id.

εἰπὼν δὲ τὸ ὂν καὶ τὸ ἓν ταὐτὰ εἶναι καὶ μίαν τινὰ φύσιν, οὐ 62 11.
μέντοι ὡς ἑνὶ λόγῳ δηλούμενα, ἐπήνεγκεν ὅτι "διαφέρει δὲ οὐδέν" οὐδ' ἂν κατὰ τὸν λόγον αὐτὰ ταὐτὰ ὑπολάβωμεν εἶναι, μὴ μόνον κατὰ τὴν ὑποκειμένην φύσιν, ὡς εἶναι τῶν πολυωνύμων τὸ ὑποκείμενον αὐτοῖς, ὧν πλείω μὲν ὀνόματα καθ' ἕκαστον δὲ τῶν ὀνομάτων ὁ αὐτὸς λόγος, ὡς φασγάνου καὶ μαχαίρας, καὶ λωπίου καὶ ἱματίου· τὸ γὰρ λαβεῖν αὐτὰ καὶ κατὰ τὸν λόγον εἶναι ταὐτὰ πρὸ ἔργου μᾶλλον ἡμῖν πρὸς τὸ προκείμενον. id.

εἰπὼν δὲ ὅτι τὸ εἷς ἄνθρωπος καὶ τὸ ὢν ἄνθρωπος ταὐτὸν ἑκάτε- 62 13.
ρον αὐτῶν ἐστὶ τῷ ἄνθρωπος, καὶ διὰ τοῦτο καὶ ἀλλήλοις, καὶ ὅτι τὸ ὢν καὶ τὸ εἷς ἐπὶ τοῦ ἀνθρώπου τὸ ὡς οὐσίαν ἓν σημαίνει, δείκνυσι διὰ τοῦ λαβεῖν ὅτι τὸ εἷς ἐστὶν ἄνθρωπος οὐχ ἕτερόν τι σημαίνει τοῦ ἔστιν ἄνθρωπος ἁπλῶν. τὸ δὲ ἔστιν ἄνθρωπος τὸ ὡς οὐσίαν εἶναι τὸν ἄνθρωπον δηλοῖ, καὶ τὸ ἔστιν ἄρα εἷς ἄνθρωπος τὸ ὡς οὐσίαν σημαίνει, ὥστε καὶ τὰ τούτῳ ἴσον δυνάμενα τό τε ὢν ἄνθρωπος καὶ εἷς ἄνθρωπος. τὸ δὲ ὡς οὐσίαν ὂν καὶ ὡς οὐσίαν ἓν σημαίνει. ἢ ὃ λέγει ἐστίν· ἐπεὶ τὸ ὂν καὶ τὸ ἓν ταὐτά, καὶ ὁ τὸ ἔστι τινὸς κατηγορῶν τὸ ὂν αὐτοῦ κατηγορεῖ, ὁ λέγων "ὢν ἐστιν ἄνθρωπος" ἢ πάλιν "ἓν ἐστιν ἄνθρωπος" ἐπαναδίπλωσίν τινα ποιεῖ τοῦ ἔστι, διὸ ἑκάτερον τούτων ἴσον ἐστὶ τῷ ἔστιν ἄνθρωπος· οὐ γὰρ θάτερόν τι κατὰ τὴν λέξιν δηλοῖ τὸ ἐπαναδιπλούμενον τῷ ἁπλῶς λεγομένῳ, ὡς ἔδειξε διὰ τοῦ παραδείγματος, ἐπαναδίπλωσιν ποιησάμενος τοῦ ἄνθρωπος. ἐπεὶ γὰρ τὸ ἓν τῷ ὄντι ταὐτόν, ὁ λέγων "εἷς ἐστὶν ἄνθρωπος" ἐπαναδιπλοῖ καὶ δὶς λέγει τὸ ἔστι καὶ τὸ ἕν, ὡς καὶ ὁ λέγων "ἔστιν ἄνθρωπος ἄνθρωπος" ἐπαναδιπλοῖ τὸν ἄνθρωπον. δείξας δὲ ἐπὶ τοῦ ἀνθρώπου ταὐτὸν δυνάμενα τό τε ἓν καὶ τὸ ὂν καὶ μὴ χωριζόμενα ἀλλήλων (ὑπὸ γὰρ τοῦ αὐτοῦ ἥ τε οὐσία καὶ τὸ ἓν σημαίνει) τὸ ἐν αὐτῇ), φησὶν ὅτι "οὐ χωρίζει" 62 16.
ἀλλήλων "οὔτε ἐπὶ γενέσεως οὔτε ἐπὶ φθορᾶς" τὸ ὂν καὶ τὸ ἕν· ὡς γὰρ ἕκαστον αὐτῶν ὄν ἐστιν, οὕτω καὶ ἕν. ἅμα γὰρ τό τε ὂν καὶ τὸ ἓν ἑκάστου κατηγορεῖ· καὶ γὰρ τούτων ἕκαστον ὡς ὂν οὕτω καὶ ἕν. τῷ δὲ "ὁμοίως δὲ καὶ ἐπὶ τοῦ ἑνός" προσθετέον τὸ ἔχει· ὡς γὰρ ἐπὶ τοῦ ὄντος ἔχει ἡ

κατηγορία, ὅτω καὶ ἐπὶ τοῦ ἑνός. ἢ δείξας ὅτι μηδὲν διαφέρει τὸ ἔστιν ἄνθρωπος τοῦ εἷς ἐστὶν ἄνθρωπος, προσέθηκεν ὅτι μηδὲ εἰ τὸ γίνεσθαι ἄνθρωπον λέγοιμεν ἢ φθείρεσθαι, ἡ ἐπαναδίπλωσις τοῦ ἀνθρώπου ἄλλο τι ποιήσει τὸ λεγόμενον· ὥστε ὡς τοῦ ἔστιν ἢ τοῦ γίνεσθαι ἢ τοῦ φθείρεσθαι προσασσομένου ὁ γίνεται τὰ σημαινόμενα διαφέροντα ἐπαναδιπλουμένου τοῦ ἀνθρώπου, ὅτως οὐδ' ἂν τὸ ἓν τοῦ ἀνθρώπου προσαχθῇ ἄλλο τι ἔσται σημαίνουσα ἡ ἐπαναδίπλωσις τοῦ κατηγορουμένου καὶ ἄλλο εἰ ἅπαξ ῥηθείη. ὡς δὲ τὸ κατηγορούμενον ὁ ἄνθρωπος δὶς λαμβανόμενον οὐ ποιεῖ διαφοράν, ὅτως οὐδὲ τὸ τοῦ ὑποκειμένου χώραν ἔχον· τοῦτο δέ ἐστι τὸ "ἕν ἐστιν." id.

62 20. καὶ ὅτω δείκνυσιν εἰ τὸ καθὸ τὸ αὐτὸ εἶναι ἑκάστῳ ἐστὶν ἕν, τοῦτό ἐστι καὶ κυρίως καὶ οὐ κατὰ συμβεβηκός· οὐ γὰρ συμβεβηκός ἐστι τῇ ἑκάστου οὐσίᾳ τὸ ἕν, ἀλλὰ κυρίως καθ' αὐτὸ ἓν ἡ ἑκάστου οὐσία. διὸ καὶ ἐν τῷ τί ἐστι τὸ ἓν τῆς ἑκάστου οὐσίας κατηγορεῖται. ὁμοίως δὲ καὶ τὸ ὂν τῇ ἑκάστου οὐσίᾳ οὐ κατὰ συμβεβηκός· ὅπερ γὰρ ὄν τι καὶ ὅπερ ἓν ὁμοίως ἡ ἑκάστου οὐσία, οὐ κατὰ συμβεβηκός. καὶ ὅτως ἂν δεικνύοιτο ταὐτὸν τό τε ἓν καὶ τὸ ὄν. ἢ ὅτως. εἰ ἡ ἑκάστου οὐσία ὁμοίως ἕν τέ ἐστι καὶ ὄν (ἑκάτερον γὰρ αὐτῶν καθ' αὐτὸ ἑκάστου κατηγορεῖται), ὁμοίως ἕν τε καὶ ὂν ἕκαστόν ἐστι, ταὐτόν ἐστι τό τε ὂν καὶ τὸ ἕν· ὡς γὰρ ὄν, καὶ ἕν, καὶ ἅμα τὸ ἕτερον καὶ τὸ ἕτερον. δύναται δὲ τὸ εἰρημένον καὶ τοιοῦτον εἶναι. ὥσπερ ἡ οὐσία ὅπερ ἕν ἐστι καὶ κυρίως ὄν, ὅτω καὶ τὸ ἓν ὅπερ ἓν καὶ κυρίως ἕν, ἀλλ' οὐ κατὰ συμβεβηκός· ὥστε εἴη ἂν καὶ τὸ ἓν ὁμοίως τῷ ὄντι, τὸ μὲν κυρίως τὸ δὲ οὐ κυρίως, καὶ τὸ μὲν πρώτως τὸ δὲ δευτέρως· κυρίως μὲν γὰρ ὂν καὶ ἓν ἡ οὐσία, κατὰ συμβεβηκὸς δὲ ὂν καὶ ἓν ἕκαστον τῶν κατὰ τὴν οὐσίαν ὄντων. δείξας δὲ διὰ τούτων ὅτι ταὐτὸν τό τε ὂν καὶ τὸ ἕν, οὗ χάριν ἔδειξε τοῦτο, ἐπιφέρει λέγων "ὥστε ὅσαπερ" κ. τ. λ. id.

62 21. κοινότερον δὲ εἴδη λέγει τοῦ τε ὄντος καὶ τοῦ ἑνός· ὅτε γὰρ τὸ ὂν ἢ τὸ ἓν κυρίως γένος ὅτε τὰ ὑπ' αὐτὰ εἴδη. ἐν γὰρ τοῖς πολλαχῶς λεγομένοις τὸ κοινὸν κατ' αὐτῶν οὐ γένος, τοιαῦτα δὲ τὸ ὂν καὶ τὸ ἕν· οἷον γάρ πως γένος ἐστὶ τὸ κατηγορούμενον τῶν ἐν οἷς ἐστὶ τὸ πρῶτον καὶ τὸ ὕστερον, σῶζον μέν τινα πρὸς γένος ὁμοιότητα, οὐ μὴν ὂν κυρίως γένος. τίνα δὲ εἴδη τοῦ ἑνός ἐστι, τίθεται ἐφεξῆς, ἃ δῆλον

62 23. ὅτι καὶ τοῦ ὄντος ἢ ὂν λέγει. "λέγω δὲ οἷον περὶ ταὐτοῦ καὶ ὁμοίου καὶ

τῶν ἄλλων τῶν τοιούτων." ἓν γὰρ καὶ τὸ ταὐτὸν καθὸ ταὐτόν, ἑνότης γὰρ κατ' οὐσίαν τὸ ταὐτόν· καὶ τὸ ὅμοιον καθὸ ὅμοιον, ἑνότης γὰρ ἐν ποιότητι ὁμοίως· καὶ τὸ ἴσον, ἑνότης γὰρ καὶ τοῦτο ἐν ποσῷ. διὰ δὲ τούτων δείκνυσιν ὅτι τοῦ φιλοσόφου ἴδιόν ἐστι τοῦ τῆς οὐσίας θεωρητικοῦ τὸ καὶ τί ἐστιν ἕκαστον τούτων θεωρῆσαι, ὃ καὶ αὐτὸ ἐζητεῖτό τε καὶ ἠπορεῖτο ἐν τῷ πρὸ τούτου. id.

ἀναπέμπει δὲ ἡμᾶς περὶ τοῦ γνῶναι ὅτι σχεδὸν πάντα τὰ ἐναντία ὡς εἰς ἀρχὴν ἀνάγει τό τε ἓν καὶ τὸ πλῆθος εἰς τὴν Ἐκλογὴν τῶν Ἐναντίων, ὡς ἰδίᾳ περὶ τούτων πραγματευόμενος. εἴρηκε δὲ περὶ τῆς τοιαύτης ἐκλογῆς καὶ ἐν τῷ δευτέρῳ περὶ τἀγαθοῦ. id. 62 25.

καὶ εἴη ἂν ἀκόλουθος ἡ λέξις αὕτη τῇ πρὸ ὀλίγου εἰρημένῃ, τῇ "εἰ οὖν τοῦτ' ἐστὶν ἡ οὐσία, τῶν οὐσιῶν ἂν δέοι τὰς ἀρχὰς καὶ τὰς αἰτίας ἔχειν τὸν φιλόσοφον·" ταύτῃ γὰρ ἀκολουθεῖ τὸ καὶ "τοσαῦτα μέρη φιλοσοφίας ὅσαιπερ αἱ οὐσίαι." διὸ καὶ ἦν ἂν σαφέστερα τὰ λεγόμενα, εἰ ἦν ἡ λέξις αὕτη κειμένη πρὸ τῆς "εἰ δὴ τὸ ὂν καὶ τὸ ἓν ταὐτόν," συνάπτουσα τῇ "διὸ καὶ τοῦ ὄντος τὰ εἴδη θεωρῆσαι μιᾶς ἐστὶν ἐπιστήμης τῷ γένει, τὰ δὲ εἴδη τῶν εἰδῶν·" ἀκόλουθον γὰρ τούτῳ τὸ "καὶ τοσαῦτα μέρη φιλοσοφίας ἐστὶν ὅσαι περ αἱ οὐσίαι." ἦν δὲ ἐν τοῖς ἠπορημένοις καὶ τοῦτο, ὡς προεῖπον ἤδη, πότερον μία περὶ πάσας οὐσίας εἴη ἢ πλείονές εἰσι, κἂν εἰ πλείονες, πότερον συγγενεῖς. id. 62 28.

γράφει καὶ "γένη ἔχον·" εἰ δὲ τοῦτο, οὐκ ἂν εἴη ἓν γένος λέγων τὴν οὐσίαν, ἀλλὰ καὶ αὐτὴν ἔχειν τὸ πρότερον καὶ ὕστερον. ἡ "γένη" λέγει ἀντὶ τοῦ φύσεις διαφερούσας ἀλλήλων· εἰσὶ γὰρ τῶν οὐσιῶν διαφοραί. id. 62 29.

πρώτη μέν, ἂν οὕτω τύχῃ, ἡ περὶ τὰ ἐπίπεδα καταγινομένη, καὶ μετὰ ταῦτα ἡ περὶ τὰ στερεά, εἶτα ἥ τε ἀστρολογική, ὅσα ἡ εἰς τὰ στερεὰ κινούμενα, καὶ μετὰ ταῦτα ἡ μηχανική, ἤδη περὶ γιγνόμενά τε καὶ φθειρόμενα πραγματευομένη), οὕτω καὶ περὶ τῶν οὐσιῶν πρῶτον μὲν αἱ ἀγέννητοί τε καὶ ἄφθαρτοι, ἀσώματοί τε καὶ ἀκίνητοι, περὶ ἃς ἂν εἴη ἡ πρώτη φιλοσοφία· ἡ δὲ περὶ τὰς ἀϊδίους μὲν ἐν κινήσει δὲ δευτέρα, τρίτη δὲ ἡ περὶ τὰς οὐσίας τὰς ἐν γενέσει καὶ φθορᾷ, ἐπειδὴ καὶ αὗται τῶν οὐσιῶν τελευταῖαι. id. 63 3.

τῆς γὰρ αὐτῆς ἐστὶ τό τε στέρησίν τινος εἰδέναι καὶ τὸ ὅ στέρησις, καὶ τὴν ἀπόφασίν τε καὶ τὸ ὅ ἀπόφασις· διὰ γὰρ τούτων ἀμφοτέρων, καὶ διὰ τῆς ἀποφάσεως καὶ διὰ τῆς στερήσεως, ἐκείνου γίγνεται τὴν θεωρίαν ὅ ἐστὶν ἡ ἀπόφασις καὶ ἡ στέρησις. διὰ τοῦτο τῆς αὐτῆς ἐπιστήμης ἐστὶν ἡ ἀμφοτέρων γνῶσις· ὅτε γὰρ τὴν στέρησίν τινος οἷόν τε εἰδέναι ἀγνοοῦντα τὸ ὅ ἡ στέρησις, ὅτε τὴν ἀπόφασιν· ἄρνησις γάρ τις καὶ ἀναίρεσις καὶ ἀπουσία ἀμφότερα ἐκείνου· ἧς γὰρ τὸ τόδε τι θεωρῆσαι, ταύτης καὶ τὴν ἀπουσίαν τὴν ἐκείνου. id.

63 5. ἐξῆς δὲ ᾧ διαφέρει στέρησις ἀποφάσεως προσίθησιν· ἢ γὰρ ἁπλῶς, φησί, λέγομεν ὅτι οὐκ ὑπάρχει ἐκείνῳ ἤ τινι γένει. καὶ τί τούτων ἑκάτερον σημαίνει δεικνὺς ἐπιφέρει· ἡ μὲν γὰρ ἁπλῶς λέγουσα ὅτι οὐκ ὑπάρχει ἐκεῖνο ἀπόφασίς ἐστιν· ἡ γὰρ ἁπλῶς τῷ ἑνὶ τὴν διαφορὰν ἔχουσα προσκειμένην τὴν ἀναιρετικὴν ἀπόφασίς ἐστιν αὐτοῦ κατὰ πάντων ἁπλῶς λεγομένη τε καὶ ἀληθευομένη ἄνευ τοῦ ᾧ προσκεῖται τὸ ἀποφατικόν· τὸ γὰρ οὐκ ἐν κατὰ πάντων ἀληθὲς χωρὶς τοῦ ἑνὸς τοῦ ἐν τῇ ἀποφάσει, ᾧ προσκεῖται τὸ ἀποφατικόν· ὁμοίως καὶ τὸ οὐκ ἄνθρωπος χωρὶς τοῦ ἀνθρώπου, ᾧ προσκεῖται ἡ ἀπόφασις, κατὰ πάντων τῶν ἄλλων ἀληθεύει. id.

63 15. καὶ ὅσα ἄλλα ἀντίκειται καὶ ὑποτέτακται καὶ ἀνάγεται ἤτοι ὑπὸ τὸ ταὐτὸν δηλονότι καὶ τὸ ἀντικείμενον αὐτῷ θάτερον ὡς γενικώτερον ἀντικείμενον, ἢ ὑπὸ τὸ ἴσον τε καὶ ἄνισον ἢ ὑπὸ τὸ ὅμοιόν τε καὶ ἀνόμοιον ἢ ὑπὸ τὸ ἕν τε καὶ πλῆθος, ἃ ἐστι γενικώτατα, τοῦ φιλοσόφου γνωρίζειν. id.

63 25. δύναται τὸ "ἔχειν" καὶ ἀντὶ τοῦ ἔχεται εἰρῆται· τῷ γὰρ ἔχεται ὑπὸ τοῦ κυρίως ὄντος τε καὶ ἑνός, τουτέστι τῆς οὐσίας, καὶ εἶναι ἐν αὐτῇ λέγεται ὄντα τε καὶ ἓν ἕκαστον τῶν συμβεβηκότων αὐτῇ, ὡς τὸ ποσόν τε καὶ ποιὸν καὶ ὅσα ὁμοίως τούτοις ἐν τῇ οὐσίᾳ ἐστίν. οὕτω δὲ καὶ τὸ ταὐτὸν καὶ θάτερον καὶ τὸ ὅμοιον καὶ τὸ ἀνόμοιον ἕξει, ἐπειδὰν αὐτῶν κατηγορῆται τό τε ἴσον καὶ τὸ ἄνισον καὶ τὰ ἄλλα· ταὐτὸν μὲν γὰρ κυρίως ἐπὶ τῶν οὐσιῶν, ὡσαύτως δὲ καὶ ὅμοιον τὸ κατὰ τὸ ἐν οὐσίᾳ εἶδος ῥηθήσεται, καὶ ἐπὶ τῶν ἄλλων τῶν ὅσα ἔχει τὴν πρὸς ἐκεῖνο ὁμοιότητα. τὰ μὲν οὖν τῷ ἔχεται ὑπ' ἐκείνου οὕτως ῥηθήσεται, τὰ δὲ τῷ ἐνεργείᾳ τινὶ εἶναι αὐτοῦ· τῶν γὰρ τῆς οὐσίας ἐνεργειῶν ἑκάστη ὄν τε καὶ ἕν,

ὅτι ἔςιν αὐτὰς ἡ ὑσία ποιῶσα. ὁμοίως πάλιν ἄλλα ὄντα λέγε) τῷ πάθη τὰς ὑσίας εἶναι, ϗ ἄλλα τῷ χέσεις. id.

λέγει δὲ περὶ τῶν σοφιςῶν, οἳ ὑποδυόμενοι τὸ φιλοσόφυ 64 11.
ὄνομα περὶ τῆς ὑσίας, περὶ ἧς οἰκειότατος ϗ προηγύμενος ὁ λόγος τῷ φιλοσόφῳ, ὑδένα ποιῶν) λόγον, περὶ δὲ ἐναντίων ϗ ἀντικειμένων ϗ τῶν πλεοναχῶς λεγομένων ϗ τῶν συμβεβηκότων ϗ τῶν τοιύτων ἡ πᾶσα αὐτοῖς πραγματεία, οἷς πρὸς τὰ σοφίσματα ϗ τὺς ἀγῶνας χρῶν) παρακρυόμενοι τὺς προσδιαλεγομένυς. id.

διὸ ϗ εἰς ἑκάτερον ὁ διαλεκτικὸς ἐπιχειρεῖ, ϗ ἔςι περὶ ὧν 64 29.
ὁ φιλόσοφος ἀποδεικτικός τε ϗ ἐπιςήμων, περὶ τύτων ὁ διαλεκτικὸς πειραςικός, τυτέςι πεῖραν λαμβάνων τῶν προσποιυμένων αὐτὰ εἰδέναι, ὐκ εἰδότων δέ, ἥτις πεῖρα διὰ τῶν ἑπομένων τοῖς κ̄ τὰς ἐπιςήμας γινομένη, ἃ ἐνδέχε) εἰδέναι ϗ τὺς ὐκ ἔχοντας αὐτῶν τὴν ἐπιςήμην, ὐκ ἤδη δείκνυσιν ἐπιςήμονα τὸν χρώμενον αὐτῇ. τῇ δὲ προαιρέσει ὐκ ἂν διαφέροι ὁ διαλεκτικὸς τῦ φιλοσόφυ, ἐφ' ὅσον ϗ ὗτος ἐπ' ὠφελείᾳ τῶν συνόντων τὺς λόγυς δοκεῖ ποιεῖϑ, γυμνασίας χάριν πεῖραν αὐτῶν λαμβάνων, εἴτε ἐπιςήμην ἔχυσιν ὧν λέγυσιν εἴτε ϗ μή. id.

ἔπε) δὲ αὐτῇ διαφερύσῃ τῇ τῦ βίυ προαιρέσει τὸ ϗ τῷ 64 30.
τρόπῳ τῆς δυνάμεως διαφέρειν αὐτῆς τε ϗ τῆς διαλεκτικῆς· ὐδὲ γὰ συλλογιςικὸς ὗτος, ἀλλὰ ϗ ἐν τύτοις τὸ φαίνεϑ μᾶλλον τῦ ἀληθῦς μέτεισιν. id.

"ἔςι — πειραςική. περὶ ὧν, φησίν, ἡ φιλοσοφία ἐπιςήμην τε ἔχει ϗ γνῶσιν, περὶ τύτων τὴν διαλεκτικὴν πειραςικὴν ϗ δι' ἐνδόξων ἐπιχειρητικὴν εἶναι· διὰ τοιύτων γὰ ἡ πεῖρα· ϗ γὰ πρὸς τὸ διελέγξαι πολλάκις τἀληθῆ χρῶν) τῇ πειραςικῇ, ὃ ὐ γίνε) δι' ἀληθῶν τε ϗ ἀποδεικτικῶν, ἀλλὰ διὰ πιθανῶν τε ϗ ἐνδόξων. id.

ὡς γὰ ἀμφοτέρων τύτων δεικτικῶν ἐχρήσατο τῦ περὶ πάν- 65 1.
των τῶν ἐναντίων ἐρεῖν τὸν φιλόσοφον ϗ τῦ τὸ ἕτερον τῶν ἐναντίων ςέρησιν εἶναι. δύνανϑ δὲ ϗ δύο ἐπιχειρήσεις τὸ εἰρημένον εἶναι τῶν αὐτῶν δεικτικαί, πρώτη μὲ ἡ "ἔτι τῶν ἐναντίων ἡ ἑτέρα συςοιχία ςέρησις·" εἰ γὰ τῦ αὐτῦ αὐτά τε εἰδέναι ϗ τὰς ςερήσεις αὐτῶν, ὃ περὶ τῦ ἑτέρυ μέρυς τῶν ἐναντίων θεωρῆσαι τῦ ὑπὸ τὸ ἕν, τύτυ

ἔςαι καὶ τὸ περὶ ἑτέρου, εἴγε ςέρησις ταῦτα ἐκείνων. δευτέρα δ' ἂν ἐπιχείρησις εἴη "καὶ πάντα ἀνάγεῖ εἰς τὸ ὂν καὶ μὴ ὂν καὶ ἓν καὶ πλῆθος·" εἰ γὰρ πάντα τὰ ἐναντία ὑπὸ ταῦτα, ὧν περὶ τούτων, τούτου καὶ περὶ πάντων τῶν ἐναντίων θεωρεῖν. id.

65 6. κατασκευάζων δὲ τοῦτο παρατίθεῖ τὰς τούτων δόξας οἳ τὰς ἀρχὰς ἐναντίας ἔθεντο· οἱ μὲν γὰρ περιττὸν καὶ ἄρτιον, ὡς οἱ Πυθαγορικοί, οἱ δὲ θερμὸν καὶ ψυχρόν, ὡς οἱ μανώσει καὶ πυκνώσει τἆλλα γεννῶντες, ἢ ὡς Παρμενίδης πῦρ καὶ γῆν ςοιχεῖα ποιῶν, οἱ δὲ πέρας καὶ ἄπειρον (εἶεν δ' ἂν οὗτοι οἱ τὸ ἓν καὶ τὴν ἀόριςον δυάδα ἐν ταῖς ἀρχαῖς θέμενοι), οἱ δὲ φιλίαν καὶ νεῖκος, ὡς Ἐμπεδοκλῆς. id.

65 15. μιᾶς δέ φησιν ἐπιςήμης εἶναι τὴν περὶ ἑνός τε καὶ πλήθους θεωρίαν, ἄντε ἢ ταὐτὰ καθ' ἓν λεγόμενον ἑκάτερον αὐτῶν, τουτέςιν ἕνα λόγον ἔχοντα καὶ μίαν φύσιν καὶ ὡς γένη τῶν ἄλλων τῶν ὑπ' αὐτὰ κατηγορούμενα, ἄντε καὶ μὴ οὕτως ἔχῃ ἀλλ' ἢ τῶν πολλαχῶς λεγομένων, ὥσπερ προείρηταί τε καὶ ἀληθές ἐςιν. καὶ γὰρ εἰ πολλαχῶς τὸ ἓν λέγεῖ καὶ κατ' μίαν φύσιν, ὁμοίως δὲ καὶ τὸ πλῆθος, ἀλλ' ὧν πρὸς τὸ πρῶτον καὶ κυρίως ἓν λεγόμενον τὰ ἄλλα ἀναφέρεῖ. πρῶτον δὲ ὥσπερ καὶ ὂν ἡ οὐσία, καὶ πλῆθος δὲ πρῶτον ἐν οὐσίᾳ. εἰπὼν δὲ περὶ τοῦ ἑνός, ὅτι εἰ καὶ πολλαχῶς λέγεῖ, ὁμοίως φησὶ καὶ τὰ τῷ ἑνὶ πολλαχῶς λεγομένῳ ἐναντία ἕξειν· καὶ γὰρ ἐν τούτοις πρὸς τὸ πρῶτον τἆλλα ῥηθήσεῖ. διὰ γὰρ τὸ πρὸς μίαν φύσιν τὴν ἀναφορὰν αὐτῶν εἶναι καὶ ἀφ' ἑνὸς λέγεῖν καὶ πρὸς ἕν τι συντείνειν, ἡ μία ἐςὶν αὐτῶν ἐπιςήμη τοῦ τε ὄντος καὶ τοῦ ἑνός, εἰ καὶ μή ἐςι γένη τε καθόλου ὁμοίως κατ' πάντων τῶν ὄντων κατηγορούμενα, ἀλλὰ μηδὲ φύσεις τινὲς κεχωρισμέναι τῶν τῆδε, οὐχ ὥσπερ τὰ γένη ἐν τοῖς ὧν κατηγορεῖ τὸ εἶναι ἔχει· ἀχώριςα γὰρ τὰ γένη τούτων ὧν ἐςὶ γένη, ἀλλὰ ταῦτα καθ' αὑτὰ τὴν ὑπόςασιν ἔχοντα, ὡς δοκεῖ τοῖς ἰδέας εἰσάγουσιν. id.

65 20. ἴσως δὲ οὐκ εἶναι εἶπε χωριςήν τινα φύσιν τό τε ὂν καὶ τὸ ἕν, τὸ "ἴσως" προθεῖς, ἐπεὶ μὴ νῦν αὐτῷ πρόκειῖ τοῦτο δεικνύναι, μηδέ τι πρὸς τὴν τοῦ προκειμένου κατασκευὴν συντελεῖ αὐτῷ τὸ κατ' διαςάσεως λαμβάνειν ὅτι ἔςι χωριςά. δύναῖ δὲ τὸ "ὥσπερ ἴσως οὐκ ἔςιν" οὐκ ἐπὶ τοῦ χωριςοῦ μόνον εἰρῆθαι, ἀλλὰ καὶ ἐπὶ τοῦ καθόλου τε

καὶ γένους· οὐδὲ γὰρ τοιαῦτα τὸ ὄν τε καὶ ἕν, ἀλλ' ὡς ἐπιφέρει, "τὰ μὲν πρὸς ἓν τὰ δὲ ὡς ἐφεξῆς." διαφέρει δὲ τὰ ἐξῆς τῶν πρὸς ἕν, ἀμφότερα τῶν πολλαχῶς λεγομένων ὄντα, ὅτι τὰ μὲν πρὸς ἓν τῷ ἐκείνῳ τι εἶναι τοῦ ἑνὸς οὕτω λέγεται, τάξιν τινὰ ἔχοντα πρὸς ἄλληλα, ὡς ἐδείχθη τὰ ὑγιεινὰ τὰ ἰατρικὰ τὰ ὄντα· τὰ δὲ τῷ ἐφεξῆς καὶ τοῦτο ἐστὶ τῶν πολλαχῶς λεγομένων μόνον, ὅτι τὸ μὲν πρῶτόν ἐστιν αὐτῶν τὸ δὲ δεύτερον· οὐ γὰρ τῷ τῇ δυάδι ὑπάρχειν ἢ συντελεῖν τι εἰς δυάδα τὰ τρία καὶ τέσσαρα καὶ οἱ ἐφεξῆς εἰσὶν ἀριθμοί· τοὐναντίον γὰρ τὸ οὕτως πρῶτον τοῖς μετ' αὐτὸ συντελεῖ. διὸ ἐπὶ μὲν τῶν οὕτω πολλαχῶς λεγομένων τὰ ὕστερα τελειότερα, ἐπὶ δὲ τῶν πρὸς τὸ ἓν πρὸς τὸ ἓν τὰ ἄλλα ἀναφέρεται. δύναται δὲ τὸ "τὸ δὲ ἐφεξῆς" δηλωτικὸν εἶναι τοῦ ἀφ' ἑνός. διεῖλε γὰρ τὰ οὕτω λεγόμενα πολλαχῶς εἴς τε τὰ ἀφ' ἑνὸς καὶ πρὸς ἕν. id.

λείπει δὲ τῇ λέξει τῇ "καὶ ὅτι οὐ μόνον τῶν οὐσιῶν ἀλλὰ καὶ 65 25.
τῶν ὑπαρχόντων" τῇ οὐσίᾳ καὶ τῷ ὄντι. id.

εἶπε δὲ "περί τε τῶν ἐν τοῖς μαθήμασι καλουμένων ἀξιωμά- 66 2.
των," ὡς τῶν μαθηματικῶν, οἳ καὶ μάλιστα αὐτοῖς προχρῶνται τῷ καὶ ἀποδείξει χρῆται μάλιστα, οὕτω καλοῦντων αὐτά. id.

ὅτι δὲ ἡν ἐν τῷ πρώτῳ σοφίαν ἔλεγε, ταύτην νῦν φιλοσο- 66 21.
φίαν κοινήν τε καὶ πρώτην λέγει, δῆλον καὶ ἐκ τοῦ εἰπεῖν "ἔστι δὲ σοφία τις καὶ ἡ φυσική, ἀλλ' οὐ πρώτη." ἦν γὰρ τῆς πρώτης σοφίας ἡ περὶ τούτων θεωρία, λέγει δὲ νῦν ταύτην εἶναι τὴν φιλοσοφίαν, τὴν αὐτήν τε φιλοσοφίαν λέγει πρώτην καὶ σοφίαν τὴν πρώτην τε καὶ κυριωτάτην. id.

ὅτι περὶ τὰ ἀξιώματα λέγων εἶναι τὸν πρῶτον φιλόσοφον, οὐχ ὡς ἀποδεικνύντα αὐτὸν λέγει ἀλλ' ὡς δεικνύντα ὅτι ἀρχαὶ ἀποδείξεως αἱ ἀρχαὶ ἀναπόδεικτοι, δηλοῖ δι' ὧν ἄρτι λέγει πρὸς τοὺς οἰομένους πάντων ἀπόδειξιν εἶναι, καὶ μηδὲν ἀποδέχεσθαι ἀξιοῦντας ἀληθὲς εἶναι ἄνευ ἀποδείξεως λεγόμενον, περὶ ὧν εἴρηκε καὶ ἐν τοῖς Ὑστέροις Ἀναλυτικοῖς (1 3)· τούτους γάρ φησι δι' ἀπαιδευσίαν τῶν ἀναλυτικῶν ταῦτα λέγειν. id.

τὸ δὲ "δεῖ γὰρ περὶ τούτων ἥκειν ἐπιστάμενος" ἤτοι περὶ τῶν 66 24.
ἀξιωμάτων λέγει, ὡς ταῦτα δεῖ προεπίστασθαί τε καὶ γνωρίζειν, καὶ μὴ ἐν τῷ ἀκούειν αὐτὰ ζητεῖν περὶ αὐτῶν εἴτε οὕτως ἔχει εἴτε

μὴ ὕτως· ἢ ὅτι δεῖ καθόλυ προεπίςαϑαί τε ϗ γνωρίζειν ὅτι μὴ πάντα ἐςὶν ἀποδεικτά, ἀλλὰ μὴ ἀποδεικνύντας ἅμα ϗ περὶ τύτυ ζητεῖν. δύναϑ δὲ τ̀ εἰρημένον τείνειν ϗ πρὸς τ̀ ὑπὸ Πλάτωνος ἐν τῷ Ἀλκιβιάδῃ λεγόμενον, ὅτι ὅ τις οἶδεν, ἢ μαθὼν ἢ εὑρὼν οἶδεν, εὑρίσκει δὲ ὁ ζητήσας πρῶτον· ἔνια γὰ ἴσμεν ὕτε μαθόντες ὕτε ζητήσαντες. δοκεῖ δέ μοι αὕτη ἡ λέξις δι' ἧς λέγει "ὅσα δὲ ἐγχειρῦσί τινες περὶ τῆς ἀληθείας," ἕως τῦ "ἀλλὰ μὴ ἀκύοντας ζητεῖν," τὴν τάξιν ἔχειν μϑ τὴν ἐφεξῆς κειμένην τὴν "ὅτι μ̀ ὕν τῦ φιλοσόφυ ϗ τῦ περὶ πάσης τῆς ὑσίας θεωρῦντος ἢ πέφυκε, ϗ περὶ τῶν συλλογιςικῶν ἀρχῶν ἐςὶν ἐπισκέψαϑϑ, δῆλον." αὕτη τε γὰ μᾶλλον τοῖς προειρημένοις ἀκολυθεῖ, ϗ ἡ "ὅσα δὲ ἐγχειρῦσί τινες περὶ τῆς ἀληθείας," περὶ ἧς προειρήκαμεν νῦν, οἰκείως ἂν προτάσσοιτο τῆς "προσήκει δὲ τ̀ν μάλιςα γνωρίζοντα." id.

66 26. τ̀ δὲ "περὶ πάσης ὑσίας" ἴσον ἐςὶ τῷ καθόλυ περὶ ὑσίας ἀλλ' ὑ τῆσδε ἢ τῆσδε. τ̀ δὲ "ἢ πέφυκε" σημαίνει ἂν ἤτοι θεωρῦντος τίς καθόλυ φύσις ὑσίας, ἢ τίς ἡ φύσις ἑκάςης ὑσίας· ὑ γὰ τῆς αὐτῆς πᾶσαι. id.

66 27. συλλογιςικὰς δὲ ἀρχὰς λέγει τὰς ἀποδεικτικάς· ἀποδείξεων γὰ καθόλυ ἀρχαὶ τὰ ἀξιώματα. id.

εἴγε πᾶσα μάθησις ἐκ προγινωσκομένυ τινός, ὥςε εἰ ϗ ταύτης εἴη μάθησις, προγινώσκοιτο ἂν ταύτης ἕτεραί τινα. ὕτω δὲ ὑκέτι ἂν εἴη ἀρχὴ τῶν ὄντων, ἣν ἀναγκαῖον γνωρίζειν τ̀ν ὁτιῦν ξυνιέντα τῶν ὄντων. ἥκειν ἄρα ἐξ αὐτῦ εἰδότα ἀνάγκη τὴν τοιαύτην ἀρχήν· ἣν δὲ ἥκει τις ἐξ αὐτῦ εἰδὼς ὑ δεόμενος δείξεως περὶ αὐτῆς, ὑχ ὑπόθεσις. id.

67 11. ἔςι δὲ ταῦτα ἐξ ὧν ἡ ἀντίφασις εἰδοποιεῖϑ, ἃ εἶπεν ἐν Σοφιςικοῖς Ἐλέγχοις (c. 5 p. 163 *a* 23). λέγει δὲ ἐν ἐκείνοις ἀντίφασιν εἶναι τ̀ν τῦ αὐτῦ ϗ ἑνός, μὴ ὀνόματος ἀλλὰ πράγματος, ἢ εἰ ϗ ὀνόματος, μήτε ὁμωνύμυ μήτε συνωνύμυ, ἀλλὰ τῦ αὐτῦ κϑ τ̀ αὐτ̀ ϗ πρὸς τ̀ αὐτ̀ ϗ ὡσαύτως ϗ ἐν τῷ αὐτῷ χρόνῳ. ὃ δὲ εἶπεν ἐν τῷ περὶ Ἑρμηνείας (c. 6) λέγων περὶ ἀντιφάσεως, "ϗ ὅσα ἄλλα προσδιοριζόμεθα πρὸς τὰς σοφιςικὰς ἐνοχλήσεις," τῦτο νῦν εἴρηκε πρὸς τὰς λογικὰς δυςχερείας. id.

τυτέςιν ἀδύνατον γὰ ὅλως τινὰ ταὐτὸν ὑπολαμβάνειν εἶναι καὶ 67 16.
μὴ εἶναι καὶ περὶ τοῦτο διαψευδῆναι· ὡς γὰ ἀδύνατον τὸ αὐτὸ ἅμα
ὑπάρχειν τε καὶ μὴ ὑπάρχειν, οὕτως ἀδύνατον καὶ διαψευδῆναι περὶ
τοῦτο, ὥςε ταὐτὸν ὑπολαμβάνειν τινὰ εἶναι καὶ μὴ εἶναι (τοῦτο γάρ
5 ἐςι τὸ "ἐντινῶν ὑπολαμβάνειν εἶναί τε καὶ μὴ εἶναι"), ἀδύνατον ἂν
εἴη διαψευδῆναι περὶ τοῦτο. id.

ὁ δὲ ἐκ περισσοῦ δοκεῖ προσκεῖσθαι· ἔςι γὰ εἰ μὴ ἐνδέχεται ἅμα 67 19.
τῷ αὐτῷ ὑπάρχειν τἀναντία. id.

ὅτι δὲ ἐναντίαι αἱ δόξαι τῆς ἀντιφάσεως, δέδεικται διὰ πλειό- 67 22.
10 νων ἐπὶ τέλει τοῦ περὶ Ἑρμηνείας (c. 14). id.

ὥσπερ Ἡράκλειτον οἴονται τινές. ἔπεται δὲ τοῦτο καὶ τοῖς λέγου- 67 30.
σιν ἑκάςῳ τὸ φαινόμενον καὶ εἶναι τοιοῦτον, ὧν εἶεν ἂν οἵ τε περὶ
Δημόκριτον καὶ Πρωταγόραν. φαίνεται γάρ τισι περὶ τοῦ αὐτοῦ τὰ
ἀντικείμενα· εἰ δὲ καὶ ἔςιν ὡς φαίνεται, εἴη ἂν περὶ τὸ αὐτὸ ἅμα
15 τὰ ἐναντία τε καὶ τὰ ἀντικείμενα. id.

δέδεικται γὰ ἐν τοῖς Ἀναλυτικοῖς (Ὑςέρ. 1 3) τίνα τέ εἰσιν 68 6.
ἀποδεικτικὰ καὶ τίνα οὔ, καὶ ὅτι ἀναιρεῖται τὰ ἀναπόδεικτα καὶ αὐτόθεν
γνώριμα, ἂν εἰς ἄπειρον προΐοι. id.

εἶπεν ἤτοι ὅτι ἀναιρεῖται μὴ ἀπόδειξις καὶ διὰ τοῦ μὴ συγχωρεῖν 68 8.
20 εἶναί τινα ἐξ αὐτῶν ἀληθῆ τε καὶ πιςά, ἀναιρεῖται δὲ καὶ διὰ τῆς εἰς
ἄπειρον προόδου· οὐ γὰ μόνον ἀναιρεῖ ἀπόδειξιν ὁ ἀναιρῶν αὐτῆς τὰς
ἀρχάς, ἀλλὰ καὶ ὁ λέγων πάντα ἀποδεικτὰ εἶναι ἀναιρεῖ ὁμοίως
ἀπόδειξιν. ἡ τὸ "ὥςε μηδ' οὕτως" εἶπεν ἀντὶ τοῦ ὥςε οὕτω μὴ
εἶναι ἀπόδειξιν. id.

25 ἂν γὰ μήτε ἀποκρίνηται μήτε λέγῃ, γελοῖον τὸ λόγῳ χρῆσθαι 68 10.
πρὸς τὸν τοιοῦτον καὶ διὰ λόγου πειρᾶσθαι δεικνύναι τι τῷ μὴ ἔχοντι
λόγον, καὶ διὰ λόγων πειρᾶσθαι ποιεῖσθαι συνουσίαν πρὸς τὸν ἐςερημένον
τούτου. τοῦτο γάρ ἐςι τὸ "ἢ μὴ ἔχει" λόγον, τὸ καθὸ μὴ ἔχει, κατὰ
τοῦτο σημῆναι αὐτῷ. τὸ δὲ "ὅμοιος γὰ φυτῷ ὁ τοιοῦτος ἢ τοιοῦτος
30 ἤδη" ἴσον τῷ ἤδη γὰ ὅμοιος φυτῷ ὁ τοιοῦτος ἢ τοιοῦτος. id.

ὁ μὴ γὰ ἁπλῶς ἀποδεικνὺς λαβὼν πρῶτά τινα καὶ γνωριμώ- 68 15.
τερα ὄντα τοῦ δεικνυμένου, οὕτω τὸ προκείμενον ἀποδεικνύναι πειρᾶται.
οὐχ οἷόν τε δὲ πρῶτόν τι καὶ γνωριμώτερον τούτου λαβεῖν, ὡς προεί-
ρηται, ὥςε οὐδὲ ἀποδεῖξαι αὐτὸ οἷόν τε, ὅτι ἀφ' ἑαυτοῦ λαμβάνων τε

καὶ τιθεὶς πᾶν εἶναι τοῦτο ὃ λέγει ἢ μὴ εἶναι δόξει τὸ ἐν ἀρχῇ αἰτεῖσθαι καὶ τὸ ζητούμενον προλαμβάνειν, ἐπεὶ περὶ τούτου ἡ ζήτησις ἦν. ὁ μέντοι ἔλεγχος ἐπεὶ πρὸς ἄλλον γίνεται καὶ ἐξ ὧν ὁ προσδιαλεγόμενος τίθησιν (ἔστι γὰρ ἔλεγχος συλλογισμὸς δι' ἐρωτήσεως εἰς ἀντίφασιν ἄγων), δύναται γίνεσθαι καὶ διὰ τῶν τοιούτων. id.

ὡς γὰρ εἶπε Θεόφραστος ἐν τῷ περὶ Καταφάσεως, βέβαιος καὶ παρὰ φύσιν ἡ τούτου τοῦ ἀξιώματος ἀπόδειξις. id.

68 18. τοῦ ἐλεγκτικοῦ συλλογισμοῦ καὶ τοῦ πρὸς ἄλλον γινομένου περὶ τῆς τοῦ προκειμένου ἀξιώματος δείξεως ἀρχήν φησιν εἶναι τὸ ἀξιοῦν τὸν προσδιαλεγόμενον ἢ εἶναί τι λέγειν ἢ μὴ εἶναι, τουτέστιν ἐρωτητέον αὐτὸν εἰ μὴ δοκεῖ αὐτῷ πᾶν ἢ εἶναι τοῦτο ὃ λέγεται ἢ μὴ εἶναι, οἷον ἄνθρωπον ἢ εἶναι ἄνθρωπον ἢ μὴ εἶναι, ὁμοίως ἵππον κύνα, τὰ ἄλλα. εἰπὼν δὲ ταῦτα ἀρχὴν εἶναι, καὶ ταύτην δεῖν τὴν πρότασιν ἐρωτᾶν τὸν προσδιαλεγόμενον ὡς παρ' αὐτοῦ λαμβανομένην, φησὶ δόξειν τοῦτο ἐξετάζοντα τὸ ἐν ἀρχῇ καὶ τὸ ζητούμενον ἀξιοῦν λαβεῖν. id.

68 20. καταλληλότερον δὲ ἡ λέξις ἔχοι ἄν, εἰ ἀντὶ τοῦ "τοῦτο μὴ γὰρ τάχα ἄν τις ὑπολάβοι τὸ ἐξ ἀρχῆς αἰτεῖν" εἴη γεγραμμένον "τὸ τούτου μὴ τάχα ἄν τις," ὡς καὶ φέρεται ἔν τισιν. φέρεταί τις καὶ τοιαύτη γραφή "ἀρχὴ δὲ πρὸς ἅπαντα τὰ τοιαῦτα ὁ τὸ ἀξιοῦν λέγειν τι εἶναι ἢ μὴ εἶναι." καὶ ἔστι γνωριμώτερον τὸ λεγόμενον οὕτως. id.

68 24. ἂν δὲ διδῷ καὶ συγχωρῇ σημαίνειν δι' ὧν λέγει, τοῦτο λαβόντας δυνατὸν ἔσται ἔλεγχον τοῦ προκειμένου ποιήσασθαι· ἀντὶ γὰρ τοῦ ἐλέγχου τῇ ἀποδείξει ἐχρήσατο. id.

68 26. ἀναιρῶν δὲ λόγον χρῆται λόγῳ· τοῦτο γὰρ τὸ ὑπομένειν λόγον. id.

69 2. ὀνόματα δὲ εἶπε καὶ τὸ εἶναι καὶ τὸ μὴ εἶναι. id.

69 3. διὰ πλειόνων δὲ λέγει τε καὶ δείκνυσι τὸ προκείμενον. αἴτιον δὲ τούτου ὅτι μεταλαμβάνει τὰ δι' ὧν δείκνυσιν ὃ βούλεται, καὶ κατασκευάζει αὐτὰ ὡς δεόντως λαμβανόμενα· διὸ καὶ ἀσαφεστέρα ἡ λέξις. ἐκλαβόντι δὲ ὁ νοῦς τῆς ἐπιχειρήσεως τοιοῦτος. εἰ ἕκαστον ὄνομα σημαίνει, καὶ ἕν τι σημαίνει· τὸ γὰρ σημαῖνον τι σημαίνει, τὸ δέ τι καὶ ἕν· καὶ γὰρ εἰ καὶ πλειόνων τὰ ὁμώνυμα, ἀλλ'

ὑχ ἅμα γε πάντα σημαίνει ὁ χρώμενος αὐτοῖς ὡς σημαίνων τι
δι' αὐτῶν. τὰ διαφέροντα δὴ ὀνόματα ϗ μὴ ταὐτὸν σημαί-
νοντα τῷ κειμένῳ ἓν σημαίνειν δῆλον ὡς ὑ ῥηθήσε͂ται κατ' ἐκείνυ·
εἴη γὰρ ἂν ὑκέτι μία φύσις ἐκείνυ, εἰ τὰ διαφέροντα πραγμάτων
5 σημαντικὰ ὀνόματα ἀληθεύοιτο κᾳ τῦ αὐτῦ. διαφέροντα δὲ ὀνό-
ματα τό τε ἄνθρωπος ϗ τὸ ὑκ ἄνθρωπος, ϗ ὑκ ἔςιν ἑνὸς ὀνόμα-
τος πράγματα· ὑ γὰρ ἐπὶ ταὐτῦ κατηγορηθήσε͂ται, ὑδὲ ἔςαι ἀλη-
θευόμενον κᾳ τῦ σημαινομένυ ὑπὸ τῦ ἀνθρώπυ τὸ σημαινόμενον
ὑπὸ τῦ ὑκ ἀνθρώπυ, εἴ γε διαφέρει τε αὐτὰ τὰ ὀνόματα ἀλλή-
10 λων, ϗ τὰ διαφέροντα διαφερόντων ἐςὶ δηλωτικά, ϗ ἑνὸς ἕκαςον
ϗ φύσεως μιᾶς· ὑ γὰρ ἂν ἔτι εἴη τὸ ὑπ' ἀνθρώπυ σημαινόμενον
ἕν, ὡς ἐρρέθη, εἰ ἀληθεύοιτο ἐπ' αὐτῦ ϗ τὸ ὑκ ἄνθρωπος, ἄλλυ
πράγματος ὂν σημαντικόν. id.

τὸ γὰρ ἓν σημαίνειν τῦτο εἶναί φησι τὸ εἰ τῦτ' ἔςι τὸ ἄνθρω- 69 4.
15 πος σημαῖνον (τῦτο γὰρ δεῖ προσυπακύειν τῷ "εἰ τῦτ' ἔςι"), πᾶν
ὃ ἂν ᾖ ἄνθρωπος ὄν, τῦτο ἔςαι αὐτῷ τὸ ἀνθρώπῳ εἶναι, τὸ εἶναι
τῦτο ὃ ὁ ἄνθρωπος ἐσήμαινεν. id.

ἐξηγήσατο δὲ πῶς εἶπε τὸ ἓν σημαίνειν, ἵνα μὴ ἓν κᾳ τὸν 69 7.
ἀριθμόν τις αὐτὸν ἡγῆ͂ται λέγειν, μηδὲ ἓν τὸ καθ' ἑνὸς τῷ ἀριθμῷ
20 λέγεσθαι, ὡς ἐρεῖ, ἀλλὰ μίαν τινὰ φύσιν. εἰ γὰρ ὁ ἄνθρωπος
ζῷον δίπυν σημαίνει, ϗ τὸ ἀνθρώπῳ εἶναι ἐν τύτῳ ἔςαι ἐν τῷ
ζῴῳ δίποδι εἶναι. id.

εἰ δὲ πλείω μᾳ ὡρισμένα δέ τις λέγοι σημαίνειν ἕκαςον ὄνομα 69 9.
τῶν ὑπὸ τῦ κοινῦ ὀνόματος δηλυμένων, ἴδιος ἑκάςυ λόγος ἔςαι·
25 οἷον εἰ ὁ ἄνθρωπος λέγοιτο ϗ κᾳ τῦ ζῴυ ϗ κᾳ τῆς εἰκόνος, εἴη ἄν,
ὅταν μὲ τὸ ὡς ζῷον σημαίνῃ ἄνθρωπος, ὁ λόγος τῦ σημαινομένυ
ζῷον πεζὸν δίπυν, ὅταν δὲ τὸ ὡς εἰκόνα, μίμημα τῆς τοιαύτης
ὑσίας. id.

ὁ μὲ γὰρ λόγος κεῖ͂ται ἡμῖν, ὥσπερ ϗ τὸ ὄνομα, φωνὴ εἶναι ση- 69 15.
30 μαντική, ὑκέτι δὲ γίνε͂ται σημαντικὸς κᾳ τὺς λέγοντας ἄπειρα ὑφ'
ἑκάςυ σημαίνεσθαι. ὁ γὰρ μὴ ἕν τε καί τι σημαίνει ὡρισμένον, ὑδ'
ἂν σημαίνοι τὴν ἀρχήν· πᾶς γὰρ ὁ σημαίνων τι σημαίνει. id.

εἰπὼν δὲ τῦτο προσέθηκε "κᾳ δὲ τὴν ἀλήθειαν ϗ πρὸς αὐτόν," 69 17.
λέγων ἀνηρῆσθαι ϗ ἐπ' αὐτῦ τὸ νοεῖν τι· ὑδὲ γὰρ νοεῖν ἐνδέχε͂ται μὴ ἓν

νοῦντα. εἰ γὰρ εἴη οἷόν τε ἕν τι νοεῖν, οἷόν τε ἂν εἴη τῷ ἑνὶ τούτῳ νοήματι καὶ ὄνομά τι καὶ σημεῖον οἰκεῖον θέσθαι· οὕτω δ' ἂν εἴη δυνατὸν τὸ ὑφ' ἑκάστου ὀνόματος ἕν τι δηλοῦσθαι. id.

69 20. ἔνεστι καὶ οὕτως ἐφοδεύσαντα δεῖξαι ὅτι μὴ ἄπειρα τὰ ὑφ' ἑκάστου ὀνόματος δηλούμενα, διαλεκτικωτέρα δὲ ἡ δεῖξις. εἰ τὸ ἄνθρωπος ἄπειρα σημαίνει, ἤτοι καὶ τὸν οὐκ ἄνθρωπον ὁ ἄνθρωπος σημαίνει (ἐν γὰρ τοῖς ἀπείροις καὶ τοῦτο), ὥστε ἔσται ὁ ἄνθρωπον εἰπὼν καὶ μὴ ἄνθρωπον σεσημακώς· ἢ εἰ τοῦτο ἄτοπον, ἔσται τῶν ἀπείρων τι πλέον. τοῖς γὰρ ἀπείροις ἃ ἐσήμανεν ὁ ἄνθρωπος προστεθὲν τὸ οὐκ ἄνθρωπος πλείω αὐτὰ ποιήσει· οὕτω τε ἔσται καὶ τὰ ἄπειρα τινῶν ἐλάττω. καὶ ἔτι τὸ ἄπειρα ὀνόματα ἤτοι σημαίνει καὶ τὸ οὐκ ἄπειρα, οὕτω δὲ οὐ μᾶλλον ἄπειρα σημαίνει ἕκαστον ὄνομα ἢ οὐκ ἄπειρα· ἢ εἰ μὴ σημαίνει καὶ τοῦτο, πρῶτον μὲν οὐκ ἔσται, ἐφ' οὗ ἡ κατάφασις ἀληθής, ἐπὶ τούτου καὶ ἡ ἀπόφασις, πρὸς δὲ τούτῳ ἔσται τὸ σημαινόμενον ὑπὸ τοῦ οὐκ ἄπειρα ἔξω τῶν ἀπείρων· πλείω δὴ τὰ ἄπειρα σὺν τούτῳ ἢ αὐτὰ ἐφ' ἑαυτῶν. id.

69 22. πῶς τὸ ἓν σημαίνειν ἀκούειν χρή, διδάσκει ἡμᾶς· ὁ γὰρ ἄνθρωπος ἓν τῷ φύσιν τινὰ μίαν σημαίνειν, οὐ τῷ καθ' ἑνὸς λέγεσθαι. μίαν δὲ φύσιν σημαίνων οὐκ ἂν ἅμα καὶ ἄλλην τινὰ σημαίνοι. ὅτι δὲ τὸ καθ' ἑνὸς λεγόμενον οὐ πᾶν ἕν, δείκνυσι· καθ' ἑνὸς γὰρ καὶ τὸ ἄνθρωπος καὶ τὸ λευκὸν καὶ τὸ μουσικὸν δύναται κατηγορεῖσθαι ἀληθῶς, ἀλλ' οὐ διὰ τοῦτο καὶ ἓν ταῦτα. id.

ὅτι γὰρ μὴ τὰ κατὰ τοῦ αὐτοῦ κατηγορούμενα ἤδη καὶ ἓν σημαίνει, δι' ὧνπερ παρέθετο ἔδειξε. καθ' ἑνὸς γὰρ πλείω κατηγορεῖται διαφέροντα ἀλλήλων· τὰ γὰρ συμβεβηκότα τινὶ ἕτερα ὄντα καὶ τούτῳ συμβέβηκε, καὶ ἀλλήλων ὁμοίως κατηγορεῖται κατ' ἐκείνου ἑνὸς ὄντος, ᾧ συμβέβηκεν, οὐ μὴν διὰ τοῦτο πάντα τὸ αὐτὸ καὶ ἓν σημαίνει. οὐ γὰρ ἐπεὶ καθ' ἑνὸς τὸ μουσικὸν καὶ τὸ λευκὸν καὶ ὁ ἄνθρωπος κατηγορεῖται, ἤδη καὶ ταὐτόν ἐστι τὸ σημαινόμενον ὑπ' αὐτῶν. εἰ γὰρ ταὐτὸν εἴη τὸ σημαινόμενον ὡς μὴ διαφέρειν τὸ καθ' ἑνὸς κατηγορεῖσθαι τοῦ ἓν σημαίνειν, ἔσται συνώνυμα, τουτέστι πολυώνυμα, καθ' ὧν πλείω κατηγορεῖται· τῷ γὰρ συνώνυμα νῦν ἀντὶ τοῦ πολυώνυμα χρῆται. οὕτω γὰρ ἔσται ταὐτὸν σημαίνοντα, ἂν ᾖ μόνον τῇ λέξει διαφέροντα τὰ πλείω ταῦτα ὀνόματα, μίαν δὲ

φύσιν σημαίνοντα. ἔςαι δὲ τοῦτο, ἂν ᾖ κείμενον ταὐτὸν εἶναι τὸ καθ' ἑνὸς κατηγορεῖσθαι καὶ τὸ ἓν σημαίνειν. id.

πάλιν δὲ τὴν πολυωνυμίαν ὁμωνυμίαν εἶπε, πρότερον αὐτὴν 69 28.
εἰπὼν συνωνυμίαν. ὅτι γὰρ τὸ καθ' ὁμωνυμίαν τὸ κατὰ πολυωνυμίαν
5 εἶναι λέγει, νῦν ἐδήλωσε δι' ὧν ἐπήνεγκεν. id.

ἀσαφῶς μὲν εἴρηται, ἴσον δὲ ἂν εἴη τῷ, εἰ γάρ τις λέγοι ἓν 70 6.
σημαίνειν τὸ ἀνθρώπῳ εἶναι, ἀληθὲς ἐπ' αὐτοῦ τό τε εἶναι ἄνθρωπον καὶ τὸ μὴ εἶναι ἄνθρωπον, ταὐτὰ σημαίνειν αὐτὰ ἐρεῖ καὶ ἑνὸς ἔςαι ἀμφότερα δηλωτικά, ὡς τὰ πολυώνυμα, ὡς λώπιον καὶ ἱμά-
10 τιον. id.

ταῦτα εἰπὼν διὰ μέσου, τὸ "ὥςε ἔςαι τὸ ἀνθρώπῳ τε εἶναι" καὶ τὰ ἐπὶ τούτῳ λέγει, ὡς συνάπτων αὐτὰ τοῖς εἰρημένοις τοῖς "τὸ δὲ ἀπορούμενον οὐ τοῦτό ἐςιν, εἰ ἐνδέχεται τὸ αὐτὸ ἅμα εἶναι καὶ μὴ εἶναι ἄνθρωπον τὸ ὄνομα, ἀλλὰ τὸ πρᾶγμα·" τούτοις γὰρ ἀκο-
15 λουθεῖν δοκεῖ τὸ "ὥςε ἔςαι τὸ ἀνθρώπῳ εἶναι." ἢ καὶ τῷ ἔτι πρὸ τούτου εἰρημένῳ τῷ "ὥσπερ ἂν εἰ ὃν ἡμεῖς ἄνθρωπον καλοῦμεν, ἄλλοι μὴ ἄνθρωπον καλοῖεν." δείξας δὲ ταῦτα ἐπιφέρει τοῖς δεδειγμένοις "ἀνάγκη τοίνυν" κτλ. id.

λαβὼν διὰ τῶν πρὸ τούτων καὶ δείξας ὅτι ὄνομά ἐςιν ἑνός 70 11.
20 τινος δηλωτικόν, καὶ ὅτι ἄλλου μὲν τὸ ἔςιν ἄνθρωπος ἐςὶ σημαντικόν, ἄλλου δὲ τὸ οὐκ ἔςιν ἄνθρωπος, διαφέροντα ὄντα, καὶ ὅτι ἄλλο μὲν ἡ κατάφασις ἄλλο δὲ ἡ ἀπόφασις, νῦν συμπεραίνει διὰ τῶν δεδειγμένων τὸ προκείμενον. id.

ἔτι εἰ ἐν τῷ πάντα τὰ ἐνυπάρχοντα εἰπεῖν τὸ ἀποκρίνεσθαι τὸ 70 25.
25 ἐρωτώμενόν ἐςιν, εἰ ἀδύνατον πάντα εἰπεῖν, ἀδύνατος καὶ ἡ ἀπόκρισις ἔςαι· ἀδύνατον δὲ πάντων ἐξαρίθμησιν ποιήσασθαι τῶν ὑπαρχόντων τινί. id.

ὥςε εἰ καὶ ὅτι μάλιςα ὁ ἄνθρωπος καὶ οὐκ ἄνθρωπός ἐςιν, οὐ δεῖ 71 5.
καὶ τοῦτο προςιθέναι. εἰ μὲν γὰρ ταὐτόν ἐςι, δέδωκε καὶ τοῦτο διὰ τοῦ
30 δοῦναι ἄνθρωπον εἶναι· εἰ δὲ ἕτερον, οὐκ ἦν ἡ ἐρώτησις περὶ τούτου· ἢ γὰρ πάντα χρὴ τὰ προσόντα ἢ μηδὲν παρὰ τὸ ἠρωτημένον λέγειν. ἔτι καὶ αἱ τῶν ἄλλων ἀποφάσεις ἀληθεῖς κατ' αὐτοῦ, ἀλλ' οὐ διότι ἀληθεῖς ἐρωτηθείς τις εἰ ὁ Σωκράτης ἄνθρωπός ἐςιν, ἀποκρίνοιτο ὅτι καὶ οὐχ ἵππος καὶ οὐ κύων· μάταιος γὰρ ἂν εἴη. οὕτως οὖν καὶ ὁ λέ-

γων καὶ μὴ ἄνθρωπον αὐτὸν εἶναι· ἄλλο γὰρ τὸ οὐκ ἔστιν ἄνθρωπος τοῦ εἶναι ἄνθρωπος ἀποδέδεικται. id.

71 10. δοκεῖ δέ μοι ἡ ἐπιχείρησις αὕτη λέγεσθαι πρὸς τοὺς διὰ τοῦτο λέγοντας ἐπὶ πάντων οὐ μᾶλλον τὴν κατάφασιν ἢ τὴν ἀπόφασιν, ὅτι ὁ νῦν ἔστι δύναται καὶ μὴ εἶναι, καὶ ὃ μή ἐστιν εἶναι, ἐπεὶ ἅμα γε τὸ ὑπὸ τῆς ἀντιφάσεως σημαινόμενον οὐδὲ ἐπὶ τῶν συμβεβηκότων οἷόν τε συνυπάρχειν, ὡς δέδεικται. ἀλλ' εἴ τις λέγοι τούτῳ ἀληθεύεσθαι τὴν ἀντίφασιν τῷ καὶ μὴ εἶναι δύνασθαι τοῦτο ὃ κατηγορεῖται, ἔτι οὖν μηδὲ τοῦτο οἷόν τε δεικνύει ἐπὶ τῶν ἐν τῇ οὐσίᾳ τινὸς κατηγορουμένων. εἰπὼν γὰρ ἀναιροῦσιν οὐσίαν, ποίαν οὐσίαν ἐδήλωσε προσθεὶς "καὶ τὸ τί ἦν εἶναι." τὸ γὰρ ἐν τῇ οὐσίᾳ τινὸς κατηγορεῖσθαί τι ἀναιροῦσι· τὰ γὰρ ἐν τῇ οὐσίᾳ κατηγορούμενα οὐχ οἷά τε ὑπάρχειν καὶ μὴ ὑπάρχειν ἐκείνῳ. id.

71 13. εἰπὼν δὲ "καὶ τὸ ὅπερ ἀνθρώπῳ εἶναι ἢ ζῴῳ" οὐκέτι προσέθηκε τὸ ἀναιροῦσιν· ἦν γὰρ προειρημένον καὶ κείμενον· προεῖπε γὰρ "ὅλως δὲ ἀναιροῦσιν οἱ τοῦτο λέγοντες." τὸ δὲ "τί ἦν εἶναι μὴ εἶναι" ἐνδεέστερον ἔχειν δόξει· λείπει γὰρ αὐτῷ ὁ καὶ σύνδεσμος, ἵνα ᾖ καὶ τὸ τί ἦν εἶναι μὴ εἶναι, τουτέστι καὶ τὸν ὁρισμὸν μὴ εἶναι. ἀναιρουμένου γὰρ τοῦ ἐν τῇ οὐσίᾳ εἶναί τινα κατηγορούμενα, ἀναιρεῖται καθόλου καὶ τὸ εἶναί τινος ὁρισμόν. id.

71 18. τουτέστιν εἰ δὲ εἴη τὸ ὑποκείμενον ὅπερ ἄνθρωπος, τουτέστιν εἰ ἐν τῷ ὅπερ καὶ ἐν τῇ οὐσίᾳ αὐτοῦ εἴη ὁ ἄνθρωπος κατηγορούμενος, οὐκ ἂν αὐτῷ ἐφαρμόζοι ἔτι ἢ τὸ μὴ εἶναι ὅπερ ἀνθρώπῳ ἢ τὸ εἶναι ὅπερ μὴ ἀνθρώπῳ. ἄλλο γὰρ ἔσται, εἰ ταῦτα ἀληθεύοιτο κατ' αὐτοῦ, καὶ οὐ τοῦτο ὃ ἐν τῷ ὅπερ ὁ ἄνθρωπος κατηγορεῖται· οὕτω δὲ οὐκέτ' ἂν ἡ ἀντίφασις ἐπὶ τοῦ αὐτοῦ μένοντος. διὸ οὐχ οἷόν τε ἔσται τῶν ἐν τῇ οὐσίᾳ τινὸς κατηγορουμένων δύνασθαί ποτε καὶ τὰς ἀποφάσεις ἀληθῶς κατηγορεῖσθαι· εἰ γὰρ μὴ ὑπάρχει αὐτῷ τὸ ἐν τῇ οὐσίᾳ ὂν αὐτοῦ, οὐδ' ἂν εἴη καὶ αὐτὸ ἔτι. οὐ γὰρ οἷόν τε τῆς οὐσίας τινὸς ἀναιρουμένης αὐτὸ σῴζεσθαι καὶ ὑπομένειν. ἐπὶ γὰρ τῶν συμβεβηκότων οἷόν τε τοῦτο μόνον τὸ ὑπομένειν τὸ ὑποκείμενον καὶ ὑπάρχειν αὐτῷ τιθεμένων τῶν συμβεβηκότων καὶ μὴ ὑπάρχειν τῷ μὴ εἶναι ἐν τούτοις αὐτῷ τὸ εἶναι. id.

τὸ δὲ εἶναι ὅπερ μὴ ἄνθρωπον ἢ μὴ εἶναι ὅπερ ἄνθρωπον κοι- 71 19.
νότερον ἔλαβεν ὡς ἀπόφασιν τοῦ εἶναι ὅπερ ἄνθρωπον τῷ τὸ αὐτὸ
ἄτοπον ἕπεσθαι ὁπότερον ἄν τις λέγοι ἀπόφασιν αὐτοῦ εἶναι· καθ'
ἑκάτερον γὰρ αὐτῶν ἀναιρεῖται τὸ ὅπερ εἶναι καὶ ἡ οὐσία. id.

5 τοῦτο δὲ ἤτοι εἴρηκε σημαίνων ὅτι μὴ ἔσται τὸ πρῶτον τὸ γέ- 71 25.
νος, τουτέστιν οὐκ ἔσται τῶν γενῶν τὸ πρῶτον ἡ οὐσία· πάντα μὲν γὰρ
τὰ γένη καθόλου, πρῶτον δὲ τῶν ἄλλων ἡ οὐσία, ἀναιρεθήσεται δὲ
τὸ γένος τοῦτο ὅτι οὐδενὶ συμβέβηκεν, οὐδέ τινος ὡς συμβεβηκὸς
ἡ οὐσία κατηγορεῖται, ἀλλ' ὅ ἂν κατηγορῆταί τις οὐσία, συνωνύ-
10 μως τε καὶ ἐν τῇ οὐσίᾳ κατηγορεῖται. εἰ γὰρ ὅσης τῆς οὐσίας ἀναγ-
καῖον εἶναι καὶ τὴν τοιαύτην κατηγορίαν, μὴ ὅσης τῆς τοιαύτης
κατηγορίας οὐδ' ἂν ἡ οὐσία εἴη· ἧς κατηγορίας ἀναιρουμένης ἀναι-
ροῖτο ἂν καὶ τὸ τῆς οὐσίας γένος ἐκ τῶν ὄντων. ἀλλὰ μὴ ὅσης
τῆς ὡς γένος οὐσίας οὐδ' ἂν ἡ ἄτομος εἴη· ἀναιρουμένου γὰρ κα-
15 θόλου τοῦ γένους αὐτῆς οὐδ' ἂν αὕτη εἴη. οὕτω δὲ οὐδ' ἂν κατηγο-
ροῖτό τι κατ' οὐσίας, ἀλλ' ἐν πάσῃ κατηγορίᾳ καὶ τὸ ὑποκείμε-
νον ἂν συμβεβηκὸς εἴη. μὴ ὄσης δὲ οὐσίας τοῦ ὑποκειμένου ἀλλὰ
συμβεβηκότος, ἐπ' ἄπειρον ἂν ἄλλῳ ἄλλο ὑποκείμενον λαμβά-
νοιτο τῷ τὸ συμβεβηκὸς ἀεὶ καθ' ὑποκειμένου τινὸς σημαίνειν τὴν
20 κατηγορίαν, τουτέστιν ἐν ἄλλῳ εἶναι, καὶ ὑποκείμενόν τι ἔχειν, καὶ
μὴ δύνασθαι ἢ αὐτὸ ὑποκείμενον εἶναι ἢ εἶναι χωρὶς ὑποκειμένου. εἰ
γὰρ εἴη ἐν τῇ Σωκράτης λευκός ἐστι προτάσει καὶ τὸ Σωκράτης συμ-
βεβηκὸς ἄλλου ὑποκειμένου, δεήσεται κἀκεῖνο πάλιν ἄλλου, καὶ τοῦτο
ἐπ' ἄπειρον. τοῦτο δ' ἀδύνατον δείκνυσι. δύναται γεγράφθαι
25 "οὐδὲν ἔσται πρῶτον τὸ καθ' ὅ," τουτέστι τὸ πρῶτον καὶ ὑποκείμενον,
καθ' ὅ τὰ συμβεβηκότα ἀναιρεῖται· ἀναιροῦντες γὰρ τὴν τοιαύτην
κατηγορίαν ἀναιροῦσι καὶ τοῦτο ᾧ ἐν τῷ οὕτω κατηγορεῖσθαι μόνως τὸ
εἶναι· τοιοῦτον γὰρ ἡ οὐσία. ἀναιρουμένης δὲ τῆς οὐσίας οὐδὲν ἂν εἴη
τὸ ἔσχατον ὑποκείμενον, πάντων τῶν ὄντων συμβεβηκότων ὄντων·
30 οὕτω δ' ἂν ἐπ' ἄπειρον αἱ κατηγορίαι γίγναιντο. τὴν δὲ αἰτίαν τοῦ
μηδὲν ἔσεσθαι πρῶτον ὑποκείμενον καὶ οὐδέν, εἰ πάντα εἴη συμβεβη-
κότα, ἀπέδωκεν οὕτως. id.

εἰ γὰρ πᾶν συμβεβηκὸς ὑποκείμενόν τι ἔχει ἐν ᾧ ἔστι καὶ καθ' 71 27.
ὅ κατηγορεῖται, καὶ μηδέν ἐστι συμβεβηκὸς ὑποκείμενον, ὅτος ἐρεῖ

εἶναι οὐδὲ οὐσίαν. εἰ δὲ εἴη πάντα συμβεβηκότα καὶ μηδὲν ἔχατον ὑποκείμενον καθ' οὗ τὰ ἄλλα, αὐτὰ δὲ κατ' οὐδενός, πρῶτον μὲν οὐδ' ἂν συμβεβηκός τι εἴη ἔτι· μὴ γὰρ ὄσης οὐσίας ὅτε συμβεβηκός τι οἷόν τε εἶναι. ἀλλ' οὐ κατὰ τοῦτο νῦν εὐθύνει τὴν δόξαν, ἀλλά φησιν ὅτι εἰς ἄπειρον αἱ κατηγορίαι προοδεύσουσι, ἀεὶ τοῦ 5 ληφθέντος ὡς ὑποκειμένου τινὶ κατ' ἄλλου πάλιν λεγομένου, τῷ καὶ αὐτὰ ὁμοίως τῷ πρὸ αὐτοῦ συμβεβηκὸς εἶναι καὶ μὴ οὐσίαν τινά. ἀδύνατον δὲ ὅτι τὴν ἀρχὴν οὐδὲ οἷόν τε συμβεβηκός τι συμβεβηκέναι. εἰ δὲ μὴ τοῦτο, πῶς ἂν οἷόν τε εἴη ἐπ' ἄπειρον γίνεσθαι τὰς κατηγορίας τοῦ συμβεβηκότος; οὐδὲν γὰρ γίνεται ὅλως ἐκ 10 τῶν πλειόνων συμβεβηκότων ἕν τι συντιθεμένων. μόνον γὰρ ἐν ταῖς κατὰ συμβεβηκὸς προτάσεσι λεγομέναις δύο συμπλέκεται συμβεβηκότα, οὐκ ὡς τοῦ ἑτέρου αὐτῶν τῷ ἑτέρῳ συμβεβηκότος, ἀλλ' ὅτι ἄμφω τῷ αὐτῷ συμβέβηκε· τοῦτο γὰρ σημαίνει ἡ πρότασις ἡ λέγουσα τὸ λευκὸν μουσικόν ἢ τὸ μουσικὸν λευκόν· οὐ γὰρ διαφέρει 15 ὅπερ ἂν ῥηθῇ. ἀντέστρεψε δὲ αὐτά, ἵνα δείξῃ ὅτι οὐδέτερον αὐτῶν ὑπόκειται τῷ ἑτέρῳ, ἀλλ' ἔστι τὸ σημαινόμενον τὸ ἄμφω τῷ αὐτῷ τινὶ συμβῆναι. id.

72 7. λαβὼν δὲ ἀμφοτέρους τοὺς τρόπους τῆς κατὰ συμβεβηκὸς κατηγορίας, ἑξῆς ὅτι μηδὲ καθ' ἕτερον τῶν τρόπων ἐπ' ἄπειρον 20 οἷόν τε γίνεσθαι τὴν κατηγορίαν ὑπομιμνήσκει, καὶ πρότερον ἐπὶ τῆς ἐχούσης τὴν οὐσίαν τῷ συμβεβηκότι ὑποκειμένην. οὐ γὰρ μόνον οὐκ οἷόν τε ἐπ' ἄπειρον συντιθέναι τὰ συμβεβηκότα οἷον Σωκράτη κατηγορῶντας αὐτά, ἀλλὰ τὴν ἀρχὴν οὐδὲ δύο οἷόν τέ ἐστι λαβεῖν. id. 25

72 10. δεικτικόν ἐστι τοῦ μὴ δύνασθαι τοῦ ὑποκειμένου μετὰ τοῦ συμβεβηκότος ὑποτιθεμένου πάλιν συμβεβηκός τι κατηγορεῖν· οὗ αἰτίαν ἀπέδωκεν ὅτι μὴ γίνεταί τι ἐξ ἁπάντων, τοῦ τε Σωκράτους καὶ τῶν δύο συμβεβηκότων. τὸ δὲ "οὐδὲ δὴ τῷ λευκῷ ἕτερόν τι συμβεβηκός" δεικτικόν ἐστι τοῦ ὅτι μηδὲ τῷ ἄλλο ἄλλου συμβε- 30 βηκὸς συμβεβηκότος κατηγορεῖν οἷόν τε αὔξεσθαι τὰς τῶν συμβεβηκότων κατηγορίας ἐπ' ἄπειρον, οὗ τὰς αἰτίας ὅτός τε σαφῶς παρέθετο καὶ ἡμεῖς προειρήκαμεν. μήποτε δὲ ἄμεινον ὅτως ἀκούειν τῆς λέξεως τῆς (p. 71 25) "εἰ δὲ πάντα κατὰ συμβεβηκὸς

λέγεῖ, ὐδὲν ἔςαι πρῶτον τὸ καθόλυ." εἰ πᾶν, φησί, κᾷ συμβεβηκὸς κατηγορεῖ, ὐδὲν ἔςαι πρῶτον καθόλυ, ὃ ἴσον ἂν εἴη τῷ ὐδεμία ἔςαι κατηγορία πρώτη τε κ καθόλυ, τυτέςιν ὐδεμία ἔςαι πρότασις ἄμεσος. τῶν γὰρ προτάσεων τῶν ἐχυσῶν τι τῶν ἐν τῇ
5 ὐσίᾳ τῦ ὑποκειμένυ ὄντων κατηγορύμενον αὐτῦ πρώτη ἡ ἄμεσος. τὰ γὰρ καθ' αὐτὰ κ ἐν τῇ ὐσίᾳ τινὸς κατηγορύμενα καθόλυ εἶπε. τῷ μὴ ὕν μηδὲν εἶναι ἐν τῇ ὐσίᾳ κατηγορύμενον ἕπεῖ τὸ πᾶσαν κατηγορίαν γίνεᾳ κᾷ συμβεβηκός, τῷ δὲ μηδὲν εἶναι ἄμεσον πρότασιν τὸ ἐπ' ἄπειρον γίνεᾳ τὰς κατηγορίας, ἄλλυ πρὸ ἄλλυ
10 λαμβάνεᾳ δυναμένυ. δέδεικῖ γὰρ ἐν τοῖς Ὑςέροις Ἀναλυτικοῖς (1 3) ὅτι εἰ μὴ εἴη ἄμεσος πρότασις, ἐπ' ἄπειρον αἱ κατηγορίαι προελεύσονῖ. ἀλλὰ μὴν ἀδύνατον ἐν τοῖς κᾷ συμβεβηκὸς κατηγορυμένοις τῦτο γίνεᾳ, ὅτι μηδὲ τὴν ἀρχὴν οἷόν τε συμβεβηκός τι συμβεβηκέναι συμβεβηκότι. κ δοκεῖ μοι μᾶλλον αὕτη ἡ
15 ἐξήγησις τοῖς λεγομένοις ἐφαρμόζειν. id.

κ τὸ τῦ Ἀναξαγόρυ κρατεῖ παρ' αὐτοῖς, "ὁμῦ πάντα χρή- 72 27.
ματα." εἰ γὰρ τὸ αὐτὸ λευκὸν κ ὠχρὸν κ μέλαν, ἐπειδὴ ἄλλῳ ἀλλοῖον φαίνεῖ, δέχεῖ δὲ τὰς ἀποφάσεις τὰς τύτων, τὸ αὐτὸ πάντα ἔςαι· τῦτο δὲ ἡ ὕλη τῶν ὄντων. εἰ δὲ λέγοιεν ὅτι καθ'
20 ὅ μὴ θάτερον μόριον κ θάτερον, ὐ κᾷ πάντα δὲ θάτερον, ἀναγκάζονῖ κ ὕτω πᾶσαν ἀντίφασιν ἐκάςῳ νέμειν· εἰ γὰρ ὁ ἄνθρωπος ὐκ ἄνθρωπός ἐςι, πολλῷ πλέον ὐ τριήρης, ὐ τοῖχος, ὐ σίδηρος· αἱ γὰρ τῶν ἄλλων ἀποφάσεις μᾶλλον αὐτῷ προσήκυσι τῆς αὐτῦ. ὥςε εἰ τὴν ἑαυτῦ δέχεῖ, κ τὰς τῶν ἄλλων δέξεῖ· εἰ δὲ καθ' ὅ
25 αἱ ἀποφάσεις, κᾷ τύτυ κ αἱ καταφάσεις, πάντα ἔςαι ὁ ἄνθρωπος, πασῶν ἐπ' αὐτῦ τῶν καταφάσεων ἀληθευυσῶν, κ ὐδέν, διὰ τὸ τὰς ἀποφάσεις ἁρμόζειν αὐτῷ τὰς πάντων· ὥςε πάλιν τὸ τῦ Ἀναξαγόρυ κρατῆσαι, "πάντα ὁμῦ χρήματα," κἀκείνυ τῦτο διὰ τὴν τῆς ὕλης φανταςίαν ὕτως ἀποφθεγξαμένυ. ἔτι δέ φησιν
30 ἀναγκάζεᾳ τὺς αὐτὺς ἄνδρας κ πρὸς τὸ ἕτερον ἴςαᾳ τῶν τῆς ἀντιφάσεως ἀξιωμάτων. εἰ γάρ, ἐφ' ὅ ἡ κατάφασις, ἐπὶ τύτυ 73 12.
κ ἡ ἀπόφασις, ἀνάγκη λέγειν αὐτοῖς μηδ' ἐπὶ παντὸς θάτερον μόριον τῆς ἀντιφάσεως πεφυκέναι λέγεᾳ· εἰ γὰρ ὁ αὐτὸς ἄνθρωπός ἐςι κ ὐκ ἄνθρωπός ἐςι, κ αἱ τύτων ἀποφάσεις, εἴτε δύο εἶεν

αὖ) εἴτε μία· τούτων δὲ ἀπόφασις, ὡς μὴ μιᾶς, ὅτε ἄνθρωπός ἐςιν ὅτε ὐκ ἄνθρωπός ἐςιν, ὡς δὲ δύο, ἄνθρωπος ὐκ ἔςιν, ὐκ ἄνθρωπος ὐκ ἔςιν. ὁποτέρως δ' ἂν κρατῇ, ὅτε ὁ ἄνθρωπος ἀπ' αὐτοῦ, ἐπειδὴ ἄνθρωπος ὐκ ἔςιν, ὅτε ὁ ὐκ ἄνθρωπος, ἐπειδὴ ὐκ ἄνθρωπος ὐκ ἔςιν. χεδὸν ὖν ἐνταῦθα τὸ Πρωταγόρειον πάθος ὁ λόγος ὑπέμεινε· κἀκεῖνος γὰρ πᾶσαν δόξαν βεβαίαν εἶναι καὶ ἀληθῆ διεχυρισάμενος ὐδὲν ἧττον πᾶσαν ψευδῆ λέγειν ἀναγκάζει διὰ τοὺς ἀντιφάσκοντας ἀλλήλοις. Syrian.

73 18. ἐρωτᾷ γὰρ αὐτούς, πότερον ἕκαςον τῶν ὄντων πάσας δέχεται τὰς ἀντιφάσεις ἢ ὔ, ἀλλὰ τάσδε μὴ τάδε, ἄλλας δὲ ἄλλα; εἰ μὴ γὰρ μὴ ἕκαςον πάσας, ἤδη ἄν τις ὅρος ἐν τοῖς πράγμασι φαίνοιτο· αὐτὸ γὰρ τοῦτο τὸ τάδε μὴ εἶναι ἐν τοῖσδε τάδε δὲ μὴ εἶναι ἰδιότητός ἐςιν ἀφωρισμένης. καὶ εἰ μὴ πᾶσαι δὲ αἱ καταφάσεις, ἀλλ' αἱ ἀποφάσεις πᾶσαι κατὰ τοῦ αὐτοῦ, εὑρεθείη ἄν τι βέβαιον ἐν αὐτοῖς μὴ ὄν. καίτοι γελοιότερόν ἐςι φρήσει μὴ βεβαιότητα διδόναι, εἴδει δὲ μὴ διδόναι. τοῦτο δὲ συμβαίνει, ἐὰν πᾶσαν μὴ κατάφασιν σὺν τῇ ἀποφάσει λέγωσι παρεῖναι, μὴ πάσῃ δὲ ἀποφάσει συνεῖναι κατάφασιν. πῶς γὰρ ὐκ ἄτοπον τὴν κατάφασιν βεβαιοτέραν εἶναι καὶ ἀμικοτέραν καὶ γνωριμωτέραν τῆς ἀποφάσεως; ἀλλ' ὅμως διδόασί τε καὶ ὡρίζοντο, εἴτε φρήσις εἴθ' ὅ τί ποτε. id.

73 28. γνωριμωτέρα ἂν εἴη ἡ ἀντικειμένη φάσις τῇ ἀποφάσει, τουτέςιν ἡ κατάφασις. ὐ τῇ καταληπτῇ δὲ καὶ ὁμολογουμένῃ εἶναι ἀποφάσει λέγοι ἂν τὴν ἀντικειμένην κατάφασιν γνωριμωτέραν, ἀλλ' ὅτι καθόλου ἐν ἀντιφάσει κατάληψις μᾶλλον ἂν ἐν καταφάσει εἴη· γνωριμώτερον γὰρ καθόλου τὸ εἶναι τοῦ μὴ εἶναι. Alex.

73 29. πάλιν ἄλλο ἐπιχείρημα τοῦ αὐτοῦ κατασκευαςικόν. φησὶ δὲ τοῦτο. εἰ ὁμοίως ἐπὶ πάσῃ συντρέχει ἡ ἀπόφασις τῇ καταφάσει, ἤτοι ἀληθές ἐςι διαιροῦντα λέγειν ὅτι τόδε λευκόν ἐςι καὶ πάλιν ὅτι ὐ λευκόν, ἢ ἅμα λέγειν ὅτι τὸ αὐτὸ λευκὸν καὶ ὐ λευκόν. καὶ εἰ μὴ εἴη ἀληθὲς διαιροῦντα λέγειν, ἀλλὰ ἅμα λέγειν ὅτι λευκὸν καὶ ὐ λευκόν, ὁ τοιοῦτος ὐδὲν λέγει. Asclep.

ἀλλ' εἰ μήτε ἡ κατάφασις μήτε ἡ ἀπόφασις ἀληθὴς ἰδίᾳ 74 4.
λεγομένη, ὐκ ἀληθεύσει ὁ ταῦτα λέγων. τῦτο γὰρ σημαίνει τὲ "ὐ λέγει τε ταῦτα." εἰ γὰρ ὐκ ἀληθεύσει ὁ λέγων ταῦτα, ὐδὲ ἔςιν. Alex.

5 μηδενὸς δὲ ὄντος ὐδ' ἂν ἄνθρωπος εἴη, μὴ ὄντος δὲ ἀνθρώπυ 74 5.
ὐδ' ἂν φθέγγοιτό τις ὐδὲ λέγοι. μὴ γὰρ ὄντων τῶν ἐνεργύντων ὐδ' ἂν αἱ ἐνέργειαι εἶεν· ὐκ ἔςαι δὲ τὰ ἐνεργῦντα, ὅτι μή εἰσιν ἀληθεῖς αἱ καταφάσεις αἱ εἶναι αὐτὰ λέγυσαι. ἔτι ὡς αἱ τῶν ἐνεργύντων καταφάσεις ὐκ ἀληθεῖς, ὐδὲ αἱ τῶν ἐνεργειῶν, οἷον τῦ βα-
10 δίζειν, τῦ φθέγγεσθαι. ὥςε καὶ κατ' τῦτο ὐδὲ ταῦτα ἔςαι. id.

ὥςε ὁ τοιῦτος ὐ διαλέγεται ἀλλ' ἄφωνος ἐςίν, ὅτε δὲ βαδίζει. Asclep.

ἂν δὲ κατ' αὐτῦ καὶ τὰς καταφάσεις πάσας ἀληθεύεσθαι λέγωσι καὶ τὰς ἀποφάσεις, ἐρατητέον αὐτὺς εἰ καὶ καθ' αὐτὴν ἑκα-
15 τέρα λεγομένη ἀληθεύει, οἷον ἔςι τυτὶ ἄνθρωπος καὶ πάλιν ὐκ ἔςι τυτὶ ἄνθρωπος. ἢ καθ' ἑαυτὴν μὲ ὐδετέρα τύτων ἀληθεύει, τὲ συναμφότερον δὲ μόνως ποιεῖ τὴν ἀλήθειαν. ἔςιν ἄνθρωπος, ὐκ ἔςιν ἄνθρωπος. ὁπότερον γὰρ ἂν ἕλωνται καὶ κοινῇ τῶν αἱρέσεων ἑκατέρα καὶ ἰδίᾳ, συμβήσεται ἄτοπα. εἴτε γὰρ μὴ ἀληθεύυσιν ἰδίᾳ λε-
20 γόμενα, πρῶτον μὲ ὐδὲν σημαίνυσι· κατάφασις γὰρ μὴ ἀληθεύυσα ἢ ψευδομένη σημαίνει ὐδέν. ἔπειτα ὐδὲ ἔςαι τι ἐν τοῖς πράγμασιν, εἴπερ μήτε καταφῆσαι ἔςι περί τινος αὐτῶν ἰδίᾳ μήτε ἀποφῆσαι. εἰ δὲ μὴ ἔςι τι, ὐδ' ἄνθρωπος· εἴπερ γάρ τι τῶν ὄντων, ὁ ἄνθρωπος, ὥςε ὐδὲ τὲ φθεγξόμενον ὐδὲ τὲ βαδίζον, ἀνθρώπυ
25 μὴ ὄντος. Syrian.

ἔτι δὲ τῦδε παραδοξότερον τὲ πάλιν ἕκαςον πάντα ἓν ἀνα- 74 6.
φαίνεσθαι· εἰ γὰρ ταὐτὲ ἄνθρωπος καὶ ὐκ ἄνθρωπος, καὶ τοῖχος καὶ ὐ τοῖχος, πάντα ἂν εἴη ἅμα· καὶ ὐδὲν ἄρα ἔςαι καὶ πάντα ἕν, εἴπερ ἰδίᾳ μὲ αἱ καταφάσεις μὴ σημαίνοιεν, μηδ' αἱ ἀποφάσεις, συνα-
30 φθεῖσαι δὲ ἀλλήλαις μόνως ἀληθεύοιεν. εἰ δὲ καὶ διαιροῖεν αὐτὰς ἀπ' ἀλλήλων, καὶ λέγοιεν ἀληθεύειν, καὶ πάντα ἂν εἴη τὲ αὐτὲ διὰ τὰς καταφάσεις καὶ ὐδὲν διὰ τὰς ἀποφάσεις. ὥςε τῦτο μὲ κοινὸν τῶν δυὸ ὑποθέσεων. ἴδιον δὲ τῆς μὲ τὲ τὰς καταφάσεις καὶ τὰς

ἀποφάσεις διαιρουμένας λέγειν μηδὲν σημαίνειν, τῆς δὲ τὰ πάντας λέγειν ἀληθεύειν καὶ πάντας ψεύδεσθαι. id.

74 13. καὶ δῆλον εἶναί φησιν ὁ Ἀριστοτέλης, ὅτι ὁ τοιοῦτος ἀνεπιτήδειος εἰς λόγων κοινωνίαν. ἑαυτῷ γὰρ παρὰ πόδας ἀντιφάσκει ἀναιρῶν ἃ τίθησι, καὶ πάλιν καὶ τὴν ἀντίφασιν αὐτὴν ἀναιρῶν, ἵνα μηδὲν ὡρισμένον ἀπολίπῃ. id.

εἰ γὰρ μηδ' ὅτος ἀληθεύει, πῶς ἔτι φασὶ τοιαύτην εἶναι τῶν πραγμάτων τὴν φύσιν, ὡς οὕτω τε καὶ μὴ οὕτως ἔχειν; ἀλλ' ἄρα οὐδέτεροι μὲν ἀληθεύουσιν, ἵνα μὴ σὺν τῇ ἀληθείᾳ τὰ ὡρισμένον εἰς τὰ πράγματα παρέλθῃ, μᾶλλον μὲν ὁ τὰ συναμφότερον λέγων ἢ ὁ τὰ μόριον τῆς ἀντιφάσεως. εἰ γὰρ τοῦτο ἤδη ἀντιφαίνοιτο ἐν τοῖς πράγμασιν ἀφωρισμένον, ὁ μὲν ἐγγυτέρω χωρῶν μᾶλλον ἀληθεύειν λέγει, ὁ δὲ ἀποπεπτωκὼς μάλιστα διεψεῦσται. εἰ δὲ τολμῶεν ἅπαντας ὁμοίως μὲν ἀληθεύειν ὁμοίως δὲ ψεύδεσθαι φάσκειν, ἀναιροῦσι λοιπὸν καὶ λόγον καὶ διδασκαλίαν καὶ ἀπόδειξιν· εἰ δὲ καὶ οὕτως ὑπολαμβάνοιεν, ὅτ' ἂν ἄνθρωποι λοιπὸν ὅθ' ὅλως αἰθητικοὶ φαίνοιντο, τὸν φυτῶν δὲ βίον ἂν διαζῶεν. id.

79 8. ὃς ἑταῖρος μὲν γέγονεν Ἡρακλείτου, προσεπέτεινε δὲ τῇ ἐκείνου δόξῃ, ἀΐδιον καὶ ἀδιάλειπτον τὴν ἐν τοῖς οὖσι ῥύσιν τε καὶ μεταβολὴν ἡγούμενος εἶναι, ὡς καὶ τῷ διδασκάλῳ Ἡρακλείτῳ εἰπόντι ἐπιτιμᾶν μὴ οἷόν τε δὶς τῷ αὐτῷ ποταμῷ ἐμβῆναι διὰ τὴν ῥύσιν, εἰκάζοντι πάντα ῥέοντι ποταμῷ· οὐ γὰρ μόνον αὐτὸς ἔλεγεν οὐ δίς, ἀλλ' οὐδ' ἅπαξ οἷόν τε εἶναι τῷ αὐτῷ ποταμῷ ἐμβῆναι. οὗτος οὐδὲ λέγειν τι ᾤετο δεῖν ὡς μηδὲν ὑπομένον τὴν τοῦ λέγοντος κατηγορίαν· φθάνειν γὰρ τὴν ὑποκειμένην φύσιν, περὶ ἧς ὁ λόγος, διὰ τὴν συνεχῆ ῥύσιν τὸν περὶ αὐτῆς λεγόμενον λόγον ἀλλοιουμένην καὶ ἄλλην γιγνομένην, ὡς μὴ εἶναι συμφωνοῦν ποτὲ αὐτῇ τὸ λεγόμενον περὶ αὐτῆς. ἠξίου δὲ τῷ δακτύλῳ δεικνύναι τὸ ὑποκείμενον μόνον, μὴ λέγοντά τι λίθον ἢ ξύλον ἢ χρυσὸν ἢ ἄλλο· ταῦτα μὲν γὰρ οὐχ ὑπομένειν διὰ τὴν ἀλλοίωσιν καὶ τὴν κατ' οὐσίαν μεταβολήν, τὸ μέντοι δεικνύμενον τῷ δακτύλῳ εἶναι τοῦτο ὅ τι ποτὲ καὶ τύχοι ὂν ὅτε δείκνυται. Alex.

79 2. οὕτω γὰρ εἰπεῖν πρὸς αὐτούς, ὥσπερ Ἐπίχαρμος ὁ κωμικὸς ὑβριστικῶς προῆλθεν εἰς τὸν Ξενοφάνην. Asclep.

ἔπειτα δὲ ὅτι καὶ ἐν αὐτοῖς τοῖς αἰσθητοῖς τὸ μέν τι μεταβάλ- 79 12.
λει τὸ δὲ μένει· μεταβάλλει μὲν γὰρ ποσότης καὶ τἆλλα πάθη, μένει
δὲ τὸ εἶδος τὸ Σωκράτους ἐκ γενετῆς ἄχρι θανάτου. καίτοι οὐδὲ τὸ
μεταβάλλον αὐτῷ πάντῃ οὐ μένει· οὐ γὰρ μεταβέβληκεν ἀλλὰ με-
5 ταβάλλει. σαφῶς δὲ τὸ εἶδος ὑπομένει, ὥςε μηκέτι χώραν ἔχειν
ἐπ' αὐτῷ τὸ Σωκράτης καὶ ὁ Σωκράτης. καὶ ταῦτα μὲν περὶ τῶν
ἐνύλων. Syrian.

ἀλλὰ τὰ μὲν νοητὰ καὶ τὰ οὐράνια ἕςηκεν, ἕνα ὅρον καὶ μίαν ἀεὶ 80 1.
τάξιν διαφυλάττοντα, τὰ δὲ ἐν γενέσει μικρὰ ὄντα καὶ τῷ ὄγκῳ
10 καὶ τῇ ἀξίᾳ ὡς πρὸς τὸν ὅλον οὐρανὸν ἐνεργείᾳ μὲν οὐ δέχεταί ποτε τὰ
ἐναντία, δυνάμει δὲ διὰ τὴν ὕλην, ἐπεὶ εἰ ἐνεργείᾳ ἦν ἐν τοῖς
γεννητοῖς τὰ ἀντικείμενα, οὐδ' ἂν κίνησις ὤφθη ἐν αὐτοῖς οὐδέ τις
τρόπος μεταβολῆς· νυνὶ γὰρ τὸ λευκὸν γέγονέ τε ἐξ οὐ λευκοῦ καὶ
μεταβάλλει εἰς μὴ λευκόν. εἰ δὲ καὶ ταὐτὸν καὶ λευκόν ἐςι καὶ οὐ
15 λευκόν, καὶ ἀγένητόν ἐςι καὶ ἄφθαρτον καὶ πάντῃ ἀμετάβλητον· εἰς
ὃ γὰρ μεταβαλεῖ οὐκ ἔχει· ὥςε συμβαίνει πάντα ἰςάνειν τὸς ἐνερ-
γείᾳ τὰ ἀντικείμενα φάσκοντας ἐν τοῖς γεννητοῖς εἶναι. μεταβο-
λῆς δὲ ἀναιρουμένης οὐδ' ἂν γένεσις οὐδ' ἂν γεννητόν τι εἴη· πάντα
γὰρ ὑπάρχει πᾶσι. id.

20 δύναται τὴν δακτύλων ἐπαλλαγὴν λέγειν εἶναι τὴν πρὸς ἀλ- 82 23.
λήλους συμπλοκήν. Alex.

ἡ μὲν ἀφὴ δύο λέγει εἶναι τὸς δακτύλους, ἡνίκα τὸν ἕτερον τῷ
ἑτέρῳ ἐπιπλέξομεν. Asclep.

εἰ οὖν τὸ αὐτὸ ἴσον τε εἴη καὶ διπλάσιον καὶ ἥμισυ, πρὸς πλείω 83 3.
25 μὲν ῥηθήσεται (καὶ γὰρ πρὸς ἴσον καὶ πρὸς ἥμισυ καὶ διπλάσιον) ἀλλὰ
καθ' ἕκαςον πρὸς ὡρισμένον· ὅτε γὰρ ἴσον πρὸς ἄλλο τι ἢ πρὸς
ἴσον. Alex.

ἔτι εἰ πάντα πρός τι, οὐκ ἔςαι ὁ ἄνθρωπος καὶ δοξάζον καὶ 83 5.
δοξαζόμενον· τὸ γὰρ πρός τι ἑτέρου ἐςίν. εἰ οὖν αὐτό ἐςι δοξαζο-
30 μένῳ εἶναι καὶ ἀνθρώπῳ εἶναι (τοῦτο γὰρ ἔχει ἡ ὑπόθεσις καὶ δοξάζοντι
καὶ ἀνθρώπῳ εἶναι), οὐ πρὸς ἕτερον ῥηθήσεται· ὃ καὶ τῆς ὑποθέσεώς
ἐςι ἀνατρεπτικώτερον καὶ τῇ ἀληθείᾳ μαχόμενον. ἔτι τῶν πρός
τι ὃ ἂν λάβῃς, πρὸς ἓν εὑρήσεις λεγόμενον, ἢ πάντως γε πρὸς
ὡρισμένα· τὸ δὲ δοξάζον πρὸς τὸ δοξαζόμενον εἰ λέγοιτο, πρὸς

ἄπειρα ῥηθήσεται· δοξάζεται γὰρ ἵππος κύων ἔλαφος καὶ πᾶν φυτόν· εἰ μὴ ἓν ἄλλο ἦν ἑκάστῳ τὸ εἶναι, πάθημα δὲ κοινὸν αὐτῶν τὸ δοξάζεται, πρὸς ἓν ἐλέγετο τὸ δοξάζον· πρὸς γὰρ τὸ κοινὸν πάθημα τῶν ζῴων καὶ τῶν φυτῶν. εἰ δὲ ταὐτὸν ἑκάστῳ αὐτῶν τό τε εἶναι καὶ τὸ δοξάζεται, εἴγε συναποτίκτεται τῇ δόξῃ τὸ εἶδος αὐτῶν, εἴη ἂν πρὸς ἄοριστα λεγόμενον τὸ δοξάζον· ὁ γὰρ ἅπαντα πρός τι, ὅτε πᾶν τὸ φαινόμενον ἀληθές. Syrian.

83 18. τουτέστι τὸ ἕτερον τῶν ἐναντίων οὐχ ἧττον στέρησίς ἐστιν ἢ ἐναντία. κέχρηται δὲ τῷ ἐπιχειρήματι τούτῳ μάλιστα ἐν τοῖς περὶ Γενέσεως καὶ Φθορᾶς (1 3). δύναται τὸ "οὐχ ἧττον" σημαντικὸν εἶναι τοῦ οὐχ ἧττον τὸ ἕτερον τοῦ ἑτέρου στέρησις. Alex.

83 16. μετὰ ταῦτα προσέθηκε τὸ "οὐσίας δὲ στέρησις," ἴσον λέγων τῷ ἡ δὲ στέρησις οὐσίας, τουτέστιν ὄντος τινὸς καὶ ὡρισμένου. ὃ ἐξηγούμενος προσέθηκεν "ἡ δὲ στέρησις ἀπόφασίς ἐστιν ἀπό τινος ὡρισμένου γένους." id.

84 4. εἰ εἴη, φησί, τὸ τῆς ἀντιφάσεως μεταξὺ τοιοῦτον, καὶ ὅτως αὐτῶν μεταξὺ ὡς τὰ τυχόντων τινῶν μεταξὺ λαμβανόμενα, καθὸ μηδετέρῳ αὐτῶν ἐστὶ τὰ αὐτά, οὐκ ἂν εἰς αὐτὰ γίγνοιτο μεταβολὴ ἢ ἀπὸ τῆς καταφάσεως ἢ ἀπὸ τῆς ἀποφάσεως· τοῦ μὲν γὰρ ἀγαθοῦ εἰς οὐκ ἀγαθὸν ἡ μεταβολή, καὶ τοῦ οὐκ ἀγαθοῦ, ὅταν κατὰ τοῦτο μεταβάλλῃ, εἰς ἀγαθὸν ἡ μεταβολή. ἀλλὰ μὴν ἀεὶ φαίνεται ἐν οἷς τί ἐστι μεταξύ, εἰς τοῦτο γινομένη ἑκατέρου τῶν ἄκρων τε καὶ ἀντικειμένων ἡ μεταβολή. λείπεται ἄρα ὡς ἀντικειμένων εἶναι αὐτῶν μεταξύ τι, εἰ ἔστιν, ὡς τοῦ λευκοῦ καὶ μέλανος τὸ φαιόν, ὃ καὶ κυρίως ἐστὶ μεταξύ. διὸ καὶ ὅτως εἶπεν "εἰ δέ ἐστι μεταξύ," τουτέστιν εἰ δέ ἐστι κυρίως αὐτῶν μεταξύ, καὶ ὅτως ἔχει ἡ ἀντίφασις ὡς ἀντικεῖσθαί τε καὶ μεταξύ τι ἔχειν αὐτῆς· τοῦτο γὰρ σημαίνει τὸ "καὶ ὅτως ἡ ἀντίφασις," λείποντος τῇ λέξει τοῦ ἔχει. ἢ "καὶ ὅτως ἡ ἀντίφασις," τουτέστι καὶ ὅτως ἐστὶ τὸ εἶναι τῇ ἀντιφάσει. συμβήσεται, φησί, τὴν γένεσιν καὶ τὴν μεταβολὴν τὴν εἰς λευκὸν γίγνεσθαι ἐξ οὐχὶ οὐ λευκοῦ, ἀλλ' ἐκ τοῦ οὐ λευκοῦ· τοῦτο δέ, ἐπεὶ διὰ τῶν μεταξὺ γίνεται εἰς τὰ ἄκρα ἡ μεταβολή. τὸ δὴ ἐκ τοῦ μεταξὺ τοῦ τε λευκοῦ καὶ τοῦ οὐ λευκοῦ μεταβάλλον εἰς λευκὸν ἐξ οὐχὶ οὐ λευκοῦ μεταβάλλοι ἂν εἰς λευκόν, καὶ γίνοιτο ἄν τι λευκὸν ἐξ οὐχὶ οὐ λευκοῦ. ἡ γὰρ

ἑκατέρυ τῶν ἄκρων ἀπόφασις ἀληθὴς κ̓ τῦ μεταξύ· τὸ γὰρ φαιὸν ὅτε λευκὸν ὅτε μέλαν. εἰ δὴ κ̓ τῦ λευκῦ κ̓ τῦ ὐ λευκῦ μεταξύ τί ἐςιν, ἔςαι ἐπὶ τύτυ ἀληθὲς τὸ ὐχὶ ὐ λευκόν· τὸ γὰρ ὐ λευκὸν ἡ ἀπόφασις ἦν κ̓ τὸ ἀντικείμενον, ὥςε κ̓ ἡ εἰς τὸ λευκὸν ἐκ τύτυ
5 μεταβολὴ ἐξ ὐχὶ ὐ λευκῦ γένοιτο ἄν· ἐκ γὰρ τῶν ὅτως μεταξὺ γίνεται εἰς τὰ ἄκρα μεταβολή. ἀλλὰ μὴν τὸ ὐχὶ λευκὸν λευκόν ἐςιν· ὐδὲν δὲ εἰς ὃ ἔςι μεταβάλλει· γίνεται γὰρ εἰς λευκὸν μεταβολὴ ἐξ ὐ λευκῦ, ἀλλ' ὐκ ἐξ ὐχὶ ὐ λευκῦ. ὐκ ἄρα ἔςαι τι τῆς ἀντιφάσεως μεταξύ. id.

10 "διανοητόν τε κ̓ νοητόν" ἤτοι ἐκ παραλλήλυ εἴρηκεν, ἢ διανοητὲν μὲ λέγει τὸ πρακτόν, ἢ ὃ διεξέρχεται ἡ διάνοια ἐκ πλειόνων συλλογιζομένη ἢ δι' ἐπαγωγῆς λαμβάνυσα, νοητὲν δὲ τὸ θεωρητὲν ἢ τὸ ἁπλῦν νόημα. id. 84 7.

ὁ δὲ ἀρνησάμενος κ̓ εἰπὼν μὴ εἶναι ὐδὲν ἄλλο ἢ τὸ εἶναι
15 ἀποφάσκει. id. 84 23.

Ἀναξαγόρας δὲ εἶναί τι μεταξὺ τῆς ἀντιφάσεως λέγει· τὸ γὰρ μῖγμα εἰ ἐξ ἀγαθῦ κ̓ κακῦ εἴη, ὅτε ἀγαθὸν ὅτε πάλιν ὐκ ἀγαθόν, ὁμοίως δὲ κ̓ ὅτε κακὸν ὅτε ὐ κακόν· διὸ μεταξύ τι εἶναι λέγει τῆς ἀντιφάσεως κ̓ πάντα ψευδῆ τὰ ἀντικείμενα, τυτέςι κ̓
20 τὴν κατάφασιν κ̓ τὴν ἀπόφασιν. ὅταν γὰρ ᾖ μεμιγμένα τὸ ἀγαθὸν κ̓ τὸ κακόν, τὸ ἐξ αὐτῶν φησὶ μῖγμα ὅτε ἀγαθὸν ὅτε ὐκ ἀγαθὸν κ̓ ὅτε κακὸν ὅτε ὐ κακόν, ἀλλ' εἶναι τὸ τοιῦτον μῖγμα. πάντα δὴ ἡγεῖτο ἐν πᾶσι μεμῖχθαι, ὥςε περὶ ἑκάςυ τῶν ὄντων πᾶσαι αἱ ἀντιφάσεις ψευδεῖς κατ' αὐτόν. id.

25 κ̓ τὰ μοναχῶς λεγόμενα, ὃ ἐξηγύμενος προσέθηκε τὸ "κ̓ τὰ κ̓ πάντων·" τὰ γὰρ κ̓ πάντων ὁμοίως λεγόμενα μοναχῶς λέγεται. id. 85 8.

ἀποτεινόμενος δὲ ταῦτα πρὸς Ἡράκλειτον λέγει κ̓ ὅσοι διὰ τὸ συνεχῆ τὴν ῥύσιν εἶναι ἐν τοῖς ὅσιν ἔλεγον ἅμα κ̓ ταὐτὸν ἀλη-
30 θὲς κ̓ τὸ εἶναι κ̓ τὸ μὴ εἶναι. id. 85 18.

φέρεται δὲ κ̓ ὅτως ἡ λέξις "εἰ δὲ μηδὲν ἄλλο τὸ ἀληθὲς ἢ φάναι ἢ ἀποφάναι κ̓ τὸ ψεῦδός ἐςιν," κ̓ εἴη ἂν τὸ λεγόμενον, εἰ μηδὲν ἄλλο τὸ ἀληθὲς σημαίνει ἢ τὸ καταφῆσαί τι ἢ ἀποφῆσαι, κ̓ τὸ ψεῦδος ὁμοίως. δύναται κ̓ τοιῦτον εἶναι τὸ λεγόμενον διὰ τῆς 85 23.

λέξεως· εἰ δὲ μηδὲν ἄλλο τὸ ἀληθῆ φάναι ἢ ὅτι τὸ ἀποφάναι ψεῦδος, τυτέςιν εἰ δὲ μηδὲν ἄλλο σημαίνει ὑπὸ τῦ ἀληθῆ εἶναι τὴν κατάφασιν ἢ ὅτι ἡ ἀπόφασίς ἐςι ψευδής. id.

85 29. ὑ γὰ μόνος ὁ ἀντιλέγων αὐτῷ, ἀλλὰ καὶ ὁ τῦτον ἀποδεχόμενος καὶ ὁ τὸν ἀποδεχόμενον ἐπαινῶν, καὶ τῦτο εἰς ἄπειρον· ὥςε πολλοὶ ψεύσονται. κᾷ δὲ τὸν εἰπόντα πάντα ψευδῆ πάλιν οἱ ἀληθεύσοντες πολλοί· αὐτός τε γὰ ὗτος καὶ οἱ τύτυ θιασῶται καὶ οἱ τῶν ἐπαινετῶν ἐπαινέται, καὶ χορὸς ὑκ ὀλίγος ἕψεται τῶν ἀληθευσόντων. Syrian.

86 10. αὕτη ἡ λέξις ὑ φέρεται ἔν τισιν ὡς ὕσα οἰκεία τῆς φυσικῆς· ὑ μὴν ἀλλ' ἐπεὶ συγχρώμενος τοῖς προδεδειγμένοις περὶ αὐτῶν λέγειν δοκεῖ, ὑκ ἂν εἴη παντάπασιν ἀλλοτρία τῶν προειρημένων. Alex.

86 25. Ὅτι μὴ Ἀριςοτέλυς ἐςὶ τὸ ἐπιγραφόμενον Δ τῶν Μετὰ τὰ Φυσικὰ βιβλίων, ἐν ᾧ διαίρεσιν τῶν πολλαχῶς λεγομένων ποιεῖται, καὶ ἀπὸ τῆς λέξεως καὶ ἀπὸ τῶν ἐν αὐτῷ λεγομένων γνώριμον· ὅτι δὲ καὶ ταύτης τῆς πραγματείας, δῆλον ἐξ ὧν προείρηκε. δέδειχε μὴ γὰ ὅτι τῦ πρώτυ φιλοσόφυ ἡ περὶ τῦ ὄντος καθόλυ πραγματεία καὶ τῶν τύτῳ κοινῶς ὑπαρχόντων, κοινὰ δὲ τῦ ὄντος εἰσίν, οἷς ἐπιςῆμαι πᾶσαι χρῶνται· περὶ τύτων γὰ ἡ θεωρία τῦ πρώτυ φιλοσόφυ· ὑδεμιᾶς γὰ ἐκείνων ἴδιος ἡ περὶ αὐτῶν πραγματεία· ὑδενὶ γάρ τινι τῶν ὄντων, ᾗ τόδε τί ἐςιν, ὑπάρχει τι αὐτῶν, ἀλλὰ τῷ ὄντι ᾗ ὄν, περὶ ὃ ἡ τῦ πρώτυ φιλοσόφυ πραγματεία. τὸ μὴ γὰ ἀναγκαῖον τῆς περὶ αὐτῶν διαλήψεως ἡ χρῆσις δείκνυσι· πᾶσαι γὰ αἱ ἐπιςῆμαι τύτοις χρώμεναι τὰ προκείμενα αὐτῶν δεικνύυσιν· ὅτι δὲ μηδεμιᾶς ἴδιός ἐςι τῶν καθ' ἕκαςα ἐπιςημῶν, ἡ κοινὴ χρῆσις αὐτῶν παρίςησι. πρὸς δὲ τύτοις κεῖται, περὶ ὧν ὁ διαλεκτικὸς κᾷ τὸ ἔνδοξον ποιεῖται τὺς λόγυς, περὶ τύτων τὴν πρώτην φιλοσοφίαν ἐπιςημονικῶς λέγειν· καὶ γὰ τῷ διαλεκτικῷ περὶ τὰ κοινὰ πᾶσιν ἡ τοῖς πλείςοις ἡ πραγματεία, καὶ περὶ τῶν πολλαχῶς δὲ λεγομένων ὁ διαλεκτικὸς διαλαμβάνει· ἔςαι τοίνυν καὶ διαλεκτική... ὅτι δὲ καὶ ἡ τάξις τῦ βιβλίυ αὕτη, δῆλον ἐκ τῦ ποιεῖσθαι μὴ αὐτὴν τὴν διαίρεσιν τῶν πολλαχῶς λεγομένων τύτων, οἷς αἱ ἐπιςῆμαι χρῶνται, ἃ κοινῶς τῷ ὄντι παρακολυθεῖ· περὶ ὧν

εἶπε καὶ ἐν τῷ δευτέρῳ δεῖν τὸν φιλόσοφον πραγματεύεσθαι διελόμενον ποσαχῶς ἕκαστον αὐτῶν λέγεται. ἀκόλουθον δέ ἐστι μετὰ τὸ δεικθῆναι περὶ τίνων ἐστὶ τῆς πρώτης φιλοσοφίας ἡ θεωρία, ὃ ἐν τῷ τρίτῳ δέδεικται, ἐφεξῆς περὶ τούτων πρώτων θεωρεῖν οἷς ἀναγ-
5 καῖον χρῆσθαι πρὸς τὴν τῶν ἄλλων τῶν μελλόντων δείκνυσθαι θεωρίαν τε καὶ δεῖξιν. διὸ καὶ πρῶτον περὶ ἀξιώματος εἶπε τοῦ ἐπὶ παντὸς δεῖν τὴν κατάφασιν ἢ τὴν ἀπόφασιν, ὄντος πρὸς τὰς δείξεις χρησίμου· μεθ' ἃ ἐν τούτῳ τὴν διαίρεσιν ποιεῖται τῶν οὕτως πολλαχῶς λεγομένων. ὅτι δὲ μὴ ἀτελὲς τὸ βιβλίον, ὡς οἴονταί τινες
10 τεκμαιρόμενοι τῷ μὴ πάντων αὐτὸν τῶν πολλαχῶς λεγομένων τὴν διαίρεσιν ποιεῖσθαι, δῆλον ἐκ τοῦ μὴ ἁπλῶς ἐν αὐτῷ προκεῖσθαι τοῦτο ποιεῖν, ἀλλὰ τούτων μόνων οἷς ὡς κοινοῖς αἱ ἐπιστῆμαι πᾶσαι χρώμεναι τὰ προκείμενα αὐταῖς δεικνύουσιν· οὔτε γὰρ περὶ τῶν ὁμωνύμων λέγειν ἡμῖν πρόκειται, οὔτε περὶ πάντων τῶν ἀφ' ἑνός τε
15 καὶ πρὸς ἕν, ἀλλὰ περὶ τῶν πολλαχῶς ἐχόντων, διότι τῷ ὄντι καθὸ ὄν ἐστιν ὑπάρχει, καὶ αὐτῷ λεγομένῳ πολλαχῶς. διὸ οὐχὶ μαθηματικὸν ἤ τι τῶν τοιούτων λαμβάνει, ἃ καὶ αὐτὰ πολλαχῶς λέγεται, ὅτι μὴ τούτοις προχρώμεναι αἱ ἐπιστῆμαι δεικνύουσί τι τῶν ὑφ' αὐτάς, ἀλλὰ ἀρχῇ καὶ αἰτίᾳ καὶ φύσει καὶ στοιχείῳ καὶ αὐτοῖς τούτοις,
20 ὧν πάντων κοινῶν ὄντων πεποίηται τὴν διαίρεσιν ἐν αὐτῷ ὡς ὄντων οἰκείων τῆσδε τῆς πραγματείας. ὅθεν καὶ μᾶλλον δῆλον γίνεται τὸ βιβλίον ὅτι ἐκ ταύτης ἐστὶ τῆς συντάξεως· εἰ γάρ τινα τούτοις παρακείμενα παραλέλειπται, διαιροῖτο ἂν κἀκεῖνα κατὰ τὴν τῶν οἷς ἐστὶ παραπλήσια διαίρεσιν. ποιούμενος δὲ τὴν διαίρεσιν ἐν τούτῳ τῷ
25 βιβλίῳ τούτων ὅσα κοινῶς τῷ ὄντι ὑπάρχοντά τε καὶ παρακολουθοῦντα δοκεῖ πλεοναχῶς λέγεσθαι, πρῶτον περὶ ἀρχῆς λέγει. id.

ἀρχὴ λέγεται καὶ ἀφ' οὗ πρώτου γίνεταί τι μὴ ἐνυπάρχοντος, 87 b.
τουτέστιν ὅθεν ἡ ἀρχὴ τῆς κινήσεως· τοιαύτη δέ ἐστιν ἡ ποιητικὴ ἀρχή, ὡς καὶ αὐτὸς ἐδήλωσεν ἐπενεγκὼν "καὶ ὅθεν πρῶτον ἡ
30 κίνησις πέφυκεν ἄρχεσθαι καὶ ἡ μεταβολή." ἢ δύο ἐστὶ τὰ εἰρημένα καὶ οὐχ ἓν διὰ τῶν λέξεων, καὶ "ὅθεν γίνεται πρῶτον μὴ ἐνυπάρχοντος" καὶ "ὅθεν πρῶτον ἡ κίνησις πέφυκε καὶ ἡ μεταβολή." καὶ εἴη ἂν διὰ μὲν τῆς πρώτης ἀρχὴν λέγων τὴν τοῦ τέλους καὶ σκοποῦ γνῶσιν (τοῦτο γὰρ ἐν τοῖς πρακτοῖς ἀρχὴ πρώτη τοῦ γενέσθαι τὸ πρα-

κτικόν· μνημονεύει γὰρ αὐτῶ ὡς ἀρχῆς καὶ ὀλίγον προελθών), διὰ δὲ τῆς δευτέρας λέγοι ἂν περὶ τοῦ ποιητικοῦ. καὶ εἴη ἂν οὕτως ἡ διαίρεσις αὐτῷ τῆς ἀρχῆς εἰς ὀκτὼ γεγονυῖα. id.

87 16. κατὰ δὲ τὴν ἀλήθειαν οὐχ οὕτως ἔχει· ἐπὶ πλέον γάρ ἐστιν ἡ ἀρχὴ τοῦ αἰτίου, διὸ καὶ προέταξε τὴν ἀρχὴν τοῦ αἰτίου... ὡς ὂν πρὸς τοὺς πολλοὺς εἶπεν ὁ φιλόσοφος ὅτι "ἰσαχῶς δὲ καὶ τὰ αἴτια λέγεται." Asclep.

87 19. διαφοράν φησιν αὐτῶν τὸ τὰς μὲν ἐνυπάρχειν τούτοις, ὧν εἰσὶν ἀρχαί, τὰς δὲ ἐκτὸς εἶναι· ἡ μὲν οὖν ὕλη καὶ τὸ στοιχεῖον. στοιχεῖον δὲ καλεῖται ἡ προσεχὴς ὕλη ἑκάστου, ἥτις ἤδη ἐνεργείᾳ ἐστί, τὸ δέ τι σῶμα. Syrian.

87 23. πάντα δὲ τὰ εἰρημένα περὶ αὐτῶν νῦν αὐταῖς λέξεσι ταὐτά ἐστι τοῖς ἐν τῷ B (c. 3) τῆς Φυσικῆς Ἀκροάσεως εἰρημένοις. διὸ καὶ ἐξ ἐκείνων τὴν ἐξήγησιν μετενεκτέον. Alex.

87 24. τὰ ῥητὰ ταῦτα μετενήνεκται ἐνταῦθα ἐκ τῆς Φυσικῆς Ἀκροάσεως. ἔλεγον γὰρ ὅτι τινὰ παραπωλοῦντο, καὶ μὴ δυνηθέντες μιμήσασθαι ἐκ τῶν αὐτοῦ ἐφήρμοσαν. ἀμέλει καὶ τὸ K στοιχεῖον ὅλον ἐκ τῶν ἄλλων αὐτοῦ ἐστὶν ἀκροάσεων. Asclep.

παράδειγμα τὸ εἶδος εἶπεν οὐχ ὡς οἱ τὰς ἰδέας λέγοντες· οὔτε γὰρ δοκεῖ τὴν ἀρχὴν αὐτῷ τῶν φύσει τι γιγνομένων γίγνεσθαι πρός τι ὂν ἔξω παράδειγμα· οὐδὲ γὰρ τὰ ποιοῦντα φύσει νοήσαντα πρῶτον ὃ ποιεῖ οὕτω ποιεῖ, ὡς γίνεται τὰ κατὰ τὰς τέχνας, εἰ μή τις εἴπῃ τὸ νόημα παράδειγμα τῶν γινομένων κατ' αὐτό. ἀλλ' αὐτὸ τὸ γιγνόμενον ἐν τῇ ὕλῃ εἶδος παράδειγμα λέγει τῷ τὴν φύσιν τούτου ἐφίεσθαι. Alex.

88 20. εἶπε δὲ καὶ πῶς τὸ αὐτὸ αἴτιον τῶν ἐναντίων δοκεῖ, οὐχ ὡσαύτως ἔχον, ἀλλὰ τοῦ μὲν τῇ παρουσίᾳ τοῦ δὲ τῇ ἀπουσίᾳ, ἣν φέρουσιν εἶπεν. εἶπε δὲ καὶ ὅτι ἀμφότερα ταῦτα αἴτια ὡς ποιοῦντα. id.

89 4. ὅλον οὐ τὸ σὺν τοῖς μέρεσι λέγοι ἄν (οὕτως γὰρ εἶδος λέγοιτο τὸ συναμφότερον), ἀλλὰ τὸ ἐπὶ τοῖς μέρεσιν ἐπιγιγνόμενον, τὴν ὁλότητά τε καὶ τελειότητα. ὅμοιον τούτῳ καὶ ἡ σύνθεσις. id.

90 19. γράφεται δὲ καὶ "ἀδιαιρέτου τῷ εἴδει εἰς ἕτερον εἶδος" καὶ "ἀδιαιρέτου εἰς τὸ αὐτὸ εἶδος." ἂν μὲν οὖν ᾖ ἡ γραφὴ ἡ πρώτη, γνώριμον τὸ λεγόμενον. ἀδιαίρετον γὰρ τὸ στοιχεῖον εἰς ἕτερα καὶ διαφέροντα εἴδη·

ὅτε γὰρ τὸ πῦρ εἰς ἀνομοειδῆ διαιρεῖται ὅτε τι τῶν ἄλλων τῶν ἁπλῶν· ἡ δὲ συλλαβὴ ὑ στοιχεῖον τοῦ λόγου, ἐπεὶ διαιρεῖται εἰς τὰ γράμματα ἀνομοειδῆ ὄντα, τῷ δὲ ἀδιαίρετα εἶναι οὐδὲ εἰς ἕτερον τῷ εἴδει διαιρεῖται. καὶ χωρὶς δὲ τοῦ προσκείσθαι "εἰς ἕτερον εἶδος" ταὐτὸν
5 ἐσημαίνετο καὶ ὑπὸ τοῦ ἀδιαιρέτου τῷ εἴδει· τὸ γὰρ ἀδιαίρετον κατ' εἶδος οὐχ οἷόν τε εἰς ἕτερον εἶδος διαιρεθῆναι. ἂν δὲ "ἀδιαίρετον τὸ αὐτὸ εἶδος," λέγοι ἂν εἰς στοιχεῖα. δεῖ γὰρ τὸ στοιχεῖον ἀδιαίρετον εἶναι εἰς στοιχεῖα· οὐ γὰρ ἂν ἔτι στοιχεῖον εἴη διαιρούμενον. τὸ δὲ "ἀλλὰ κἂν διαιρῆται, τὰ μόρια ὁμοειδῆ" παρέλκοι ἄν· δεδήλωται γὰρ τοῦτο
10 διὰ τοῦ εἰρῆσθαι τὸ στοιχεῖον ἀδιαίρετον εἶναι τῷ εἴδει. id.

91 3. εἰπὼν δέ, ὡς ἐπὶ τῶν ἄλλων ἔχει τὰ στοιχεῖα, ὅτως ἔχειν καὶ ἐν ταῖς ἀποδείξεσι τὰς πρώτας ἀποδείξεις, πῶς τοῦτο εἶπεν ἐδήλωσεν ἐπενεγκών "εἰσὶ δὲ τοιοῦτοι συλλογισμοὶ οἱ πρῶτοι τῶν τριῶν δι' ἑνὸς μέσου," λέγων πρώτους τῶν τριῶν τοὺς ἐν τῷ πρώτῳ σχήματι
15 τῶν τριῶν σχημάτων, οἷοι οἱ ἐν τῷ πρώτῳ πρῶτοι· κατὰ γὰρ τὴν ἐπὶ τοὺς ἐν τούτῳ τῷ σχήματι συλλογισμοὺς ἀναγωγὴν καὶ οἱ ἐν τοῖς ἄλλοις σχήμασι συλλογισμοὶ τοῦ εἶναι ἔχουσι. δι' ἑνὸς δὲ μέσου εἶπεν, ἵνα τοὺς ἁπλοῦς ἐν τῷ πρώτῳ σχήματι μηνύσῃ· δύνανται γὰρ ἐν τῷ πρώτῳ σχήματι καὶ σύνθετοί τινες γίνεσθαι συλλογισμοί, ἀλλ'
20 οὗτοι οὐκέτι δι' ἑνὸς μέσου, πλείους τέ εἰσι δυνάμει συλλογισμοί, καὶ οὐ πρῶτοι ἀλλὰ σύνθετοι. ἢ τὸ "οἱ πρῶτοι τῶν τριῶν δι' ἑνὸς μέσου" ἴσον ἐστὶ τῷ οἱ πρῶτοι συλλογισμοὶ τῶν τριῶν γινομένων ὅρων, ὧν εἷς μέσος γίνεται· πρώτη γὰρ ἀπόδειξις ἡ ἐκ τῶν ἀμέσων προτάσεων καὶ ὅρων συγκειμένων τριῶν, ἑνὸς ἐξ αὐτῶν μέσου λαμβα-
25 νομένου, οἵτινες τῷ πρῶτοι εἶναι ἐν ταῖς μετὰ ταῦτα ἀποδείξεσιν ἐνυπάρχουσι· τὰ γὰρ τῶν πρώτων συλλογισμῶν συμπεράσματα εἰς δεῖξιν λαμβάνεται τῶν δεικνυμένων ὕστερον. id.

91 4. φέρεται δὲ ἔν τισιν ἀντιγράφοις καὶ τοιαύτη γραφή, "οἱ πρῶτοι τῶν τριῶν μέσων·" καὶ εἴη ἂν δι' αὐτῆς λεγόμενον τὸ εἶναι στοιχεῖον
30 τῶν ἀποδείξεών τε καὶ τῶν συλλογισμῶν τοὺς πρώτους τῶν τριῶν σχημάτων, οἳ γίνονται διὰ τριῶν μέσων· καθ' ἕκαστον γὰρ σχῆμα ἄλλος ὁ μέσος, πρῶτοι δὲ ἐν ἑκάστῳ σχήματι οἱ ἐν ἑκάστῳ ἁπλοῖ· οὗτοι δέ εἰσιν οἱ δι' ἑνὸς μέσου. id.

90 18. καὶ ἐν τῷ τρίτῳ τῆς περὶ Οὐρανοῦ (c. 3) οὕτως ὡρίσατο τὸ στοιχεῖον. ἰστέον γὰρ ὅτι καὶ ὁ Ἐμπεδοκλῆς πρῶτος λέγων τὰ τέσσαρα στοιχεῖα τὰ πολυθρύλλητα προσηγόρευσεν αὐτὰ στοιχεῖα. Asclep.

90 21. τῷ δὲ πρῶτον τὸ ἐνυπάρχον προσκείμενον τὴν πρώτην ὕλην δηλοῖ, ὑ τὴν ἑκάστου προσεχῆ. τὴν δὲ ὕλην φύσιν εἶπεν ἀποδεικθῆναι Ἀντιφῶν, ὡς εἴρηκεν ἐν τῷ α′ (β 1) τῆς Φυσικῆς, διὰ τοῦ τὴν κλίνην, εἰ καταχωθεῖσα δύναμιν λάβοι τοῦ βλαστῆσαι, ξύλον ἐξ αὐτῆς ἀναβλαστῆσαι, ὅπερ ἦν τὸ ὑποκείμενον, ἀλλ' ὑ τὴν κλίνην, ὃ ἦν τὸ εἶδος. φύεθαι δὲ εἶπεν ἀντὶ τοῦ γίνεθαι. Alex. 5 10

91 7. λέγεθαι πάλιν φύσις καὶ τὸ φυσικὸν εἶδος· τούτου γὰρ δηλωτικὸν τὸ "ὅθεν ἡ κίνησις ἡ πρώτη ἐν ἑκάστῳ τῶν φύσει ὄντων ἐν αὐτῷ, ᾗ αὐτῷ ὑπάρχει." εἴη δ' ἂν τὸ εἰρημένον σαφές, εἰ εἴη προσκείμενον τὸ ἥτις· κατ' γὰρ τὸ εἶδος ἑκάστῳ ἡ τῆς κατ' φύσιν κινήσεως ἀρχὴ τῶν φύσει συνεστώτων, καὶ αἴτιον τοῦτο τῆς κατ' φύσιν ἑκάστῳ τῶν φυσικῶν σωμάτων κινήσεως. id. 15

91 14. ἤτοι δὲ ὡς ταὐτὸν εἶπε τὸ ἅπτεσθαι καὶ συμπεφυκέναι, ἢ ὡς ἔχοντά τινα διαφοράν, καὶ ὡς συμπεφυκότα μὲ εἶναι τὰ φυτὰ τῇ γῇ, διὸ οὐδὲ ζῆν χωριθέντα αὐτῆς οἷά τε· προσπέφυκε δὲ τὰ ἔμβρυα· ταῦτα γὰρ καὶ χωριθέντα ζῇ. id. 20

92 2. εἴη τῶν κατ' τέχνην γινομένων ἡ ὕλη τοιαύτη. προθεὶς δὲ τὸ τῶν φύσει ὄντων, διὰ τί προσέθηκε τοῦτο, ἐξηγήσατο εἰπὼν "τοῦτον γὰρ τὸν τρόπον καὶ τῶν φύσει ὄντων τὰ στοιχεῖά φασιν εἶναι φύσιν." id.

92 12. Ἐμπεδοκλῆς οὖν οὐχ ἡγούμενος ἕνωσίν τινα αὐτῶν γίγνεσθαι ἔλεγε φύσιν οὐδενὸς εἶναι, τοιαύτην ἕνωσιν ὡς ἕν τι ἐκ τῆς συνθέσεως γίνεσθαι καὶ εἰδοποιεῖσθαι, ἀλλὰ μόνον μίξιν τε διάλλαξιν τε μιγέντων, λέγεσθαι μέντοι καὶ τοῦτο φύσιν ὑπὸ τῶν ἀνθρώπων ἡγουμένων αὐτὰ καὶ ἐν τῇ μίξει ἑνοῦσθαι. id. 25

94 9. τοῦ ἑνὸς τὸ μὲ κατ' συμβεβηκός φησι λέγεσθαι τὸ δὲ καθ' αὑτό, 30

94 11. καὶ τὸ μὲ κατ' συμβεβηκὸς τριχῶς· ἢ γὰρ τὸ συμβεβηκὸς καὶ τὸ ᾧ συμβέβηκεν ἓν λέγεθαι, ὡς Κορίσκος καὶ τὸ μουσικόν, εἰ εἴη Κορίσκῳ συμβεβηκὸς τὸ εἶναι μουσικῷ· ταὐτὸν γὰρ τὸ εἰπεῖν Κορίσκος καὶ μουσικὸν ἕν, καὶ Κορίσκῳ τὸ μουσικὸν συμβέβηκεν. καὶ Κορίσκος μου-

σικός ἐςιν, ἓν φησι κᾳ συμβεβηκὸς εἶναι, κ̓ τὸ μουσικὸν κ̓ τὸ δίκαιον, ἔτι ἓν κᾳ συμβεβηκὸς μουσικὸς Κορίσκος κ̓ δίκαιος Κορίσκος. id.

τοῦτο δέ, ἐπεὶ πᾶς λόγος σύγκειται ἐκ πλειόνων τινῶν, εἰς ἂ 96 12.
5 κ̓ διαιρεῖται. id.

λόγῳ γὰρ λέγοι ἓν ἂν τὰ πολυώνυμα· κ̓ γὰρ ταῦτα κατ' οὐσίαν ἕν· εἷς γὰρ λόγος αὐτῶν ὁ τὴν οὐσίαν σημαίνων. ἢ ἐκ παραλλήλου εἶπε τὸ "ἢ εἴδει ἢ λόγῳ·" κ̓ τοῦ ὕτως εἰρῆται σημεῖον τὸ κ̓ τὰ πλείω τίνα ἐςὶν ἀποδιδόντα τῶν τοῖς συνεχέσιν ἀντικειμένων μεμνημο-
10 νευκέναι κ̓ τῶν τῷ εἴδει· εἶπε γὰρ "ὡς πλείω" ἢ τὰ μὴ συνεχῆ ἢ ὧν μὴ ἓν τὸ εἶδος. ὅτι δὲ τούτων ἕκαςον ἕν, δείκνυσιν ἐκ τοῦ κ̓ μὴ τὰ συνεχῆ ἀλλήλοις ὡς πλείω ἡμᾶς ἀριθμεῖν· πολλοὺς γὰρ ἀνθρώπους λέγομεν, ὅτι διήρηται ἀπ' ἀλλήλων, καίτοι ταὐτὸν ἔχουσιν εἶδος· ἀλλὰ κ̓ τὰ μὴ ὁμοειδῆ ἀλλήλοις, ὧν πολλὰ λέγομεν, ὡς ἵππον,
15 κύνα, ἄνθρωπον. οὐκέτι παρέθετο πῶς κ̓ ὧν οἱ λόγοι πλείους, κ̓ ταῦτα πλείω. προςίθησι δὲ τοῖς προειρημένοις τοῦ κυρίως ἑνὸς τρόποις κ̓ τὸ ὡς ὅλον ἕν· πολλάκις γὰρ κἂν ᾖ τι συνεχές, οὐ λέγομεν αὐτὸ ἕν, ἂν μὴ ὅλον ᾖ κ̓ τὸ εἶδος ἀπείληφεν. id.

οὕτως ἐν μέλει ἡ δίεσις· τούτῳ γὰρ ἐλαχίςῳ αἰσθητῷ διαςή- 97 4.
20 ματι δοκεῖ πάντα τὰ διαςήματα ἐν τοῖς μέλεσι μετρεῖσθαι. id.

ὁ Ἀλέξανδρός φησι θέλειν τὸ ἔτι δέ, ἐπειδὴ ὑδαμοῦ ἀντα- 96 27.
ποδίδωσιν ὑποκατιών. δύναται δὲ εἶναι ἀνταπόδοσις τὸ ἀρχὴ εἶναι, ἐπειδὴ ἐςὶν ἀρχή. ὃ οὖν λέγει, τοιοῦτόν ἐςιν. ἐπειδὴ πολλαχῶς φαμὲν ἓν εἶναι, ἂν ᾖ ποσὸν κ̓ συνεχές· ἔτι δὲ ὅτε οὐ λέγομεν,
25 ἐὰν μή τι ὅλον ὑπάρχῃ· τοῦτο δὲ ἂν μὴ τὸ εἶδος ἓν ἔχῃ· οἷον οὐκ ἂν εἴποιμεν ἓν εἶναι τὸ ὑπόδημα, ἐὰν θεασώμεθα ὁπωσοῦν τὰ μέρη αὐτοῦ συγκείμενα, εἰ μὴ ὕτως ὥςε εἶναι ὑπόδημα κ̓ ἐφαρμόττειν τῷ ποδί. διὸ κ̓ ὁ κύκλος λέγεται εἷς, ἐπειδὴ αὕτη μάλιςα τῶν γραμμῶν ὅτε ἀφαίρεσιν ὅτε προσθήκην ἐπιδέχεται. Asclep.

30 προσέθηκε δὲ τοῖς προειρημένοις ὡς κᾳ συμβεβηκὸς τοῦ εἶναι 98 17.
λεγομένου ὁμοίως τοῖς προειρημένοις κ̓ ἐπὶ τῶν τοιούτων τὸ οὐ λευκόν ἐςιν· τὸ γὰρ οὐ λευκὸν κᾳ συμβεβηκὸς εἶναι λέγεται, ὅτι ᾧ συμβέβηκε μὴ εἶναι λευκῷ ἐκεῖνό ἐςιν. Alex.

98 19. ὁμοίως δὲ καὶ ἐπὶ τοῦ στερητικοῦ, διό φησιν ὁ τόδε λέγεται καὶ τὸ μὴ λευκὸν εἶναι ὅτι ᾧ τινὶ συμβέβηκεν ἐκεῖνο ἔστιν. ὥστε τὰ κατὰ συμβεβηκὸς λεγόμενα οὕτως λέγονται, ἢ ἐπειδὴ τῷ αὐτῷ ὄντι ἀμφότερα ὑπάρχουσι τὰ συμβεβηκότα, ὡς εἴρηται, ἢ ὄντι ἐκείνῳ ὑπάρχουσιν, ἵνα εἴποι τὴν κατὰ φύσιν κατηγορίαν. ἢ ὅτι αὐτό ἐστιν ὡς ὑπάρχον οὗ αὐτὸ κατηγορεῖται, ἵνα εἴποι τὴν παρὰ φύσιν κατηγορίαν. Syrian.

99 12. λέγει δὲ τὸ εἶναί τε καὶ τὸ ὂν σημαίνειν πρὸς τοῖς εἰρημένοις καὶ τὸ δυνάμει τε καὶ ἐντελεχείᾳ. ἂν δὲ ᾖ γεγραμμένον ἀντὶ τοῦ "δυνάμει" τὸ "ῥητόν," λέγοι ἂν ῥητὸν τὸ δυνάμει, ὅτι ῥηθῆναι μὲν ἀληθές ἐστιν, οὐ μὴν καὶ ἔστιν ἤδη. "τὸ δὲ ἐντελεχείᾳ τῶν εἰρημένων τούτων," τουτέστι τῶν ῥητῶν τε καὶ δυνάμει. Alex.

ἐπὶ τούτοις σημαίνει τὸ ὂν τὸ μὲν δυνάμει τὸ δὲ ἐντελεχείᾳ. ἔνια γοῦν τῶν ἀντιγράφων τὸ δυνάμει ἔχουσιν, ἄλλα δὲ τὸ πρῶτον ὥσπερ καὶ τὰ ἐνταῦθα. τὸ αὐτὸ δὲ δηλοῖ· ῥητὸν γάρ ἐστι τὸ δυνάμενον λέγεσθαι· ὁρᾶν γοῦν λέγομεν καὶ τὸ σκυλάκιον τὸ δυνάμενον ὁρᾶν καὶ τὸν ἤδη κατ' ἐνέργειαν ὁρῶντα. Asclep.

99 21. ποιήσεται δὲ τὸν λόγον περὶ μὲν τοῦ συμβεβηκότος ὄντος καὶ περὶ τοῦ ὡς ἀληθοῦς ἐν τῷ μεῖ τοῦτο, περὶ δὲ τοῦ καθ' αὐτὸ ὄντος ἐν τῷ Ζ καὶ Η, περὶ δὲ τοῦ δυνάμει τε καὶ ἐντελεχείᾳ ἐν τῷ Θ. Alex.

99 23. λέγει δὲ καὶ δαιμόνια οὕτως οὐσίας, ἤτοι καθ' ἃς δαίμονες εἰσί, λέγων κἀκείνους τοιαύτας οὐσίας εἶναι, εἴ γε κἀκεῖνοι ἐκ ψυχῆς τε καὶ σώματος. ἢ δαιμόνια τὰ θεῖα λέγει· τοιαῦτα γοῦν τὰ ἄστρα καὶ τὰ τούτων μέρη. id.

100 2. τὸ δὲ "ὡς λέγουσί τινες" προσέθηκεν ἤτοι ὅτι καθ' ἃς πεπερασμένα ταῦτα, τό τε σῶμα καὶ ἡ ἐπιφάνεια, ἀναιρουμένων τῶν περάτων ἀναιρεῖται καὶ αὐτά, οὐκέτι μέντοι καθ' ἃς ἄπειρόν τί ἐστι σῶμα. ἢ καὶ κατ' ἐκείνους ἀναιρουμένης γραμμῆς τε καὶ ἐπιφανείας ἀναιρεῖται τὸ ἐπίπεδον καὶ τὸ σῶμα, καθ' ἃς οὐσίαι τε ταῦτα καὶ ἀρχαὶ καὶ στοιχεῖα· καθ' ἃς γοῦν ἡ τῶν σωμάτων γένεσις ἐκ τῆς τῶν ἐπιπέδων ποιᾶς συνθέσεως, ὡς ἐν τῷ Τιμαίῳ λέγει Πλάτων, καὶ τούτους ἀναιρουμένων τούτων ἀναιρεῖται καὶ τὸ σῶμα. id.

100 3. δοκεῖ δέ, φησί, τισὶν ὅλως ὁ ἀριθμὸς εἶναι τοιοῦτος ὡς ἀναιρουμένου τε αὐτοῦ μηδὲν τῶν ἄλλων εἶναι, καὶ πάντα ὁρίζεσθαι ὑπὸ τοῦ

ἀριθμῶ· τοῦτο δὲ κ᾽ τοὺς στοιχεῖα τῶν ὄντων τοὺς ἀριθμοὺς λέγοντας, ὡς τοῖς Πυθαγορείοις ἐδόκει· καὶ εἴρηται ἡ δόξα αὐτῶν ἐν τῷ Α τῷ μείζονι. εἶεν δ᾽ ἂν καὶ κ᾽ Πλάτωνα τῶν ὄντων πάντων οἱ ἀριθμοί, εἰ καὶ μὴ ὡς στοιχεῖά τε καὶ ἐνυπάρχοντα, ἀλλ᾽ ὡς εἰδοποιοῦντα ἕκα-
5 στον τῶν ἄλλων· αἱ γὰρ ἰδέαι ἀριθμοὶ οὖσαι τοῦ εἶναι τοῖς ἄλλοις αἰτίαι. id.

"καὶ ὃ ἂν τόδε τι ὂν καὶ χωριστὸν ᾖ·" ὃ τί ποτέ ἐστιν ἐξηγούμε- 100 7.
νος προσέθηκε "τοιοῦτον δὲ ἑκάστου ἡ μορφή. id.

ἢ γὰρ τὰ τῷ αὐτῷ συμβεβηκότα ταὐτὰ κ᾽ συμβεβηκὸς 100 12.
10 ἀλλήλοις, ἢ τὸ συμβεβηκὸς τῷ ὑποκειμένῳ, ἢ ἀνάπαλιν τῷ συμβεβηκότι τὸ ὑποκείμενον, ὡς ἐν ταῖς παρὰ φύσιν κατηγορίαις ἔχει. ὅταν γὰρ εἴπωμεν τὸ μουσικὸν ἄνθρωπον εἶναι, ταὐτὸν λέγομεν τὸ μουσικόν, ὃ ὑποτίθεμεν ἐν τῇ προτάσει ὂν συμβεβηκὸς τῷ ἀνθρώπῳ, ὃν κατηγοροῦμεν αὐτοῦ, ὄντα ὑποκείμενον
15 αὐτοῦ, καὶ ἔχοντα ἐκεῖνο ὃ κατηγορήθη συμβεβηκός. εἰπὼν δὲ τὴν κ᾽ συμβεβηκὸς παρὰ φύσιν κατηγορίαν, προσέθηκεν "ἑκατέρῳ δὲ τοῦτο καὶ τούτῳ ἑκάτερον ἐκείνων," ὃ αὐτὸς ἐξηγήσατο πῶς εἶπεν· ἑκατέρῳ γὰρ τῷ τε ἀνθρώπῳ καὶ τῷ μουσικῷ, ἰδίᾳ λαμβανομένοις, τοῦτο τὸ συναμφότερον, ὁ μουσικὸς ἄνθρωπος, ταὐτόν.
20 ὁμοίως καὶ τῷ μουσικῷ πάλιν ὁ μουσικὸς ἄνθρωπος ταὐτὸν κ᾽ συμβεβηκός. id.

καὶ τὰ τοιαῦτα, φησί, τῆς ταυτότητος μετέχουσιν ἤγουν εἶναι, τὸ δὲ μουσικὸν λέγει ἄνθρωπος, παρὰ φύσιν ποιούντων ἡμῶν τὴν κατηγορίαν, ἐπειδὴ καὶ κ᾽ φύσιν ἐστὶ καὶ τῷ ἀνθρώπῳ συμβέβηκε τὸ
25 μουσικόν, ἑκατέρῳ δὲ τούτῳ τῷ ἀνθρώπῳ μουσικῷ τὸ μουσικὸν καὶ τούτων ἑκάτερον ἐκείνων· καὶ γὰρ τῷ ἀνθρώπῳ τῷ μουσικῷ καὶ τὸ ἄνθρωπος καὶ τὸ μουσικὸν τὸ αὐτὸ λέγει καὶ τούτοις ἐκεῖνο, τοῦτ᾽ ἔστι τὸ ἄνθρωπος μουσικὸν τῷ ἀνθρώπῳ μουσικῷ. ταῦτα δὲ πάντα καθόλου. Syrian.

30 αὐτὸς μέντοι ἐπὶ τοῦ ἑνὸς κατ᾽ ἀριθμὸν τὴν κατ᾽ ἀριθμὸν ὕλην 100 25.
εἶπεν· ὧν μία γὰρ μία κατ᾽ ἀριθμὸν ὕλη, ταὐτὰ ταῦτα αὐτοῖς· αὐτὸ γὰρ αὐτῷ ταὐτόν. ὅτι γὰρ οὕτως εἶπεν, ἐδήλωσε διὰ τοῦ εἰπεῖν "ὅταν χρῆται ὡς πλείοσιν." Alex.

101 6. Ἀσπάσιος δὲ ἤκουσε τοῦ "ὅσα ἕτερά ἐστι τὸ αὐτό τι ὄντα, μὴ μόνον ἀριθμῷ ἀλλ' εἴδει ἢ γένει ἢ ἀναλογίᾳ," ὡς εἰρημένου ὅτι δεῖ τὰ διάφορα μὴ μόνον ἕτερα εἶναι ἀριθμῷ, ἀλλὰ καί τι τὰ αὐτὰ ἀλλήλοις εἶναι, εἰ μέλλοι μὴ μόνον ἕτερα εἶναι ἀλλὰ καὶ διάφορα· τὰ γὰρ ἀριθμῷ ἕτερα οὐ πάντως διάφορα, ἂν μὴ καί τι τῶν εἰρημένων τὰ αὐτὰ ᾖ. δεύτερον σημαινόμενον τῶν διαφερόντων ἐκτίθεται, ὧν τὰ γένει ἕτερα· ταῦτα δ' ἔστιν ἃ πάντῃ ἀλλήλων ἐστὶν ἕτερα. οὕτω διάφορα ζῷον καὶ χρῶμα. καὶ τρίτον σημαινόμενον διαφερόντων τὰ ἐναντία· ταῦτα δέ ἐστι τὰ ἐν τῷ αὐτῷ γένει ἀλλήλοις ὄντα πλεῖστον ἀλλήλων διέστηκεν. οὐ κατ' τοῦτο τὸ σημαινόμενον τὰ πρῶτα διάφορα ἐλέγετο ἁπλῶς· τὰ γὰρ ἐν τῷ αὐτῷ γένει μὴ ὁμοειδῆ ἐκεῖ ἐλέγετο, τὰ διαφέροντα δὲ ὡς ἐναντία προσείληφε καὶ τὸ πλεῖστον διεστάναι. λέγει διάφορα εἶναι καὶ ὅσα ἐν τῇ οὐσίᾳ ἔχει τὴν ἑτερότητα, ἤτοι ἐπὶ τῶν ἐναντίων καὶ τοῦτο εἰρηκώς, ἢ λέγοι ἂν ἑτερότητα τὴν ἐναντίωσιν. id.

101 15. λέγει δὲ καὶ περὶ τῶν ἀντικειμένων, ποσαχῶς ἀντίκειται, καὶ προσίθησι τῇ εἰς τέσσαρα διαιρέσει τῶν ἀντικειμένων τῇ καθωμιλημένῃ, ἥτις ἐστὶ τἀναντία, στέρησις καὶ ἕξις, τὰ πρός τι, κατ' φάσιν καὶ ἀπόφασιν, καὶ τὰ ἐξ ὧν αἱ γενέσεις καὶ φθοραί. εἴη δ' ἂν ταῦτα ἤτοι τὸ ὄν τε καὶ μὴ ὄν· ἡ μὲν γὰρ ἐκ μὴ ὄντος εἰς ὂν μεταβολὴ γένεσις, ἡ δὲ ἐξ ὄντος εἰς μὴ ὂν φθορά. οὔτε δὲ τὸ ὂν κατάφασις οὔτε τὸ μὴ ὂν ἀπόφασις· ὀνόματι γὰρ τὸ μὲν ὡρισμένον τὸ δὲ ἀόριστον. ἀλλ' οὐδὲ ἐναντία, ἀλλ' οὐδὲ πρός τι, ἀλλ' οὐδὲ τὸ μὲν ἕξις τὸ δὲ στέρησις εἶναι δοκεῖ. λέγοι δ' ἂν μᾶλλον τὰ ἐξ ὧν αἱ γενέσεις καὶ αἱ φθοραὶ τὴν ὕλην καὶ τὸ εἶδος καὶ τὴν δύναμιν καὶ τὴν ἐνέργειαν. ἐκ τοῦ δυνάμει γὰρ ἡ γένεσις, καὶ ἐκ τῆς ὕλης εἰς τὸ ἐνεργείᾳ καὶ τὸ εἶδος καὶ ἡ φθορὰ ἐκ τοῦ ἐνεργείᾳ καὶ τοῦ εἴδους εἰς τὸ δυνάμει καὶ τὴν ὕλην· οὐ γὰρ ἡ ὕλη στέρησις, οὐδὲ ἐναντία τῷ εἴδει, εἰ καὶ συμβέβηκεν αὐτῇ ἡ στέρησις. δύναται καὶ αὐτὴν τὴν γένεσιν καὶ τὴν φθορὰν ἀντικείμενα λέγειν. ἢ ταῦτα ὡς ἐναντία ἀντίκειται. id.

101 17. ἐπεὶ γὰρ οὐδὲ τὰ μεταξὺ τῶν ἐναντίων ἅμα παρεῖναι τῷ αὐτῷ οἷόν τε, καὶ οὐ λέγεται ἀντικείμενα, διὰ τοῦτο εἶπεν ἢ αὐτά, εἰ ὡς ἐναντία εἴη, ἢ τὰ ἐξ ὧν ἐστίν· τὰ γὰρ μεταξὺ τῷ τὰ ἐξ ὧν ἐστὶ καὶ αὐτὰ ἀντικείμενα εἶναι, τούτῳ οὐ δύναται ἅμα τῷ

αὐτῷ ὑπάρχειν, ᾧ τὸ ἕτερον τῶν ἀμίκτων. δύναται τὸ "ἢ αὐτὰ ἢ ἐξ ὧν ἐςίν" εἰρηκέναι ἀντὶ τοῦ καὶ αὐτὰ καὶ ἐξ ὧν ἐςίν· καὶ γὰρ τὰ ἐξ ὧν ἐςὶ τὰ μεταξὺ ἀντίκειται ἐκεῖνα ἀλλήλοις, καὶ τὰ μεταξὺ ἐξ ἐκείνων. δύναται τὸ "ἢ αὐτὰ ἢ ἐξ ὧν ἐςί" δηλωτικὸν
5 εἶναι τοῦ ἢ αὐτὰ ἀλλήλοις ἀντικεῖται τὰ μὴ δυνάμενα ἅμα παρεῖναι τῷ ἀμφοτέρων δεκτικῷ, ἢ τούτοις ἐξ ὧν ἐςίν. λευκὸν μὲν γὰρ καὶ μέλαν αὐτὰ ἀλλήλοις ἀντίκειται (ἐναντία γάρ), ἀντίκειται δὲ καὶ τὸ ἐξ ἀμφοῖν ἑκατέρῳ αὐτῶν, τῷ μὴ δύνασθαι μηδὲ αὐτὰ ἅμα τινὶ ἐκείνων ὑπάρχειν. ἢ ἄμεινον ἀκούειν ὡς τὸ πρῶτον ἐρρέθη· καὶ
10 γὰρ ἡ λέξις ἐκεῖνο δηλοῖ. οὐχ ὡς μὴ πᾶσι δὲ τοῖς ἀντικειμένοις τούτου παρακολουθοῦντος λέγει, ἀλλ' ὡς καὶ ἄλλοις τισὶ παρὰ τὰ ἰδίως ἀντικεῖσθαι λεγόμενα· καὶ γὰρ τοῖς μεταξὺ τοῖς ἐξ ὧν ἐςὶ κοῦ τὸ σημαινόμενον τοῦτο ἀντίκειται. καὶ εἴη ἂν τὸ "καὶ ὅσα μὴ ἐνδέχεται" ὡς ἴσον τῷ καὶ καθόλου ὅσα μὴ ἐνδέχεται εἰρημένον. τὰ δὲ "διὸ ἐξ ὧν
15 ἐςὶν ἀντίκειται" ἐλλιπῶς εἰρημένον ἴσον ἂν εἴη τῷ διὸ ἐξ ὧν ἐςὶ τὰ μεταξὺ ἐκείνοις ἀντίκειται. ἑξῆς δὲ λέγει περὶ ἐναντίων. λέγει δὲ ἐναντία εἶναι τά τε μὴ δυνάμενα τῷ αὐτῷ παρεῖναι τῶν κοῦ γένους διαφερόντων, τουτέςιν ἃ κοῦ γένους ἀλλήλων διαφέροντα ἀδύνατον ἅμα τῷ αὐτῷ παρεῖναι. τοιαῦτα δ' ἂν εἴη τὰ ἕτερά τε
20 καὶ μὴ ὑπ' ἄλληλα γένη, ὡς ζῷον πεζὸν καὶ ζῷον πτηνὸν ἢ τὸ ποιεῖν καὶ τὸ πάσχειν. καὶ ἡ ἀρετὴ δὲ καὶ ἡ κακία οὕτως ἐναντία· γένη γὰρ καὶ αὐτά, εἰ καὶ μὴ ὑπὸ κοινόν ἐςι γένος. καὶ ὅλως τὰ ἐναντία γένη, οἷον τὸ ἀγαθὸν ἢ κακόν· ἐναντία γὰρ γένη τὸ ἀγαθὸν καὶ τὸ κακόν, ὡς αὐτὸς ἐν ταῖς Κατηγορίαις (c. 11) εἴρηκε καὶ ἐν τῷ τετάρτῳ τῶν
25 Τοπικῶν (c. 3) καὶ Θεόφραςος ἐν τῷ πρώτῳ τῶν Τοπικῶν, ἃ οὐχ οἷά τε τῶν ὑπ' αὐτὰ ἅμα τινὶ ὑπάρξαι. τοιαῦτα καὶ τὰ ὑπὸ τὴν κίνησιν καὶ ςάσιν, καὶ ὅσα πλεῖςον διαφέρει τῶν ἐν τῷ αὐτῷ γένει ἐναντία. id.

καὶ ὅσων ἐν τῷ τελευταίῳ τοῦ γένους εἴδει οἱ λόγοι ἕτεροι ὑπάρχουσιν. Asclep. 10212.

ὡς ὁ ἐν χορῷ πρωτοςάτης τοῦ τριτοςάτου πρότερος· κοῦ γὰρ τὴν πρὸς τὸν κορυφαῖον ἀπόςασιν τῇ τάξει τὸ πρότερον τούτοις καὶ τὸ ὕςερον· ἀρχὴ γὰρ ὁ κορυφαῖος τοῦ χοροῦ. Alex. 1037.

103 23. μὴ εἰπὼν δὲ κᾷ τί σημαινόμενον τοῦ πρώτου ἡ γραμμὴ τῆς ἐπιφανείας πρῶτόν ἐςιν, δι' οὗ τρόπου προςίθησιν, ὃν κᾷ φύσιν τε καὶ οὐσίαν λέγει, δείκνυσι κᾷ τί πρότερον ἡ γραμμὴ τῆς ἐπιφανείας· λέγεται γάρ φησι καὶ φύσει τε καὶ οὐσίᾳ πρῶτα, ὡς τὰ συναναιροῦντα μὴ μὴ συναναιρούμενα δέ, ᾧ φησὶ σημαινομένῳ πρώτῳ Πλάτωνα χρήσαται· οὕτω πρώτη καὶ ἡ γραμμὴ τῆς ἐπιφανείας ἐςίν. id.

105 3. δοκεῖ γὰρ ἡ ςέρησις διάθεσίς τις εἶναι καὶ αὐτή· οὐ γὰρ ἀπουσίαν ψιλὴν ἡ ςέρησις σημαίνει, ἐπεὶ οὕτως ἴσον ἂν ἐδύνατο τῇ ἀποφάσει, ἀλλὰ μετά τινος διαθέσεως· διὰ τοῦτο γὰρ οὐ ταὐτὸν τὸ οὐ βλέπειν τῷ τυφλὸν εἶναι· τοῦ γὰρ πεφυκότος καὶ ὅτε πέφυκεν ἀπουσία ἡ ςέρησις ἦν, ἢ ὁμοῦ γίγνεται· διάθεσις οὖν ἐςί τινος περὶ τὸ ὑποκείμενόν τε καὶ πεφυκὸς τὴν ἕξιν ἔχειν γινομένη. ἕξις οὖν πως καὶ ἡ ςέρησις· οὐχ ἁπλῶς γὰρ ἕξις, εἴγε ἐςὶν ἕξεως ςέρησις, ἀλλ' ὅτως ἕξις, ὡς εἶπον, τῷ ποιά τις διάθεσις εἶναι τοῦ ὑποκειμένου· εἶναι γάρ τι δεῖ πάθος περὶ τὸ ὑποκείμενον, ὃ εἴη ἄν τις ἕξις. διὰ τοῦτο καὶ ἐν τῇ Φυσικῇ Ἀκροάσει (1 7) τὴν ςέρησιν εἴδός πως εἶπεν. εἰ οὖν ἕξις τις καὶ ἡ ςέρησις, καὶ τὰ εἰς τὰ χείρω μεταβάλλοντα τῷ ἕξιν τινὰ καὶ δύναμιν ἔχειν μεταβάλοι ἄν· δύναμις γάρ τις καὶ ἡ ςέρησις, εἴγε καὶ ἕξις. ὥςε τῷ μὴ τὸ ἀρχὴν καὶ δύναμιν ἔχειν, καθ' ἣν οὐδὲν τῶν χειρόνων οἷόν τέ τι πάχειν, δυνατὸν λέγοιτο ἄν, τῷ δὲ τὴν τῆς τοιαύτης δυνάμεως ςέρησιν. εἰπὼν δὲ τοῦτο ἐπιφέρει, ἢ εἰ μὴ εἴη ἕξις τις ἡ ςέρησις, ὁμωνύμως ἂν εἴη δυνατὰ τά τε πρὸς τὸ βέλτιον μεταβάλλοντα καὶ τὰ εἰς τὸ χεῖρον· τὰ μὴ γὰρ τῷ ἕξιν ἔχειν, τὰ δὲ τῷ ἐςερῆται ταύτης τῆς ἕξεως.

105 11. εἰπὼν δὲ ἔχειν ςέρησιν, προσέθηκεν "εἰ ἐνδέχεται ἔχειν ςέρησιν." εἰ μὴ γὰρ εἴη ἕξις τις ἡ ςέρησις, λέγοιτο ἂν τὸ ἐςερημένον ἔχειν ςέρησιν· εἰ δὲ ἀπουσία τις εἴη, μόνον οὐκ ἂν κυρίως τὸ ἔχειν ἐπ' αὐτῆς λέγοιτο. ἄλλον δέ φησι τρόπον δυνατὸν λέγεται τὸ ἀπαθές, ὃ μηδὲν ἔχει δύναμιν φθαρτικὴν μήτε ἐκτὸς ὂν αὐτοῦ μήτε ἐν αὐτῷ· τοῦτο γὰρ δηλωτικὸν τὸ προσκείμενον τὸ "ἢ ἄλλο·" εἰ γὰρ καὶ ἔχοι τι ἐν αὐτῷ τὸ δυνάμενον αὐτὸ φθείρειν, ἀλλ' ὡς ἄλλο τι ἔχον ἐν αὐτῷ ἕξει· οὐδὲν γὰρ αὐτὸ αὐτοῦ φθαρτικόν. id.

διό φησιν, εἰ δὲ ἡ στέρησις ἕξις πως, πάντα λέγονται τῷ ἔχειν, καὶ ἡ στέρησις καὶ ἡ ἕξις ὁμωνύμως λεγομένου τοῦ ὄντος, ὥστε τό τε ἔχειν ἕξιν τινά, τὴν κυρίως ἕξιν, δυνατὴν λέγεται, καὶ τὸ ἔχειν στέρησιν, εἰ ὅλως ἐνδέχεται ἔχειν στέρησιν· τρίτον δὲ τὸ μὴ ἔχειν δύναμιν φθαρτικὴν ὑπὸ ἄλλου καθὸ ἄλλο ἐστίν. Asclep. 105 9.

ἄλλως λέγεται δύναμις κατὰ μεταφορὰν ἐν γεωμετρίᾳ, ὥσπερ ἐν τῷ δεκάτῳ λόγῳ τῶν Εὐκλείδου. id. 106 11.

τὰ μέντοι γε πράγματα τὰ λεγόμενα κατὰ δύναμιν πάντα λέγονται πρὸς "τὴν πρώτην" ἀρχήν, ἢ "τὴν μίαν," ἀντὶ τῆς πρώτης· διττὴ γὰρ φέρεται ἡ γραφή. "αὕτη δέ ἐστιν ἀρχὴ μεταβολῆς ἐν ἄλλῳ καθὸ ἄλλο," ἵνα εἴπῃ τὸ ποιητικὸν αἴτιον· τὰ γὰρ ἄλλα λέγονται δυνατὰ τῷ ἔχειν ἄλλο τι τοιαύτην δύναμιν, τὰ δὲ τῷ μὴ ἔχειν. ὁμοίως δὲ καὶ τὰ ἀδύνατα. ὥστε ὁ κύριος ὅρος τῆς πρώτης δυνάμεως εἴη ἂν τὸ μεταβλητικὸν ἐν ἄλλῳ, τουτέστι τὸ ποιητικόν· κυρίως γὰρ τὸ ποιῶν λέγεται δύναμιν ἔχειν. id. 106 14.

πάθη δὲ καὶ ἕξεις τῆς τοιαύτης οὐσίας εἶπε ταῦτα, κοινότερον τῷ τῆς οὐσίας ὀνόματι χρώμενος, ὅτι γὰρ καὶ ταῦτα οὐσία πως λέγονται, εἶπεν ἐν τῇ τῆς οὐσίας διαιρέσει. πάθη δὲ καὶ ἕξεις ἐκ παραλλήλου εἶπεν, ἕξεις μὲν ἀπὸ τοῦ ἔχεσθαι, πάθη δὲ ὡς συμβεβηκότα καὶ ὑπάρχοντα. Alex. 107 5.

σημειωτέον δὲ καὶ τοῦτο, ὅτι τὸν χρόνον ἐν Κατηγορίαις (c. 6) καθ' αὑτὸ ποσὸν εἰπὼν ἐνταῦθα καὶ αὐτὸν κατὰ συμβεβηκός φησιν εἶναι ποσόν, καὶ πρὸ αὐτοῦ γε τὴν κίνησιν· διὰ γὰρ ταύτην καὶ τὸν χρόνον. ζητητέον δὲ καὶ τοῦτο, διὰ τί τὴν κίνησιν καὶ τὸν χρόνον οὐκ ἐν τοῖς καθ' αὑτὸ ποσοῖς ἔθηκεν, ἃ πάθη ἢ ἕξεις εἶπεν εἶναι τῶν ποσῶν, ἀλλ' ἐν τοῖς κατὰ συμβεβηκός. id. 107 19.

ὡς κίνησις καὶ χρόνος καὶ ὅσα ἄλλα λέγονται εἶναι συνεχῆ διὰ τὸ εἶναι τὸ μέγεθος διαιρετόν. ἐκ δὲ μεγέθους ἔχουσι τὴν συνέχειαν καὶ τὴν διαίρεσιν, καθάπερ εἴρηται καὶ ἐν τῇ Φυσικῇ καὶ ἐν Κατηγορίαις. Asclep. 107 25.

"ποσάκις ποσοί." τοιοῦτοι γὰρ οἱ ἐπίπεδοί τε καὶ ἑτερομήκεις ἢ τετράγωνοι καλούμενοι, ὡς ὁ δὶς δύο ἢ δὶς τρία ἢ ὁ τρὶς τρία. τοιοῦτοι μὲν οὖν οἱ ποσάκις ποσοί, ἄλλοι δὲ οἱ ποσάκις ποσοὶ ποσάκις, οἷοί εἰσιν οἱ κύβοι. Alex. 107 30.

107 29. εἴη ἂν ὧν τὸ μῆκος ἐφ' ἓν διάστασις τῶν ἀριθμῶν, τοῦτο δέ ἐστιν ἂν ἅπαξ λαμβάνῃ· τὸ δὲ ἐπίπεδον τοῖς ποσάκις ποσοῖς, τὸ δὲ στερεὸν τοῖς ποσάκις ποσοῖς ποσάκις, ὧν τοὺς μὲν τετραγώνους τοὺς δὲ κύβους καλοῦσι. id.

108 5. σημειωτέον δὲ ὅτι ἐν τούτοις πάλιν ἔθηκε καὶ τὴν βαρύτητα καὶ τὴν κουφότητα, πρὸ ὀλίγου μνημονεύσας αὐτῶν ἐν τοῖς ποσοῖς τοῖς διὰ τὸ πάθη εἶναι τοῦ ποσοῦ καθὸ ποσὰ ποιοῖς οὖσιν. εἰπὼν ποιότητα εἶναι τὰ πάθη τῶν κινουμένων οὐσιῶν. id.

108 21. ἔοικε δὲ πάντα τὰ εἴδη τῆς ποιότητος, ἃ ἔθετο ἐν ταῖς Κατηγορίαις, ὑπὸ τὰ πάθη κατὰ τὸ σημαινόμενον τοῦτο τῆς ποιότητος τάσσειν, χωρὶς τοῦ κατ' ἐπιτηδειότητά τε καὶ δύναμιν λεγομένου· τούτου γὰρ οὐκ ἐμνημόνευσεν, ἐκτὸς εἰ μὴ κἀκεῖνό τις ὑποτάσσοι ταῖς τῶν κινήσεων διαφοραῖς, τουτέστιν ἀφ' ὧν καὶ αἱ διαφοραὶ τῶν κινήσεων. id.

109 8. κατὰ μὴ σύμμετρον δὲ ἀριθμὸν λέγεται, ὃ ἐξηγητικόν ἐστι τοῦ πῶς λέγεται ἀόριστον κατ' ἀριθμόν· παντὸς γὰρ ἀριθμοῦ ὡρισμένου συμμέτρου ὄντος (σύμμετροι μὲν γὰρ οἱ τῷ αὐτῷ μέτρῳ μετρούμενοι, πάντων δὲ ἀριθμῶν μέτρον κοινὸν ἡ μονάς), οἱ κατὰ τὴν τοιαύτην ὑπεροχὴν ὑπερέχειν λεγόμενοι τῷ μὴ ὁρίζειν τὴν ὑπεροχὴν κατὰ τοῦτο λέγονται κατὰ μὴ σύμμετρον ἀριθμὸν λέγεσθαι πρὸς ἀλλήλους, οὐχ ὅτι μὴ καὶ οὕτως ἔχειν ληφθέντες πρὸς ἀλλήλους ἂν ληφθῶσιν, εἰσὶ σύμμετροι, ἀλλ' ὅταν μὴ ὁρίζωσιν ἐν τῇ πρὸς ἀλλήλους ἀντιθέσει τὴν ὑπεροχήν. id.

109 26. τὸ δὲ "ἀλλ' ἢ ὃν τρόπον ἐν ἑτέροις εἴρηται" λέγοι ἄν, ὅτι καθὸ νοῦν ἐνέργειαι αὐτῶν λέγοιντο εἶναι, αἵ τινες ἐνέργειαι οὐ κατὰ κίνησιν εἰσίν, ἐπεὶ μήτε τὸ νοῦν καθὸ νοεῖ κινεῖται μήτε τὸ νούμενον· καὶ ἔστιν ἐνέργεια ἡ τοῦ νουμένου, οὐ μὴν κατὰ κίνησιν, ὡς ἔστιν ἐν τοῖς κατὰ κίνησιν ἐνέργειά τις τοῦ πάσχοντος, οὐ τοῦ ποιοῦντος μόνου. ἢ ὅτι αὐτῶν μὲν οὐκ εἰσὶ τῶν ἀριθμῶν ἐνέργειαι· ὅτε γὰρ ποιεῖ ὅτε πάσχει ὁ ἀριθμός, καθὸ ἀριθμός, ὥσπερ ᾤοντο οἱ Πυθαγορικοί. id.

110 13. ὅτι δὲ λέγεται πρὸς ταῦτα ἐν οἷς ἔστιν, ὑπὸ μὲν Θεοφράστου ἐν τῷ Β τῶν Τοπικῶν οὕτως εἴρηται· "ὧν μὲν γὰρ ἕκαστα λέγεται, καὶ ὑπάρχει τούτοις, ὥσπερ ἡ συμμετρία καὶ ἡ ἕξις καὶ ἡ σύνθεσις· μνήμη δὲ καὶ ὕπνος καὶ ὑπόληψις οὐδενὶ τῶν ἀψύχων, οὐδὲ ἡ ἑτέρου κίνησις ἄλλῳ.

διὸ δὴ καθ' ἕκαςα διοριςέον." καὶ αὐτὸς δὲ ὁ Ἀριςοτέλης περὶ τῶν αὐτῶν τούτων οὕτως εἴρηκεν ἐν τῷ Δ τῶν Τοπικῶν (c. 4 p. 125 33). id.

πάντα δὲ τὰ προειρημένα τε καὶ καθ' αὑτὰ λεγόμενα τέ- 1117.
5 λεια εἰς δύο φησὶν ἀνάγεται σημαινόμενα, εἴς τε τὰ κοῦ τὸ εὖ μηδὲν ἐλλείποντα μηδὲ ἔχοντα ὑπερβολήν, ὡς δύναται ἔξω τι αὐτῶν ληφθῆναι, ὃ παρὸν ηὔξησεν ἂν τὸ ἐν αὐτοῖς εὖ· καὶ γὰρ οἷς ὑπερέχει τὸ τέλος ὂν σπουδαῖον, καὶ ταῦτα ὑπὸ τοῦτο τὸ σημαινόμενον τοῦ τελείου. καὶ τοῦτο μὲν τὸ σημαινόμενον τοῦ τελείου κοῦ τὴν ἀρε-
10 τὴν καὶ τὴν τοῦ ἀγαθοῦ ὁλόκληρον παρουσίαν λέγει, τὸ δὲ ἁπλῶς μὴ ἔχειν ὑπερβολὴν ἐν τῷ οἰκείῳ γένει, μηδὲ εἶναι ἔξω αὐτοῦ μηδὲ ἀπεῖναι, ὃ σημαινόμενον πρῶτον ἐξέθετο, οὗ εἰς δήλωσιν παρέθετο τὸν τέλειον χρόνον. id.

τὸ δὲ "πρώτου" προσέθηκεν ἐνδεικνύμενος τὸ κυρίως πέρας, ὃ 1124.
15 οὐχ ὡς μέρος ἐςὶ πέρας ἀλλ' ὡς τὸ κυρίως ἔσχατον, ὁποῖόν ἐςιν ἐπὶ τῶν σωμάτων ἡ ἐπιφάνεια. id.

εἶδος μὲν τὸ σχῆμα λέγων καὶ τὴν μορφήν· κοῦ γὰρ ταῦτα τὰ σώματα εἰδοποιεῖ· τὸ γὰρ "μεγέθους" ἀντὶ τοῦ σώματος εἶπε. id.

"ἢ ἔχοντος μέγεθος," ἵνα εἴπῃ περὶ τῆς μορφῆς καὶ τοῦ τέλους 1125.
20 ἑκάςου. Asclep.

τὸ δὲ "διὸ τὸ κεχωρισμένον καθ' αὑτό" δηλωτικὸν ἂν εἴη τοῦ 1131.
διὰ τοῦτο γὰρ τοιαῦτα τὰ καθ' αὑτά, ὅτι ὡρισμένως τούτοις μόνοις ὑπάρχει. γράφει καὶ "διὸ τὸ κεχρωσμένον καθ' αὑτό," καὶ εἴη ἂν λεῖπον τὸ τῇ ἐπιφανείᾳ· καθ' αὑτὸ γὰρ λέγει τῇ ἐπιφανείᾳ. Alex.

25 οὕτως ἕξις ἱματίου καὶ ἕξις χιτῶνος ἀπὸ τοῦ ἔχειν ὠνομασμένη, 1139.
οἷον ἕχησίς τις οὖσα. id.

ἔτι καὶ τὰ μεγέθη τῶν συμφορῶν πάθη λέγει, ὡς τοῦ πάθους 1132 5.
ὄντος ἐν μεγέθει λυπηροῦ κακοῦ. id.

καὶ τὸ "ἐν ᾧ δὲ ἂν ᾖ" προσκείμενον εἴη ἂν τοῦ δι' οὗ δηλωτικόν· 1147.
30 οὐ γὰρ τυφλὸς ὁ ἐν νυκτὶ μὴ ὁρῶν ἀλλ' ὁ ἐν φωτί. id.

ἄνισον γὰρ τὸ πεφυκὸς ἰσότητα ἔχειν καὶ μὴ ἔχον λέγει, ἄνι- 1141 1.
σόν ἐςι τὸ ξύλον, εἰ τύχοι μὴ ἔχον ἰσότητα, πεφυκὸς δὲ ἔχειν. Asclep.

ὁμοίως δὲ καὶ ἐν ᾧ· οὐ γὰρ πεφύκασιν ἔχειν ὀφθαλμοὺς ἐν ταῖς χερσί. καὶ καθ' ὃν χρόνον, διὰ τὸ σκυλάκιον. καὶ πρὸς ὅ· οὐ γὰρ πεφύκαμεν τὰ ἐν οὐρανῷ ὁρᾶν ἤγουν τὰ ὑπὸ γῆν. cod. Reg.

115 6. οὕτως καὶ τὸν Ἄτλαντα οἱ ποιηταὶ τὸν οὐρανὸν ἔχειν λέγουσιν· Ἄτλας δ' οὐρανὸν εὐρὺν ἔχει κρατερῆς ὑπ' ἀνάγκης· ὡς γὰρ συμπεσουμένου ὑπὸ τὴν γῆν καὶ τὴν αὐτοῦ φύσιν, εἰ μὴ ἔχοιτο καὶ ἀνέχοιτο ὑπ' αὐτοῦ. οὕτω καὶ τῶν φυσικῶν ὅσοι διὰ τὴν δίνην μένειν τὸν κόσμον λέγουσι καὶ μὴ συμπίπτειν, λέγοιεν ἂν αὐτὸν ὑπὸ τῆς δίνης ἔχεσθαι. Alex.

ὥσπερ οἱ ποιηταί, φησί, ποιοῦσι τὸν Ἄτλαντα βαστάζειν τὸν οὐρανόν, καὶ οἱ φυσικοὶ τὴν δίνην αὐτήν, ὥσπερ Ἀναξαγόρας. Asclep.

115 23. ἄλλως γὰρ τούτων τὸ μέν ἐστι τεχνικὸν τὸ δὲ φυσικόν, ὥσπερ ὁ ἀνδριὰς ἐκ τοῦ χαλκοῦ· διό φησιν, ἐκ τῆς συνθετῆς γὰρ ὕλης ἡ συνθετὴ οὐσία, ἀλλ' ἡ μὲν φυσική, ἡ δὲ τεχνητή. Syrian.

116 22. μήποτε τὸ εἶδος ἀντὶ τοῦ γένους ἀκοῦσαι χρή, καὶ λέγοι ἂν διὰ τοῦ "εἰς ἃ τὸ εἶδος διαιρεθείη ἄνευ τοῦ ποσοῦ" ὡς ἴσον τῷ εἰς ἃ τὸ γένος διαιρεθείη ἄν. τὸ δὲ "ἄνευ τοῦ ποσοῦ" σημαντικὸν ἂν εἴη τοῦ τὴν διαίρεσιν αὐτοῦ ὡς γένους γίγνεσθαι· τὸ γὰρ ζῷον δύναται μὲν καὶ ὡς ποσὸν διαιρεῖσθαι, ὅταν εἰς τὰ μέρη διαιρῆται, κεφαλὴν θώρακα καὶ τὰ ἄλλα, ὡς διαιροῦμεν, οὐκέτι ἂν ὡς γένος. Alex.

ἔτι εἰς ἃ τὸ εἶδος, τουτέστι τὸ γένος, διαιρεῖται ἄνευ τοῦ ποσοῦ. Asclep.

116 26. τὸ γὰρ περιέχον τινὰ ὥστε ἕν τι εἶναι, ἐκεῖνα δηλονότι τὰ περιεχόμενα. Alex.

116 27. τὸ γὰρ ἓν ἅπαντα εἶναι "ὡς ἕκαστον" δηλωτικόν ἐστι τοῦ τὴν ἑνότητα ἔχειν αὐτὰ μὴ κατὰ συνέχειαν, ἀλλὰ τῷ τὸν αὐτὸν λόγον ἕκαστον αὐτῶν ἐπιδέχεσθαι. id.

117 15. πάντα δὲ λέγονται, ἐφ' οἷς τὸ πᾶν ὡς ἐφ' ἑνί, οἷον ὑδάτια πλεῖστα, πᾶς οὗτος ἀριθμός, πᾶσαι αὗται μονάδες. Asclep.

117 24. ἔτι δὲ πρὸς τῷ ἀνομοιομερῆ εἶναι καὶ ὅλον δεῖν φησὶν αὐτὸ καὶ θέσιν ἔχειν. id.

117 25. οὐ γὰρ ἐπὶ τοῦ ἀριθμοῦ ἐστιν ὡς διῃρημένου ἀνόμοια τὰ μέρη. Alex.

λέγει γὰρ ὅτι μηδὲ ἐπὶ τῶν συνεχῶν τε καὶ ὅλων παντὸς ἀφαι- 1131.
ρυμένου μέρους τὸ καταλειπόμενον γίνεται κολοβόν· ὅτε γὰρ ἂν τὰ κύρια τοῦ εἴδους τε καὶ τῆς οὐσίας τοῦ ὅλου τε καὶ συνεχοῦς ἀφαιρεθῇ, ἔτι τὸ καταλειπόμενον κολοβόν· οὐ γὰρ λέγεται κολοβὸν ζῷον τῆς κε-
5 φαλῆς ἀφαιρεθείσης αὐτοῦ, ὅπερ οὐδὲ ζῷον ἔτι μένει. ἀλλ' οὐδ' ἂν ὁπουοῦν τι τῆς συνεχείας ἢ ὁτιοῦν ἀφαιρεθῇ τε καὶ διαιρεθῇ, κολοβὸν εὐθύς. id.

οὐ γὰρ δεῖ ὅτε τὰ κυρίως μόρια τῆς οὐσίας ἀφαιρεῖν, οἷον κε- 1132.
φαλήν, ἐπεὶ φθείρεται τὸ πᾶν, καὶ πῶς τὸ μὴ ὂν λεχθείη ἂν κολοβόν;
10 ὅτε δὲ τὰ ὅτω ὑπάρχοντα οἷον ἂν χοίη ἡ κύλιξ. Asclep.

σημειωτέον ὅτι μὴ διαίρεσιν τοῦ κολοβοῦ πολλαχῶς λεγο- 1189.
μένου πεποίηται, ἀλλὰ μήνυσίν τε καὶ διδασκαλίαν. Alex.

οὐκέτι ἐμνημόνευσε τῶν γενῶν τῶν ἀπὸ τῶν τόπων λεγο- 1192.
μένων, καθ' ὃ σημαινόμενον Ἀσιανός τις τὸ γένος ἢ Αἰγύπτιος
15 καλεῖται· οὐ γὰρ δὴ οἱ ὅτω λεγόμενοι ἀπὸ τοῦ πρώτου κινήσαντος ὅτω λέγονται. id.

καὶ ὕλην αὐτὸ προελθὼν ἐρεῖ· ὕλην δὲ λέγει τὸ γένος καὶ ἐν 1193.
τῷ ζῆτα τῆσδε τῆς πραγματείας. δευτέραν ἀπόδοσιν τοῦ ὅτως λεγομένου γένους ἀποδίδωσι τὸ πρῶτον ἐνυπάρχον ἑκάστου ἐν τῷ ὁρι-
20 σικῷ καὶ τὸ τί ἦν εἶναι σημαίνοντι λόγῳ, ὃ κατηγορεῖται ἐν τῷ τί ἐστι τοῦ ὑποκειμένου. τούτου γὰρ δηλωτικὸν τὸ ὃ λέγεται ἐν τῷ τί ἐστιν. id.

τέταρτον σημαινόμενον ὧν ἐν τοῖς λόγοις τὸ πρῶτον ἐνυπάρχον οὐ λέγεται ἐν τῷ τί ἐστι, τουτέστι τὸ παραλαμβανόμενον εἰς τὸν
25 ὁρισμόν. Asclep.

τὰ δὲ τῶν ἄλλων τι τῶν ἐν ταῖς Κατηγορίαις κατηριθμη- 1196.
μένων. Alex.

ὡς διήρηται ἐν Κατηγορίαις. Asclep.

ποιεῖται καὶ τοῦ ψεύδους διαίρεσιν· τὸ μὲν γὰρ ἐν τοῖς πράγμασι 1198.
30 ψεῦδος εἶναι λέγει, τὸ δὲ ἐν τοῖς λόγοις. προσέθηκε δὲ τῷ ἐν τοῖς πράγμασι ψεύδει τὸ "ἄλλον μὲν τρόπον," ἤτοι ὅτι μὴ καθωμίλη-ται ἐπὶ τούτου τὸ ψεῦδος λέγειν (δοκεῖ γὰρ τὸ ψεῦδος ἐν λόγῳ τε καὶ δόξῃ), ἢ ἄλλον τρόπον εἶπεν ἀντὶ τοῦ ἕνα μὲν τρόπον. τὸ οὖν ἐν τοῖς πράγμασι ψεῦδος δίχα διαιρεῖ. Alex.

119 19. ἔνεςι ϗ ψιλῶς ἀναγνῶναι τὸ "ἡ ψευδής," ἵνα ᾖ τὸ λεγόμενον· ψευδὴς λόγος ἐςὶν ὁ τῶν μὴ ὄντων ἢ τὰ μὴ ὄντα εἶναι λέγων, ὡς ὁ λέγων ἱπποκένταυρον εἶναι, ἢ ὅλως ψευδής. ἀλλὰ ϗ πᾶς ϗ ὁ περὶ ὄντων λόγος λέγων δύναϑ' ψευδὴς εἶναι, ἂν τὸν κύκλον λέγῃ χῆμα ἐπίπεδον ὑπὸ τριῶν εὐθειῶν περιεχόμενον. ϗ εἴη ἂν ἀκόλουθον τὸ ἐπιφερόμενον τῇ τοιαύτῃ ἀναγνώσει· ὁ γὰρ μόνος ὁ τὰ μὴ ὄντα μὴ ὄντα εἶναι λέγων ψευδής, ἀλλὰ ϗ πᾶς λόγος ἐςὶ ψευδής, ὅταν περὶ ἑτέρου λέγηϑ' ϗ μὴ περὶ οὗ ἐςὶν ἀληϑής. ἐὰν δὲ τὸ "ἡ ψευδὴς" δασέως ἀναγινώσκηϑ', εἴη ἂν τὸ λεγόμενον· λόγος ψευδής ἐςιν ὁ τῶν μὴ ὄντων· τὸ γὰρ "ἡ ψευδής" δηλωτικόν ἐςι τοῦ καϑὸ ψευδὴς ἐςι μὴ ὄντων αὐτὸν εἶναι. id.

119 21. οὕτως μὲν οὖν πλείους τοῦ αὐτοῦ λόγοι. "ὁ δὲ ψευδὴς λόγος οὐδενός ἐςιν ἁπλῶς" ἀντὶ τοῦ κυρίως· κυρίως γὰρ ἑκάςου λόγος ὁ ἀληϑής. id.

εἰπὼν ταῦτα αἰτιᾶϑ' Ἀντιϑένην εὐήϑως λέγοντα περὶ μηδενὸς ἄλλου λέγεϑαί τινα λόγον ἢ περὶ ἐκείνου οὗ οἰκεῖός ἐςι, παρακρουϑέντα ὑπὸ τοῦ τὸν ψευδῆ λόγον μηδενὸς ἁπλῶς εἶναι λόγον· οὐ γὰρ εἰ μὴ ἁπλῶς ἐςὶ μηδὲ κυρίως, ἤδη ϗ οὐκ ἔςιν. ᾤετο δὲ ὁ Ἀντιϑένης ἕκαςον τῶν ὄντων λέγεϑαι τῷ οἰκείῳ λόγῳ μόνῳ ϗ ἕνα ἑκάςου λόγον εἶναι· τὸν γὰρ οἰκεῖον τόδε τι σημαίνοντα ϗ μὴ ὄντα τούτου περὶ οὗ λέγεϑ' εἶναι, ἀλλότριόν γε ὄντα αὐτοῦ. ἐξ ὧν ϗ συνάγειν ἐπειρᾶτο ὅτι μὴ ἔςιν ἀντιλέγειν· τοὺς μὲν γὰρ ἀντιλέγοντας περί τινος διάφορα λέγειν ὀφείλειν, μὴ δύναϑαι δὲ περὶ αὐτοῦ διαφόρους τοὺς λόγους φέρεϑαι τῷ ἕνα τὸν οἰκεῖον ἑκάςου εἶναι· ἕνα γὰρ ἑνὸς εἶναι ϗ τὸν λέγοντα περὶ αὐτοῦ λέγειν μόνον, ὥςε εἰ μὲν περὶ τοῦ πράγματος τοῦ αὐτοῦ λέγοιεν, τὰ αὐτὰ ἂν λέγοιεν ἀλλήλοις (εἷς γὰρ ὁ περὶ ἑνὸς λόγος), λέγοντες δὲ ταὐτὰ οὐκ ἂν ἀντιλέγοιεν ἀλλήλοις. εἰ δὲ διαφέροντα λέγοιεν, οὐκέτι λέξειν αὐτοὺς περὶ αὐτοῦ τῷ εἶναι ἕνα τὸν λόγον τὸν περὶ αὐτοῦ τοῦ πράγματος, τοὺς δὲ ἀντιλέγοντας ὀφείλειν περὶ τοῦ αὐτοῦ λέγειν. ϗ οὕτως συνῆγε τὸ μὴ εἶναι ἀντιλέγειν. κεδὸν δὲ μηδὲ ψεύδεϑαι διὰ τὸ μὴ οἷόν τε εἶναι περί τινος ἄλλον πλὴν τὸν ἴδιόν τε ϗ οἰκεῖον εἰπεῖν λόγον. id.

ἔςι δέ πως, φησί, καὶ ἀληθῶς χρῆται κατά τινος ἀλλοτρίῳ 119 30.
λόγῳ, ὅταν τὸν πρώτως τινὸς καὶ προσεχῶς οἰκεῖον λόγον ἐπὶ τὰ
δευτέρως καὶ ἀπ' ἐκείνου τὸ εἶναι ἔχοντα μεταφέρωμεν. id.

ψευδῆ γὰρ λαμβάνει ὁ Πλάτωνος Ἱππίας τὸν δυνάμενον ψεύ- 120 8.
5 δεται, ἔςι δὲ τοιοῦτος ὁ τὰ ἀληθὲς εἰδὼς μάλιςα καὶ ὁ φρόνιμος.
ἀλλ' οὐχ οὕτως ὁ ψευδὴς λέγει, ἀλλ' ὁ προαιρετικὸς τούτου καὶ εὐχε-
ρὴς καὶ χωρὶς ἐπιςάσεως λέγων καὶ χαίρων τῷ τοιούτῳ, οἷος οὐκέτι
ἐςὶν ὁ φρόνιμος καὶ ὁ τοὺς ἄλλους ψεύδεται πείθων καὶ προαιρετικὸς
τοῦ τοιούτου, ὃς καὶ φαῦλος εὐθύς. ἔτι δέ φησι μηδὲ τοῦτο ὀρθῶς ἐν
10 τῷ Ἱππίᾳ εἰρῆται, δῆλον ὅτι τὸν ἑκόντα φαῦλα πράσσοντα βελ-
τίονα εἶναι τοῦ ἄκοντος. id.

διὸ Ἀντιφένης οὐ καλῶς ἐπειρᾶτο δεικνύναι ὅτι οὐ δυνα- 119 25.
τόν ἐςιν ἀντιλέγειν, λέγων οὕτως, ὅτι ἢ σύμφωνα ἑαυτοῖς δια-
λέγονται ἢ οὐ σύμφωνα. ἀλλ' εἰ μὲν σύμφωνα, οὐκ ἔςιν ἀντιλέγειν·
15 αὐτὰ γὰρ τοῦτο συμφωνοῦσιν ἀλλήλοις. εἰ δὲ μὴ σύμφωνα λέγουσι,
κατὰ διαφόρων πραγμάτων διαφέρονται· ὥςε οὐδ' οὕτως ἀντιλέγουσιν,
εἴγε μηδὲ περὶ τοῦ αὐτοῦ πράγματος τὸν λόγον ποιοῦνται. Asclep.

ὥσπερ καὶ ἐπὶ τοῦ ἤθους καὶ οὗτος, τουτέςιν ὁ ἑκὼν πηρώσας ἑαυτὸν 120 13.
τοῦ ἄκοντος. id.

20 δύναται τὸ "οὐδὲ δὴ" καὶ ἀντὶ τοῦ οὐδὲν εἰρηκέναι· ἤδη γὰρ εἶπεν 120 25.
ὅτι μή ἐςιν αἴτιον τοῦ συμβεβηκότος. Alex.

τοῦ γὰρ εἰς Αἴγιναν ἐλθεῖν ὁ χειμὼν αἴτιος κωλύσας ἐλθεῖν ἐκεῖ 120 26.
οὗ χάριν ἔπλει· οὐ καθ' αὑτὸ οὖν γέγονεν οὐδὲ αὐτὸ ἦν τὸ γιγνόμενον,
ἀλλ' ἑτέρῳ γινομένῳ ἐπιγέγονε. τοῦτο γὰρ τὸ γινόμενον μὴ γενέσθαι
25 ὁ χειμὼν αἴτιος καὶ οὐ τὸ πλεῖν· ἄλλου γὰρ χάριν ἐγίνετο τοῦτο. id.

γράφεται δὲ καὶ ἔν τισι "καὶ ἄν τε ἀίδια αἴτια," καὶ εἴη ἂν 121 5.
ἡ γραφὴ αὕτη δηλοῦσα ὅτι πρὸς ἀπόδειξιν χρήσιμα τὰ οὕτως
συμβεβηκότα· δι' αὐτῶν γὰρ αἱ ἀποδείξεις. ταύτῃ δὲ τῇ γραφῇ
εἴη ἂν καὶ τὸ ἐπιφερόμενον ἀκόλουθον τὸ "λόγος δὲ τούτου ἐν ἑτέροις."
30 περὶ γὰρ τῶν καθ' αὑτὰ οὕτως ὑπαρχόντων καὶ τῶν αἰτίων ἐν τοῖς
Ὑςέροις Ἀναλυτικοῖς εἴρηκε. id.

καὶ ταῦτα μέν, φησίν, ἀίδια ὑπάρχουσιν, ἐκεῖνα δὲ οὐκ ἀίδια
τὸ περὶ Αἰγίνης καὶ τοῦ θησαυροῦ. ἐν τῷ δευτέρῳ δὲ τῶν Ἀποδεικτι-
κῶν λέγει ἀκριβέςερον περὶ τούτων. id.

121 13. Πᾶσα ἐπιςήμη διανοητική, τυτέςιν ἡ λόγῳ μόνῳ χρωμένη, ὥσπερ γεωμετρία, ἡ μετέχυσά τι διανοίας, ὥσπερ ἡ λογική, ἡ ϗ ἔργῳ χρωμένη, τυτέςιν αἰϑήσει, καθάπερ ἡ ἁρμονίκη· κέχρηϑ γὰρ ϗ ἀκοῇ πρότερον περὶ ἀρχὰς καταγιγνομένη· ἡ ἀκριβεςέρα ϗ ὥσπερ λόγῳ μόνῳ χρωμένη, ἡ ἁπλυςέρα, ὡς λόγῳ ϗ αἰϑήσει. 5 Asclep.

ϗ ὅλως πᾶσα ἐπιςήμη διανοητικὴ ἡ πρακτική (ταύτην γὰρ ἐδήλωσε διὰ τῦ "ἡ μετέχυσά τι διανοίας·" ὑ γὰρ ἄνευ διανοίας τὰ πρακτὰ πράττεϑ) περὶ αἰτίας ϗ ἀρχάς ἐςιν. Alex.

μήποτε δὲ τὸ "τῶν μὴ γὰρ ποιητικῶν" ὐκ ἐνεργητικῶς δεῖ 10 ἀκύειν, ἵνα ἐπὶ τῶν αἰτίων ἐξακύηϑ, ἀλλὰ παθητικῶς, ἵν' ᾖ "τῶν μὴ γὰρ ποιητικῶν" ἀντὶ τῦ τῶν ποιυμένων. ϗ ὅτι τῦτο ἀρχὴ ὕτως αὐτῷ εἴληπϑ, τεκμαίρομαι ἐκ τῦ ἐπαγομένυ τῦ "τῶν δὲ πρακτῶν ἐν τῷ πράττειν ἡ προαίρεσις." ϗ εἴπερ ὕτως ἀκύειν αὐτῦ χρή, σαφὲς ἂν εἴη τὸ λεγόμενον ϗ μὴ τῷ "τὸ ἐν τῷ ποιῦντι" ἀντὶ 15 τῦ ἐν αὐτοῖς ἐξελάβομεν. δεῖ ὖν, εἴ τι χρὴ τῇ ἐμῇ μαντείᾳ προσέχειν, ὕτως ἀκύειν τῦ ῥητῦ. ὥσπερ γὰρ ἡ ἀρχὴ τῶν ποιυμένων, εἴτε νῦς ἐςὶν εἴτε τέχνη εἴτε δύναμίς τις, ἐν τῷ ποιῦντί ἐςιν ἀλλ' ὐκ ἐν τοῖς ποιυμένοις, ὕτως ϗ τῶν πρακτῶν ἀρχὴ ὖσα ἡ προαίρεσις ὐκ ἐν τῷ πρακτῷ ἀλλ' ἐν τῷ πράττοντι. εἰ γὰρ ταὐτὸν 20 τὸ πρακτὸν ϗ τὸ προαιρετόν, ὐκ ἔςι δὲ ἐν τῷ προαιρετῷ ἡ προαίρεσις, δῆλον ὡς ὐδ' ἐν τῷ πρακτῷ. id.

122 6. συμπεραίνεϑ δὴ καί φησιν, "ὥςε εἰ πᾶσα διάνοια ἡ πρακτικὴ ἡ ποιητικὴ ἡ θεωρητική," ἡ φυσική, εἰ μήτε πρακτικὴ μήτε ποιητική ἐςι (τῦτο γὰρ δεῖ προσυπακύειν), θεωρητική τις ἂν εἴη, 25 ἀλλὰ θεωρητικὴ περὶ φυσικὸν πρᾶγμα· τῦτο γὰρ ἐδήλωσε διὰ τῦ "περὶ τοιῦτον ὄν, ὅ ἐςι δυνατὸν κινεῖσϑ." id.

122 12. ταῦτα δὲ πάντα προοπλίζει τε ϗ προκατασκευάζει, ἵνα ἐκ τύτων δείξῃ ὅτι τὸ φυσικὸν εἶδος χωριςὸν αὐτὸ καθ' αὐτὸ ἄνευ ὕλης ὐ δύναϑ εἶναι, ὡς οἱ τὰς ἰδέας τιθέμενοι ἔλεγον. ποιεῖϑ δὲ διαίρεσιν λέγων "τῶν δὲ ὁριζομένων ϗ τῶν τί ἐςι," τυτέςι τῶν ὁριζομένων ϗ ὧν τὸ τί ἐςιν ἀποδίδομεν, τὰ μέν ἐςιν ὡς τὸ σιμόν κτλ. id. 30

122 20. εἰ δὴ πάντα τὰ φυσικὰ ὁμοίως τῷ σιμῷ λέγονϑ, τυτέςιν ὥσπερ ἐκεῖνο, ὕτως ϗ ταῦτα ἄνευ ὑποκειμένυ ϗ ὕλης ὐ δύναϑ

[11]

νοεῖται. τοῦτο γὰρ ἐδήλωσε διὰ τοῦ "οὐδενὸς γὰρ ἄνευ κινήσεως αὐτῶν ὁ λόγος," κίνησιν εἰπὼν τὴν ὕλην. id.

ὁ γὰρ ὁρισμὸς αὐτῶν οὐ δύναται ἀποδοθῆναι ἄνευ κινήσεως, τουτέστιν ἐνεργείας, ὡς ἐλέγομεν· τὰ μὲν γὰρ τεχνητὰ δυνατὸν ὁρίσασθαι ἄνευ τῆς αὐτῶν ἐνεργείας (ἀκίνητα γὰρ ὑπάρχουσι), τὰ μέντοι γε φυσικὰ οὐ δυνατόν. ὥστε ἐντεῦθεν μεμαθήκαμεν πῶς δεῖ ὁρίζεσθαι τὰ φυσικὰ πράγματα, ὅτι μετὰ τοῦ χήματος, μνημονεύειν δὲ καὶ τῆς ἐνεργείας αὐτῶν. διὸ καὶ ἐνίας τῶν ψυχῶν δεῖ ὁρίζεσθαι, ὅσαι μὴ δύνανται ἄνευ ὕλης εἶναι, ὥσπερ τῆς φυσικῆς. Asclep. 122 20.

ὥστε καὶ τὰς ἀλόγους ψυχὰς θεωρεῖ καὶ ὁρίζεται ὁ φυσικὸς διὰ τὸ μὴ ἄνευ ὕλης εἶναι, μηδὲ ἀχωρίστους τοῦ ὑποκειμένου αὐταῖς. εἰ δὲ καὶ τὰς λογικὰς θεωρεῖ, ἐν τῇ περὶ Ψυχῆς ἡ αἰτία ἡμῖν εἴρηται. Alex. 122 22.

τὸ δὲ "ἔνια" προσκεῖται διὰ τὰ ὀπτικὰ καὶ ἁρμονικὰ καὶ ἀστρονομικά. ὁ γὰρ ὀπτικὸς οὐ περὶ χωριστὰς γραμμὰς καταγίνεται ἀλλὰ περὶ ἐνύλους. ὁμοίως καὶ ὁ μουσικὸς καὶ οἱ τοιοῦτοι. καὶ τὸ "ἴσως" κεῖται διὰ τὸ μήπω δεικθῆναι καθόλου ὅτι οὐδὲν τῶν μαθηματικῶν χωριστόν ἐστι καθ' αὑτό. id. 123 4.

καλῶς δὲ εἶπεν "ἔνια" διὰ τὴν ὀπτικήν. "οὐ χωριστὰ δὲ ἴσως." πάλιν δὲ τὸ "ἴσως" προστέθεικε διὰ τοὺς Πλατωνικούς, ὡς μέλλων δεικνύναι ὅτι οὐκ ἔστιν αὐτογραμμὴ ἐνυπόστατος ἡ ὑπάρχουσα αὐτὴ καθ' αὑτήν, οὔτε δὲ αὐτοζῷον. ὁμοίως δὲ καὶ ἐπὶ τῶν ἄλλων τῶν τοιούτων· ἐν ὕλῃ γὰρ τὸ εἶναι ἔχουσι ταῦτα, οἱ δὲ μαθηματικοὶ τῇ ἐπινοίᾳ αὐτὰ χωρίζουσιν. Asclep.

καὶ τὴν αἰτίαν τοῦ ταῦτα ἀΐδια εἶναι ἐπήγαγε, "ταῦτα γὰρ αἴτια τοῖς φανεροῖς τῶν θείων·" ὃ δὴ διὰ τὴν βραχυλογίαν ἀσαφέστερον εἴρηται. ἔστι δέ, οἶμαι, τὸ λεγόμενον τοιοῦτον. ταῦτα γὰρ τὰ ἀκίνητα καὶ χωριστὰ αἴτια τῶν θείων ἤτοι τῶν σφαιρῶν καὶ θείων σωμάτων, αἵτινες σφαῖραι αἴτιαι τοῖς φανεροῖς, τουτέστι τοῖς ὑπὸ γένεσιν, τοῦ γίνεσθαι καὶ φθείρεσθαί εἰσιν· ἡ γὰρ τούτων κίνησις τὴν γένεσιν καὶ φθορὰν ἀπεργάζεται. ἀλλ' εἰ τὸ κυκλοφορητικὸν ἀΐδιον δέδεικται ἐν τῇ περὶ Οὐρανοῦ, τὸ αἴτιον τοῦ κυκλοφορητικοῦ σώματος πολλῷ μᾶλλον ἔσται ἀΐδιον. ἢ τὸ "ταῦτα γὰρ αἴτια τοῖς φ. τ. θ." τὸ "ταῦτα" ἀντὶ τοῦ τοῦτο εἴρηται, καὶ εἴη ἂν λέγων, ἐπειδὴ καὶ ἐν τοῖς αἰθηροῖς εἰσὶ θεῖα (τὸ γὰρ κυκλοφορητικὸν πᾶν σῶμα αἴτιόν ἐστι),

τὸ πρῶτον αἴτιον τῶν τοιούτων αἰθητῶν καὶ θείων, ἴσον λέγων, ὅτι εἰ καί τισι τῶν νοητῶν καὶ θείων αἴτιον ἡ τὸ πρῶτον καὶ ἀκίνητον αἴτιον, ἄδηλον· τέως δ' ὅν ὅτι τοῖς αἰθητοῖς καὶ θείοις καὶ κυκλοφορητικοῖς σώμασιν αἴτιόν ἐστι, δῆλον τυγχάνει. γράφει δὲ καὶ "ταῦτα γ. αἴτ. τ. φ. τῶν αἰθητῶν τυγχάνει·" καὶ εἴη ἂν ὃ λέγει τοιοῦτον, ὅτι ταῦτα τὰ ἀκίνητα καὶ χωρὶς τὰ αἴτιά ἐστι τοῖς φανεροῖς τῶν αἰθητῶν, ἀντὶ τοῦ τοῖς φανεροῖς τῇ αἰθήσει αἰτίοις. αἴτιον γὰρ καὶ ἡ ὕλη καὶ τὸ εἶδος, ἀλλ' οὐκ εἰσὶ τῇ αἰθήσει φανερά· τὰ δὲ κυκλοφορητικὰ σώματα τῇ αἰθήσει ἐστὶ φανερά, ὅτι γενέσεώς εἰσι καὶ φθορᾶς αἴτια· βορειότερος γὰρ γινόμενος ὁ ἥλιος γενέσεώς ἐστιν αἴτιος, νοτιώτερος δὲ φθορᾶς. Alex.

12315. ἀπορήσειε γὰρ ἄν τις πότερον ποθ' ἡ πρώτη φιλοσοφία καθόλου ἐστίν, ὥστε περιέχειν ἁπάσας καὶ ὑπ' αὐτὴν εἶναι ὡς τὰ κατὰ μέρος ὑπὸ τὰ καθόλου, ἢ οὐκ ἔστι καθόλου, ἀλλ' ὥσπερ ἡ ἰατρικὴ καὶ ἡ ἀστρονομία καὶ αἱ λοιπαὶ μέρος τι τοῦ ὄντος καὶ φύσιν τινὰ μίαν ἀποτεμνόμεναι τοῦτο θεωροῦσιν, οὕτως καὶ αὕτη. ὥσπερ γὰρ καὶ ἐν τοῖς μαθηματικοῖς τοῦτο εὑρίσκει, καὶ ἡ μὲν γεωμετρία περὶ μεγέθη, ἡ δὲ ἀστρονομία περὶ ἀστέρας, ἄλλη δὲ περὶ ἄλλο, ἡ δὲ ἁπλῶς μαθηματικὴ κοινή ἐστι πασῶν, οὕτως τί κωλύει καὶ τὴν φυσικὴν μὲν περί τι τοῦ ὄντος εἶναι καὶ τὴν μαθηματικὴν περὶ ἄλλο, καὶ τὴν θεολογικὴν εἶναι κοινὴν ἁπασῶν; id.

ὅτε γὰρ ἐν ταῖς μαθηματικαῖς ἐπιστήμαις ὁ αὐτὸς τρόπος ἐστίν· ἡ μὲν γὰρ καθόλου μαθηματική, ἡ δὲ μερικὴ περὶ μίαν φύσιν, οἷον, ὡς φησιν αὐτός, γεωμετρία καὶ ἀστρολογία περί τινα φύσιν μερικὴν ὑπάρχει, ἡ μὲν περὶ μεγέθη ἡ δὲ περὶ ἄστρα, ἡ δὲ καθόλου κοινή ἐστι πασῶν, ὡς εἴρηται. Asclep.

12321. καὶ ἡ περὶ ταύτην ἐπιστήμη ἔσται φιλοσοφία, καὶ πρώτη πάντων καὶ καθόλου ὡς πρὸς τὰς ἄλλας, οὐ περιέχουσα ἐκείνας ἀλλ' ὡς πρώτη. Alex.

12413. οὐδὲ γὰρ εἰ ἔστι, φησίν, ἕτερον τὸ τρίγωνον καὶ τρίγωνον δύο ὀρθὰς ἔχον, σκοπεῖ. τοῦτο δὲ ἐλλιπῶς εἴρηται, δεῖ δὲ προσυπακούειν τὸ ξύλινον ἢ ἄλλο τι τοιοῦτον, ἵνα τὸ πᾶν ᾖ τοιοῦτον· οὐδ' εἰ ἕτερόν ἐστι τὸ ξύλινον τρίγωνον καὶ ἕτερον αὐτὸ τὸ τρίγωνον καὶ ἡ φύσις αὐτοῦ, ἀντὶ τοῦ τὸ ἔχον τὰς τρεῖς δυσὶν ὀρθαῖς ἴσας, θεωρεῖ, ἀλλὰ

τοῦτο μόνον ζητεῖ, εἰ παντὸς τριγώνου αἱ τρεῖς γωνίαι δυσὶν ὀρθαῖς ἴσαι εἰσίν· εἴτε δὲ ξύλινά εἰσιν εἴτε λίθινα, ὐδαμῶς θεωρεῖ. id.

ἐπειδὴ οὖν τὰ μὴ ἀεὶ καὶ ἐξ ἀνάγκης ἐστί, τὰ δὲ ἐξ ἀνάγκης 125 1.
μὴ οὐκ ἔστιν οὐδὲ ἀεί, ὡς ἐπὶ τὸ πολύ· οὔτε γὰρ ἐξ ἀνάγκης εἰσὶν οἱ
5 ἄνθρωποι πενταδάκτυλοι οὔτε ἀεί, ἀλλ' ὡς ἐπὶ τὸ πολύ· τοῦτο δὴ
ἀρχή ἐστι καὶ αἴτιον τοῦ εἶναι τὸ συμβεβηκός. id.

καὶ τῶν μὴ ἄλλων ἤτοι τῶν ὡς ἐπὶ τὸ πολὺ καὶ ἐξ ἀνάγκης εἰσὶν 125 14.
αἰτίαι καὶ δυνάμεις ποιητικαὶ ὡρισμέναι, τῶν δὲ κατὰ συμβεβηκὸς
γινομένων οὐδεμία τέχνη ἢ δύναμίς ἐστιν ὡρισμένη, ἀλλ' αἴτια
10 μυρία ἂν εἴη. Asclep.

ἀλλὰ τὸ αἴτιον τοῦ εἶναι τὸ συμβεβηκὸς ἢ ἡ ὕλη ἡ ἐνδεχομένη 125 23.
ἄλλως ἔχειν παρὰ τὸ ὡς ἐπὶ τὸ πολύ. Alex.

εἰπὼν δὲ τί ποτέ ἐστι τὸ συμβεβηκός, δίδωσιν ἡμῖν μέθοδον 125 24.
ἢ κανόνα, πῶς ἂν ἀποδεικνύοιμεν ὅ τι ποτέ ἐστι τὸ συμβεβηκός.
15 καί φησιν ὅτι εἰ μέλλοι τις δεικνύναι ὅτι ἔστι τὸ συμβεβηκός, ὡς
ἀρχὴν λαμβανέτω τὸ εἶναί τι παρὰ τὸ ἀεὶ καὶ ὡς ἐπὶ τὸ πολύ. τοῦτο
δὲ λάβοι ἄν, εἴπερ ἐρωτᾷ τὸν προσδιαλεγόμενον, ἆρά γε ἔστι τι
παρὰ τὰ ὡς ἐπὶ τὸ πολὺ καὶ ἀεί, ἢ οὔ; ἐκεῖνος δὲ ὑπὸ τῆς ἐναργείας
πειθόμενος πάντως δώσει τὸ εἶναί τι παρὰ ταῦτα· τοῦτο δέ ἐστι τὸ
20 ὁπότερον ἔτυχεν ἤτοι τὸ συμβεβηκός. τοῦτο εἰπὼν ἐρωτᾷ πότερον
τὸ μὴ ὡς ἐπὶ τὸ πολύ ἐστιν ἐν τοῖς οὖσι, τὸ δὲ ἀεὶ καὶ ἐξ ἀνάγκης
οὐκ ἔστιν, ἢ ἔστιν ἄττα ἀΐδια, ὥσπερ καὶ ἐπὶ τὸ πολύ; καὶ ἐρωτήσας
ἀποκρίνεται ὅτι περὶ τούτων ὕστερον ἔσται ἐπισκέψασθαι· καὶ ἐρεῖ ἐν
τῷ Κ μὴ ἀμυδρότερον τῆσδε τῆς πραγματείας, τελείως δὲ ἐν
25 τῷ Δ. id.

φησὶν ὅτι δεῖ ἡμᾶς λαβεῖν τοιαύτην ἀρχήν. ἆρά γε οὐκ ἔστιν 125 25.
ἐν τῇ φύσει τῶν ὄντων οὔτε τὸ ἀεὶ οὔτε τὸ ὡς ἐπὶ τὸ πολύ, ἢ τοῦτο
ἀδύνατον τῆς ἐναργείας ὑπαγορευούσης ὅτι ἀεί ἐστιν ὁ θεὸς ἀγαθὸς
καὶ ὅτι ὡς ἐπὶ τὸ πολὺ ὑγιάζει ὁ ἰατρός. εἰ οὖν ἔστι τὸ ὡς ἐπὶ τὸ
30 πολύ, τοῦτο δὲ μόνον τὸ κατὰ συμβεβηκὸς ποιεῖ, ἔστιν ἄρα καὶ τὸ
συμβεβηκὸς ἐν τοῖς οὖσι. πότερον οὖν, φησί, τὸ ὡς ἐπὶ τὸ πολύ,
τὸ δὲ ἀΐδιον οὐδὲν ὑπάρχει, ἢ ἔστι καί τινα ἀΐδια; καὶ ἀναβάλλεται
τὴν τούτων θεωρίαν εἰς τὴν Φυσικὴν Ἀκρόασιν· ἐν ἐκείνοις γὰρ
ἀποδείκνυται, φησίν, ὅτι ἔστιν ἡ ὕλη ἀΐδιος. Asclep.

126 5. τὸ δὲ παρὰ τὸ ὡς ἐπὶ τὸ πολὺ οὐχ ἕξει διδάξαι, ὅτι τῇ νυμηνίᾳ φέρε ἔςαι ὠφέλιμον· τοῦτο γὰρ ἐπ' ἔλαττον γίνε]. οὐ γὰρ ὡς ἐπὶ τὸ πολὺ ὠφελεῖ] ὁ ἐν τῇ νυμηνίᾳ τὸ μελίκρατον πίνων· διὰ δὲ τὸ ὡς ἐπὶ τὸ πολὺ ὠφελεῖ] συμβαίνει εἶναι καὶ ἐν τῇ νυμηνίᾳ ὠφέλιμον, ὥςε καὶ ἔμπαλιν τὸ ἐν τῇ νυμηνίᾳ ὠφέλιμον ἢ ἀεί ἐςιν ὠφέλιμον ἢ ὡς ἐπὶ τὸ πολύ. Alex.

τὸ δὲ παρὰ τοῦτο οὐχ ἕξει λέγειν ὁ ἰατρός, πότε οὐκ ὠφελεῖ, οἷον νυμηνίᾳ· τοῦτο γὰρ ἀόριςόν ἐςι καὶ ἀναίτιον· οὔτε γὰρ ὁ λόγος τοῦτο δείκνυσιν, ἀλλὰ τὴν ὕλην πλείονα γενομένην κτλ. Asclep.

126 6. γρ. "ἢ γὰρ ἀεί·" διότι γὰρ ἀεὶ καὶ ὡς ἐπὶ τὸ πολὺ ὠφέλιμον τὸ μελίκρατον, διὰ τοῦτο καὶ ἐν τῇ νυμηνίᾳ. cod. Reg.

126 12. πάντα δέ, φησίν, ἐξ ἀνάγκης ἔςαι, εἰ τοῦ γινομένου καὶ φθειρομένου μὴ κατὰ συμβεβηκὸς αἴτιόν τι ἀνάγκη εἶναι. δεῖ δὲ προσυπακούειν τὸ παντός, ἵνα ᾖ, εἰ παντὸς τοῦ γιγνομένου καὶ τοῦ φθειρομένου μὴ κατὰ συμβεβηκὸς αἴτιόν τι ἀνάγκη εἶναι. Alex.

126 15. εἰπὼν οὖν ὅτι "ἐάν γε τοῦδε γένη]· εἰ δὲ μή, ἄλλο," ἐπήγαγε "καὶ οὕτω δῆλον" κτλ. id.

126 22. ὁμοίως δὲ κἂν ἀπὸ τῶν παρεληλυθότων ἄρξηταί τις καὶ πρὸς τὰ μέλλοντα καταντήσῃ, ἀλλὰ μὴ ἀπὸ τῶν μελλόντων, ὥσπερ καὶ πρότερον, ἐπὶ τὸν ἐνεςῶτα, τὸ αὐτὸ γενήσε]. id.

126 24. ἀλλὰ τί ποτε ἔςι τὸ ἤδη γὰρ γεγονὸς ὑπάρχει ἔν τινι; ἢ τὸ τὰ ςοιχεῖα εἶναι ἐν τῷ ζῶντι· ἐπειδὴ γὰρ ἤδη ζῇ, ὑπάρχει ἐν αὐτῷ τὰ ςοιχεῖα. ὧδε οὖν ζῇ, ὅτι τὰ ἐναντία πῦρ καὶ γῆ καὶ τὰ μεταξὺ ἐν αὐτῷ γέγονεν· καὶ εἰ τοῦτο, ἀποθανεῖ]. ἐξ ἀνάγκης ἄρα τὸ ἐξ ἐναντίων γεγονὸς ἀποθανεῖ]. id.

εἶτα λοιπὸν ζητεῖν εἰς ποίαν ἀρχὴν τῶν τεσσάρων δεῖ ἡμᾶς τάξαι τὰ κατὰ συμβεβηκὸς αἴτια, καί φησιν ὅτι οὐ δυνατὸν εἰς τὴν εἰδικήν· ἡ γὰρ εἰδικὴ ἀρχὴ ὡρισμένη καὶ μεμετρημένη, τὰ δὲ κατὰ συμβεβηκὸς αἴτια ἀόριςα ὑπάρχουσιν. ἀλλ' οὐδὲ εἰς τὴν τελικήν· τὸ γὰρ τέλος ὡρισμένον τὸ κυρίως, καὶ παντες αὐτοῦ ςοχαζόμενοι παραλαμβάνουσι τὰ εἰς αὐτὸ ἄγοντα. ὅτι δὲ οὐδ' εἰς τὸ ὑλικόν, ἐδείξαμεν διὰ τῶν προλαβόντων, ὅτι παρέπον] καὶ παρακολουθοῦσι τὰ κατὰ συμβεβηκὸς τοῖς καθ' αὑτό. εἰ οὖν ὑποθώμεθα τὸ ὑλικὸν αἴτιον εἶναι τῶν κατὰ συμβεβηκός, ἐπειδὴ ἐν τοῖς καθ' αὑτὸ θεω-

ρεῖ), ἔςαι ϗ ἡ ὕλη τῶν καθ' αὑτό, ὅπερ ἀδύνατον. ὥςε δηλονότι ὑπὸ τ ποιητικὸν αἴτιον αὐτὰ τακτέον. ϗ ἐπὶ μ τῶν φυσικῶν τ αὐτόματον, ἐπὶ δὲ τῶν πρακτῶν τὴν προαίρεσιν, ἀλλ' ὑ πᾶσαν προαίρεσιν· οἷον ἡ προαίρεσις ἐκίνησεν εἰς τ λύσαζ ϗ
5 συνέβη ἀπαντῆσαί τινι ὀφείλοντι, ϗ πάλιν ἡ φύσις ἤγαγε τὸν λίθον ἄνωθεν κάτω ϗ ἐκ ταυτομάτυ γέγονεν ἐπιτήδειος εἰς καθέδραν... ϗ ἐρεῖ ἐν ἄλλοις ὅτι εἰς τὴν ποιητικὴν (ἀρχὴν δεῖ αὐτὰ ἀγαγεῖν). Asclep.

ἐπειδὴ ὧν περὶ σύνθεσιν ϗ διαίρεσίν ἐςι τ ὡς ἀληθῶς ὂν ϗ τ 127 5.
10 ὡς ψεῦδος μὴ ὄν, τ σύνολόν ἐςι περὶ μερισμὸν ἀντιφάσεως, τυτέςιν ὡς ἁπλῶς εἰπεῖν τ ὡς ἀληθὲς ὂν ἔχει τὴν κατάφασιν ἐπὶ τῷ συγκειμένῳ, ἤτοι τ ἀληθὲς ὂν συνίςαζ, ὅταν τ κατηγορύμενον ἀληθῶς συνθῶμεν, καθ' ὅ κατηγορεῖζ· τ δὲ ὡς ψεῦδος μὴ ὄν ἐςιν, ὅταν ψευδῶς ἀπὸ τῦ ὑποκειμένυ διαιρῶμεν, ϗ ὅλως
15 τ ψεῦδος τύτυ τῦ μερισμῦ τὴν ἀντίφασιν εἰσάγει, τυτέςι θάτερον μόριον τῆς ἀντιφάσεώς ἐςιν. ἀλλὰ τ μ ὡς ἀληθῶς ὂν ἐςίν, ὅταν ἀληθῶς συνάπτωμεν τ κατηγορύμενον τῷ ὑποκειμένῳ, τ δὲ ψεῦδος τὐναντίον. εἰ δ' ἔςιν ἄττα ἅπερ χωρὶς λεγόμενα δύναζ ϗ ἅμα νοεῖζ, ὡς τ ζῷον ϗ τ πεζὸν ϗ τ δίπυν (ταῦτα γὰρ
20 ϗ χωρὶς λεγόμενα δύναζ ϗ ὡς ἓν νοεῖζ), περὶ τύτυ, φησίν, "ἄλλος λόγος·" ἐρεῖ γὰρ ἐν τῷ μ τῦτο βιβλίῳ. Alex.

τυτέςιν ἅμα μ λέγω μὴ τὰ ἐφεξῆς, ὥσπερ δὴ ἡ Ἰλιάς, 127 12.
ἐφεξῆς γὰρ τῷ α' τ β' ϗ τὰ λοιπὰ ὁμοίως. μὴ ἅμα δὴ τὰ μὴ ἐφεξῆς· ἀλλὰ τὰ μ δυνάμενα ἓν γίνεζ λέγω ἅμα, τὰ δὲ μὴ
25 δυνάμενα μὴ ἅμα. id.

τῷ μ ἀγαθὸν εἰπεῖν, εὐθὺς ἔδει λέγειν ἀληθές, ϗ ἢν ἂν τ 127 15.
ἀγαθὸν ἀληθές· τῷ δὲ κακὸν ψεῦδος· ϗ ἔμπαλιν, τῷ μ κακὸν εἰπεῖν, εὐθὺς ἀληθὲς ἔδει λέγειν, τῷ δὲ ἀγαθόν, ψεῦδος. ἀλλὰ μὴν ὔτε ἀγαθὸν εἰπόντες ἀληθὲς λέγομεν ἢ ψεῦδος, ὔτε κακόν.
30 ὐκ ἄρα ἐν τοῖς πράγμασι τ ἀληθὲς ϗ τ ψεῦδος ἐςίν, ἀλλ' ἐν τῇ διανοίᾳ. id.

τ ὡς ἀληθές, τ παρὰ σύνθεσιν ϗ διαίρεσιν ἕτερον ὄν ἐςι 127 20.
τῶν κυρίως ὄντων, κυρίως ὄντα λέγων τὰς ἀτόμυς ὑσίας, ὡς ἐν τῷ μ τῦτο βιβλίῳ ἐρεῖ· περὶ γὰρ τῶν νοητῶν ἄλλος λόγος. εἶτα

καὶ πῶς ἕτερόν ἐςι τὸ ὡς ἀληθὲς ὂν τῶν κυρίως ὄντων λέγει. ἢ γάρ, φησίν, ἡ διάνοια τὸ τί ἐςι καὶ οὐσίαν μετ' οὐσίας συνάπτει ἢ διαιρεῖ, ἢ πάλιν ποιὸν μετ' οὐσίας κτλ. id.

127 29. τοῦτο (τὸ βιβλίον) δοκεῖ ἀτελὲς εἶναι. cod. Reg.

128 19. ἀλλ' εἴπερ τὸ βαδίζον καὶ τὸ καθήμενον ἔςι τόδε γάρ τι καὶ οὐσία ἐςί, καὶ ἔςιν ὡρισμένον ὑποκείμενον τῇ ὑγείᾳ καὶ τῇ βαδίσει ἡ οὐσία, τὸ δὲ βαδίζειν ἢ ὑγιαίνειν οὐκ εἰσὶν ὄντα. Alex.

128 29. εἰπὼν ὅτι ἡ οὐσία ἐςὶ τὸ πρῶτον ὂν καὶ τὸ κυρίως ὄν, ἐπειδὴ τὸ πρῶτον λέγε) πολλαχῶς, ὡς εἴρη) πρότερον (λέγε) γὰ πρῶτον καὶ τῇ γνώσει καὶ τῷ λόγῳ καὶ τῷ χρόνῳ), δείκνυσιν ὅτι κατὰ τὰς τρεῖς τούσδε τρόπους ἐςὶ πρώτη τῶν ἄλλων ἡ οὐσία. id.

εἶτα λοιπὸν δείκνυσιν ὅτι κατὰ πάντα τὰ σημαινόμενα τοῦ προτέρου κρείττων ἐςὶν ἡ οὐσία τῶν συμβεβηκότων, φύσει, χρόνῳ, λόγῳ, γνώσει, φύσει μὲ ὅτι συναναιρεῖ καὶ οὐ συναναιρεῖ). . . πρώτη οὖν πάντων ἐςὶν ἡ οὐσία καὶ φύσει καὶ χρόνῳ καὶ γνώσει. Asclep.

129 13. οὐχ ὡς ἐνδοιάζων τὸ "δοκεῖ" εἶπεν, ἀλλ' ὡς ἀποφαινόμενος. ἢ τὸ "δοκεῖ" εἶπεν, ὅτι δείξει τοῦτο διὰ πάνυ πολλῶν. ὡς μήπω δὴ δεδειχὼς τοῦτο εἴρηκεν. ὅμως πρὸς τὰ ἐπαγόμενα συμφώνως ἐςὶ μάλιςα ἡ προτέρα ἐπιβολή. Alex.

129 18. τὸ δὲ "ἢ μορίων ἢ πάντων," ὅτι ἐκ μὲ τῶν μορίων τῶν ἁπλῶν σωμάτων ἔςι τὰ ζῷα, ἐκ πάντων δὲ τῶν σωμάτων ἔςιν ὁ οὐρανὸς καὶ τὰ μόρια αὐτοῦ, ἄςρα καὶ σελήνη. τοῦτο δ' ἐλλιπῶς εἴρη) καὶ ἀσαφῶς· δοκεῖ γὰ λέγειν ὅτι καὶ ὁ οὐρανὸς καὶ οἱ ἀςέρες ἐκ τῶν τεσσάρων ςοιχείων ἔςιν· οὐ τοῦτο δέ φησιν. id.

"ἢ μορίων ἢ πάντων·" καὶ μορίων μὲ λέγει τὰ ζῷα· ἐκ γὰ τῶν μορίων τῶν ςοιχείων συνεςήκασιν· ἐκ πάντων δὲ τὸν πάντα κόσμον. . . καὶ σημειωτέον ὅτι ἐνταῦθα ἐκ τῶν τεσσάρων ςοιχείων φησὶν εἶναι τὸν οὐρανόν. Asclep.

129 20. φησὶν ὅτι δεῖ ἡμᾶς ζητῆσαι πότερον αὐ) καὶ μόναι οὐσίαι ὑπάρχουσιν αἰθητικὴ ἢ καὶ ἄλλαι, τουτέςιν ἀσώματοι· ἢ τούτων τῶν ἀσωμάτων τινὲς ἢ καὶ ἄλλων, τουτέςι τῶν αἰθητῶν τινές, καὶ οὐ πᾶσαι· ἢ αὐ) μὲ οὐκ εἰσὶν οὐσίαι, οὔτε αἱ νοηταὶ οὔτε αἱ αἰθηταί, ἀλλὰ ἄλλαι. φησὶν οὖν ὅτι τοῖς μὲ Πυθαγορείοις δοκοῦσιν εἶναι

ὑσίαι τὰ τῦ σώματος πέρατα, οἷον ἐπιφάνεια, γραμμή, στιγμὴ καὶ μονάς. δῆλον δέ, φησίν, ὅτι ταῦτα συμβολικῶς ἔλεγον ἐκεῖνοι· τὴν γὰρ στιγμὴν ἐλάμβανον ἀναλόγως τῷ νῷ διὰ τὸ ἀμερές, τὴν δὲ γραμμὴν τῇ ψυχῇ διὰ τὸ ἔχειν τὸ πόθεν ποῖ, τυτέστιν ἀπὸ
5 προτάσεων ἐπὶ συμπεράσματα, τὴν δὲ ἐπιφάνειαν τῇ φύσει, τὰ δὲ σώματα τοῖς στερεοῖς, διὰ τὸ πλάτος καὶ μῆκος καὶ βάθος. id.

τινὲς δὲ τὰ αἰθητὰ μᾶλλον ὑσίας λέγοντες ὑδὲν οἷον εἶναι 129 25.
παρὰ τὰ αἰθητά, ὥσπερ Ἵππων μ̄ πρότερον ὁ ἄθεος ἐπικληθείς (ὑθὲν γὰρ ὕτος παρὰ τὰ αἰθητὰ εἶναι ἀπεφήνατο), ὕστερον οἱ περὶ
10 Ἐπίκυρον. Alex.

Σπεύσιππος δὲ ὁ τύτυ μαθητὴς καὶ πλείω τῶν τριῶν ἔλε- 129 28.
γεν εἶναι τὰς ὑσίας τὰς νοητάς, πρώτην μ̄ τὸ αὐτοέν, ἄλλην δὲ τὴν τῶν ἀριθμῶν ἀρχήν, ἄλλην τὴν τῶν μεγεθῶν, καὶ ἄλλην τὴν τῆς ψυχῆς. καὶ ὕτως ἐπεκτείνει εἰς πλῆθος τὰ γένη τῶν
15 ὑσιῶν. id.

Σπεύσιππος δὲ καὶ πλείυς ὑσίας ὑποτίθε ἀπὸ τῦ ἑνὸς ἀρξάμενος καὶ ἀρχὰς καὶ ὑσίας· ἄλλην γὰρ ὑσίαν λέγει εἶναι τῶν ἀριθμῶν καὶ ἄλλην τῶν μεγέθων, καὶ ἄλλην ψυχῆς, καὶ τύτων ἐπεκτείνει τὰς ὑσίας... ὁμοίως δὲ καὶ οἱ περὶ Σπεύσιππον καὶ Ξενοκράτην· καὶ ὁ
20 μ̄ Σπεύσιππος πολλὰς ἔλεγεν εἶναι ὑσίας· ἄλλην γὰρ ὑσίαν ἔλεγεν εἶναι μεγεθῶν καὶ ἄλλην ἀριθμῶν καὶ ἐπὶ πάντων τῶν ὁμοίων, καὶ πάλιν ἄλλην ὑσίαν νῦ, καὶ ἄλλην ψυχῆς, καὶ ἄλλην σημείυ, καὶ ἄλλην γραμμῆς καὶ ἄλλην ἐπιφανείας. Asclep.

ἔνιοι δὲ ὑκ ἄλλην μ̄ ἀρχὴν τῶν ἀριθμῶν ἄλλην δὲ τῶν 130 3.
25 μεγεθῶν ἔλεγον, ὑδ' ἄλλης μ̄ φύσεως τὺς ἀριθμὺς ἄλλης δὲ τὰ μεγέθη, ἀλλὰ τῆς αὐτῆς τε ἀρχῆς καὶ τῆς αὐτῆς φύσεως· τὰ δὲ ἄλλα, οἷον ἐπίπεδα, γραμμάς, ὑρανὸν καὶ ἁπλῶς τὰ αἰθητὰ ἐχόμενα τοῖς ἀριθμοῖς ἔλεγον· τὸ μ̄ γὰρ αὐτομέγεθος καὶ τὸν αὐτοάριθμον πρώτας ὑσίας φάσκοντες καὶ τῆς αὐτῆς φύσεως, τὰς δὲ
30 γραμμὰς καὶ τὰ ἐπίπεδα καὶ τὸν ὑρανὸν καὶ ὅλως τὰ αἰθητὰ δευτέρας, εἴτε δὴ καὶ ταῦτα τῆς αὐτῆς φύσεως ἔλεγον εἴτε μή, ὑκ ἐδήλωσαν. Alex.

"ἔνιοι δὲ τὰ μ̄ εἴδη καὶ τὺς ἀριθμύς·" ἐντεῦθεν εἰς τὸν Ξενοκράτην ἀποτείνε, καί φησιν ὅτι τὰ εἴδη τῶν πραγμάτων τοῖς

ἀριθμοῖς προσηγόρευσαν, ἐπειδὴ ὥσπερ οἱ ἀριθμοὶ περιοριστικοί εἰσιν ὧν εἰσὶν ἀριθμοί, οὕτω δὴ καὶ τὰ εἴδη περιοριστικὰ τῆς ὕλης ὑπάρχουσιν. εἶτα μετὰ τὰς ἰδέας δευτέρας οὐσίας ὑποτίθεται τὰς διανοητικάς, τουτέστι τὰ μαθήματα γραμμὰς καὶ ἐπίπεδα, τελευταῖα δὲ τὰ φυσικά. Asclep. 5

130 15. λέγει "καθόλου" ἢ τὰς ἰδέας, ὃ καὶ μᾶλλον οἶμαι, ἢ τὸ παρὰ τὰ πολλὰ ὡς τὰ πολλά, λέγω δὴ τὸ ἐκ τῆς ἀφαιρέσεως τῶν καθ' ἕκαστα ἀποσυληθέν. ἄλλου δὲ πάλιν οὐσία λέγεται τὸ ἑκάστου γένος. id.

130 24. διὸ εἰ πρότερον τὸ εἶδος τῆς ὕλης καὶ μᾶλλον ὄν, καὶ τὸ ἐκ τοῦ 10 εἴδους καὶ τῆς ὕλης πρότερόν ἐστι τῆς ὕλης. πρότερον δὲ τὸ εἶδος τῆς ὕλης τῇ φύσει, ἀλλὰ μὴν καὶ τῷ χρόνῳ· δειχθήσεται γάρ τι εἶδος ὄν, ὁ πολυτίμητος φημὶ νοῦς, ἡ αὐτοαγαθότης, ὁ θέος, πρότερον πάντων τῷ χρόνῳ, ὅτι ποιητὴς καὶ ὅτι παροχεύς. Alex.

ὥστε εἰ τὸ εἶδος τῆς ὕλης πρότερον ὡς τελειοῦν, τὸ δὲ τελειοῦν 15 τοῦ τελειουμένου πρότερον τῇ φύσει ὑπάρχει, καὶ τοῦ συνθέτου αὐτοῦ πρότερόν ἐστι τὸ εἶδος. id.

131 3. τὰ μὴ γὰρ ἄλλα τῶν σωμάτων πάθη, τουτέστι μεταβολαὶ καὶ ποιήματα, ἐνέργειαι ὑπάρχουσι καὶ δυνάμεις. Asclep.

131 11. τουτέστιν ἥτις αὐτὴ καθ' αὑτὴν θεωρουμένη κατὰ ἀπόφασιν καὶ 20 ἀπογύμνωσιν τῶν εἰδῶν οὐδὲν τῶν δέκα κατηγοριῶν ἐστίν, ἐν αἷς πᾶν ὃν ὁρίζεται· πᾶν γὰρ ὂν εἰς ταύτας ἀνάγεται καὶ ἐν ταύταις ἔστω. ἀλλὰ μήν, φησίν, οὐδὲ τὴν τῶν ποσοτήτων ἢ ποιοτήτων ἀπόφασιν, οἷον τὸ μὴ ποσόν, τὸ μὴ ποιόν, ἢ ἄλλην ἠντιναῦν χρὴ λέγειν οὐσίαν· κατὰ συμβεβηκὸς γὰρ ὄντα εἰσὶν αἱ ἀποφάσεις, ἀλλ' οὐ καθ' αὑτό· τὸ 25 δὲ κατὰ συμβεβηκὸς οὐκ οὐσία. ἐκ μὴ οὖν τούτων θεωροῦσι συμβαίνει οὐσίαν εἶναι τὴν ὕλην. Alex.

131 14. "ὦ τὸ εἶναι ἕτερον·" τὸ γὰρ ὑποκείμενον τούτων ἕτερόν ἐστι κατὰ τὸν ὁρισμόν, τουτέστιν ἡ ὕλη. Asclep.

131 17. ὥστε τὸ ἔσχατον καθ' αὑτὸ οὐδεμία ἐστὶ τῶν κατηγοριῶν, οὔτε 30 δὲ αἱ στερήσεις ταὐτόν εἰσι τῇ ὕλῃ, εἴγε ἡ μὲν οὐκ ὑπομένει ἐπιὸν τὸ εἶδος, ἡ δὲ ὕλη ὑπομένει, ἡ δὲ στέρησις οὐκ ὑπομένει, ὡς εἴρηται, ὕπαρξιν ἔχουσα κατὰ συμβεβηκός. id.

κυρίως γὰρ οὐσία ἐστὶ τὸ χωριστόν, τουτέστι τὸ καθ' αὑτὸ ὑπάρχον 131 20.
καὶ τόδε τι, τουτέστι τὸ ἐνεργείᾳ, καθάπερ εἰρήκαμεν. διὸ τὸ εἶδος
τὸ χωριστόν, τουτέστι τὸ νοητόν, δόξειεν ἂν εἶναι οὐσία... ὑστέρα
γὰρ ἐστι καὶ δήλη (ἡ ὕλη) ὡς αἰσθητή. φανερὰ δέ πως καὶ ἡ ὕλη
5 ἐξ ἀναλογίας. id.

ἀλλὰ καὶ τὴν ὕλην παραλείπει· καὶ αὕτη γὰρ φανερά πως· τῇ 131 25.
γὰρ ἀναλογίᾳ ἐστὶ φανερά· καὶ ὅτι ἄνευ εἴδους οὐδέποτέ ἐστι, καὶ τοῦτο
δῆλον. κατὰ τί δὲ ἀφανής, κατὰ τὸ νόησιν· νόθῳ γὰρ λογισμῷ ληπτή·
κατὰ ἀπόφασιν γὰρ νοεῖται καὶ ἀπογύμνωσιν τῶν εἰδῶν, ἀλλ' οὐ κατὰ ἅπερ
10 εἰσίν, ὡς τὰ εἴδη. ἀλλὰ ταῦτα μὲν ἀφετέον, περὶ δὲ τῆς τρίτης,
τουτέστι τοῦ εἴδους, σκεπτέον (αὕτη γὰρ ἀπορωτάτη) πότερόν ἐστιν
αὐτὴ καθ' αὑτήν, ὥσπερ ὁ Πλάτων λέγει, ἢ οὔ. Alex.

βουλόμενος ἐπὶ τὴν τῶν εἰδῶν ἐξέτασιν χωρεῖν καὶ ζητεῖν εἰ 131 29.
ἐνδέχεται χωριστὰ εἶναι καὶ καθ' αὑτὰ χωρὶς ὕλης ἢ μή, λέγει ὅτι
15 θεωρητέον πρῶτον τὰ ἔνυλα εἴδη καὶ γνώριμα ἡμῖν, ὅπως ἔχει. ἐκ
τούτων γὰρ γνωσόμεθα καὶ περὶ ἐκείνων, εἴτε εἰσίν, ὡς ὁ Πλάτων
λέγει, εἴτε οὐκ εἰσίν. id.

ὥσπερ γὰρ ἐν ταῖς πράξεσι σπουδάζουσιν οἱ νομοθέται, ἵνα ἐκ 132 2.
τῶν ἑκάστῳ ἀγαθῶν ἀπεργάζωνται τὰ ὅλως καὶ καθ' αὑτὰ ἀγαθὰ
20 πᾶσι τοῖς πολιταῖς ἀγαθά, οὕτως ἐκ τῶν ἑκάστῳ γνωρίμων τὰ τῇ
φύσει μὲν γνώριμα, ἑκάστῳ δὲ ἄγνωστα σπεύδει ὁ διδάσκων ποιῆσαι
αὐτῷ, λέγω δὴ τῷ ἀγνοοῦντι γνώριμα· ὁ γὰρ Σωσιγένης ἐκ τῶν
Ἀλεξάνδρῳ γνωρίμων ἐποίησεν αὐτῷ γνώριμα τὰ τῇ φύσει γνώ-
ριμα. id.

25 ἀλλὰ πρὸ τῆς τῶν λεγομένων σαφηνείας τοιοῦτον καὶ τοσοῦτον 132 11.
διοριστέον, ὅτι ἄλλο μέν φησι τὸ τί ἦν εἶναι καὶ ἄλλο τὸν λόγον ἤτοι
τὸν ὁρισμόν. τί ἦν εἶναι μὲν λέγει αὐτὸ τὸ πρᾶγμα καὶ τὴν φύσιν
αὐτοῦ, συνημμένως καὶ συνεπτυγμένως καὶ ἅμα ὡς ἓν νουμένην...
ὁρισμὸν δὲ λέγει τὴν κατὰ ἀνάπλωσιν καὶ ἀναρίθμησιν τῶν ἐξ ὧν
30 συγκεῖται τὸ εἶδος μερῶν νόησιν. καὶ τούτῳ διαφέρει τὸ τί ἦν εἶναι
τοῦ ὁρισμοῦ, ὅτι ἐκεῖνο μέν ἐστι νόησις συγκεχυμένη, καὶ ὥς φησιν
ὡς ἓν τὸ πρᾶγμα θεωροῦσα, ὁ δὲ ὁρισμὸς ἀνάπτυξίς τις τοῦ πράγ-
ματος καὶ ὑπαρίθμησις τῶν αὐτοῦ μερῶν. id.

132 12. ὑ γάρ ἐςι τό σοι εἶναι τὲ μυσικῷ εἶναι, τυτέςι λέγε] ὁ Σωκράτης μυσικός, ἀλλ' ὑκ ἔςι τὲ Σωκράτει εἶναι τὲ μυσικῷ εἶναι· ὑδ' ἔςιν ἡ φύσις αὐτῦ τὲ μυσικῷ εἶναι· ὑ γὰ καθ' αὐτό ἐςι μυσικός, ὑδὲ τὲ τί ἦν εἶναι τῦ Σωκράτυς κ̀ τῶν κ̀ μέρος ἀνθρώπων. εἰπὼν δὲ τῦτο... ἐπήγαγε τὲ "ὑδὲ δὴ τῦτο πᾶν." id. 5

132 14. τυτέςιν ὑκ ἀκριβῶς· εἶπε γὰ ὑκ ἀκριβῶς, ἐπειδὴ δείκνυσιν ὅτι μόνων τῶν ὑσιῶν ὑπάρχυσιν ὁρισμοί, κ̀ ὕςερον ἀποδείκνυσιν ἀληθῶς ὅτι κ̀ τῶν συμβεβηκότων ὑπάρχυσιν ὁρισμοί. ἢ "λογικῶς" εἶπεν, ἐπειδὴ ἐκ τῦ ὑςέρυ τὲ πρότερον βύλε] κατασκευάσαι, τυτέςιν ἐκ τῦ ὁρισμῦ τὲ εἶδος· πρότερον γάρ ἐςι τὲ εἶδος τῦ 10 ὁρισμῦ. Asclep.

132 15. ὑκ ἔςιν ὖν τὲ λευκὸν τῇ ἐπιφανείᾳ καθ' αὐτὲ ὡς τὲ τί ἦν εἶναι τοῖς μέρεσιν αὐτῦ, διότι τὲ μ̀ Σωκράτει εἶναι τὲ ἀνθρώπῳ εἶναί ἐςιν, ἀνθρώπῳ εἶναι λέγων κ̀ τὴν δοτικὴν πτῶσιν τὲ τί ἦν εἶναι τὲ ὑπὸ τῦ ἄνθρωπος ὀνόματος δηλύμενον· τὲ δ' ἐπιφανείᾳ εἶναι ὑκ 15 ἔςι τὲ λευκῷ εἶναι· ἄλλη γὰ φύσις ἐπιφανείας κ̀ ἄλλη λευκῦ. Σωκράτυς δὲ κ̀ τῦ τί ἦν εἶναι τῦ ὑπὸ τῦ ἄνθρωπος ὀνόματος δηλυμένυ ὑκ ἄλλη ἀλλ' ἡ αὐτή. ἀλλὰ μὴν ὑδὲ τὲ ἐπιφανείᾳ εἶναι ἔςι τὲ ἐπιφανείᾳ εἶναι λευκῇ· ὑ γάρ ἐςι ταὐτὸν τὲ ἐπιφανείᾳ εἶναι τῦ ἐπιφανείᾳ λευκῇ. κ̀ τῦ πῶς ὑ ταὐτὸν ἀλλ' ἕτερόν ἐςι τὲ ἐπι- 20 φανείᾳ εἶναι τῦ λευκῇ ἐπιφανείᾳ, πάνυ συντόμως κ̀ διὰ τῦτο ἀσαφῶς τὴν αἰτίαν ἐπήγαγε εἰπὼν "ὅτι πρόσεςιν αὐτό," αὐτὲ λέγων τὲ ὁριςὸν ἤτοι τὴν ἐπιφάνειαν· ὑκ ἔςιν ὖν τὲ ἐπιφανείᾳ εἶναι, ὅπερ τὲ ἐπιφανείᾳ λευκῇ, ὅτι ἐν τῷ ὁρισμῷ τῆς λευκῆς ἐπιφανείας λαμβάνε] ἡ ἐπιφάνεια· τὲν μ̀ γὰ Σωκράτην ταὐτόν φαμεν 25 εἶναι τῷ ἀνθρώπῳ, ὅτι ὅταν ὁριζώμεθα τὲν ἄνθρωπον, ὑ λαμβάνομεν εἰς τὲν τῦ ἀνθρώπυ ὁρισμὸν τὲν ἄνθρωπον· ὑ γὰ ὁριζόμενοι τὲν ἄνθρωπον φαμ̀ ὅτι ἄνθρωπός ἐςιν ἄνθρωπος ζῷον πεζὸν δίπυν. τὴν δὲ λευκὴν ἐπιφάνειαν ὁριζόμενον λαμβάνομεν εἰς τὲν ἐρισμὸν αὐτῆς αὐτὴν τὴν ἐπιφάνειαν· λέγομεν γὰ ὅτι λευκὴ ἐπιφάνεια 30 ἔχυσα χρῶμα διακριτικὸν ὄψεως· ὥςε εἴληπ] ἐν τῷ ὁρισμῷ τῆς λευκῆς ἐπιφανείας ἡ ἐπιφάνεια. εἰ δὴ τὲν Σωκράτην φαμ̀ ὅπερ τὲν ἄνθρωπον, ὅτι ἐν τῷ ὁρισμῷ τῦ ἀνθρώπυ ὑ λαμβάνε] ὁ ἄνθρωπος, δῆλον ὡς ἐπειδὴ ἐν τῷ ὁρισμῷ τῆς λευκῆς ἐπιφανείας

λαμβάνει ἡ ἐπιφάνεια, οὐκ ἔςιν ἡ ἐπιφάνεια ὅπερ ἡ λευκὴ ἐπιφάνεια... φέρει δὲ καὶ ἄλλη γραφὴ ἔχουσα οὕτως "καὶ διὰ τί; ὅτι πρόσεςιν αὕτη." καὶ ἔςιν αὕτη σαφεςέρα ἡ γραφή. Alex.

οἷον ὁ Σωκράτης ἐν τῷ ἀνθρώπῳ ἔχει τὸ εἶναι, οὐκ ἐν τῷ μου- 132 16.
5 σικῷ· οὐ γὰρ κατὰ ταὐτὸν ὑπῆρχε μουσικός, τουτέςι καθ' αὑτὸν ἄλλος ἄνθρωπος ὑπάρχει καθ' αὑτό. καὶ οὐκ ἀρκεῖ μόνον τὸ καθ' αὑτὸ εἶναι εἰς ὁρισμόν. οὐ γὰρ τὸ οὕτως καθ' αὑτό, ὥσπερ τῇ ἐπιφανείᾳ ὑπάρχει τὸ λευκόν· οὐκ ἔςι γὰρ τὸ ἐπιφανείᾳ εἶναι τὸ λευκῷ εἶναι· οὐ γὰρ πᾶν λευκὸν ἐπιφάνεια, εἰ καὶ πρώτως αὐτοῦ μετέχει, ἐπειδὴ
10 οὐκ ἐξισάζει, ὥσπερ τὸ ζῷον λογικὸν θνητὸν ἐξισάζει τῷ ἀνθρώπῳ. ἀλλὰ μὴν οὐδ' εἰ ὑπόθοιτό τις ἅμα λέγειν τὴν ἐπιφάνειαν καὶ τὸ λευκόν, ἵνα τήνδε τὴν ἐπιφάνειαν λάβωμεν τὴν λευκήν· οὔτε γὰρ τὸ ὁριςόν ποτε περιλαμβάνει μετὰ τοῦ ὁρισμοῦ· οὐδεὶς γὰρ λέγει ὅτι ἄνθρωπος ἄνθρωπός ἐςι ζῷον λογικόν. ἐν ᾧ οὖν ὁρισμῷ μὴ πρόσεςιν
15 αὐτὸ τὸ ὁριςὸν λέγοντι καὶ περιελόντι τὸ ὁριςόν, τὸ τοιοῦτόν ἐςιν ὁρισμός τοῦ πράγματος. ὥςε εἰ ταὐτὸν λάβωμεν καὶ ὁρισμὸν τοῦ λευκοῦ τὸ λεῖον, ἀντὶ τοῦ τῆς ὄψεως διακριτικοῦ, ἵνα ταὐτὸν ὑποθώμεθα ἐπιφάνειαν λευκὴν καὶ λείαν, τὸ αὐτὸ ἔςαι τὸ λευκὸν τῷ λείῳ. ὥςε ἐντεῦθεν συνάγει ὅτι δεῖ ἐξισάζειν τὸ ὁριςὸν τῷ ὁρισμῷ. εἰ τοί-
20 νυν μὴ ἐξισάζει ἐπὶ τῆς ἐπιφανείας τὸ λευκόν (οὐ γὰρ πᾶσα ἐπιφάνεια λευκή), δῆλον ὅτι οὐκ ἂν κυρίως καθ' αὑτὸ ὑπάρχοι τὸ λευκὸν τῇ ἐπιφανείᾳ, ὥςε καὶ ὁ ὁρισμὸς αὐτῆς γίνει. "ἐπειδὴ — σύνθετα." ἐντεῦθεν ζητεῖ εἰ ἄρα ὑπάρχουσιν ὁρισμοὶ τῶν συμβεβηκότων, ... καὶ πιθανῶς ἀνατρέπει ὅτι οὐκ εἰσί, λέγων οὕτως, ὅτι
25 ἐπειδή ἐςι καὶ ἐν ταῖς ἄλλαις κατηγορίαις, φημὶ δὴ ταῖς λοιπαῖς ἐννέα, τοῦ συμβεβηκότος σύνθετα.., δεῖ σκοπεῖν εἰ ἄρα ὑπάρχει ὁρισμὸς καὶ τούτων τῶν συμβεβηκότων. ἀλλὰ μὴν οὐδὲ τὸ ἐπιφάνεια φησὶν ἐπιφάνεια λευκή ἐςιν, οὐδὲ ἔςιν φύσις ἐπιφανείας καὶ τί εἶναι ἡ λευκὴ ἐπιφάνεια· ἐπὶ πλέον γὰρ ἐπιφάνεια τῆς λευκῆς
30 ἐπιφανείας καὶ πιθανῶς. Asclep.

τουτέςιν οὗτος ἐςὶ λόγος καὶ ὁρισμὸς ὁ δηλωτικὸς τοῦ τί ἦν εἶναι 132 20.
καὶ τῆς φύσεως ἑκάςῳ, ἐν ᾧ λόγῳ λέγοντι καὶ ἀναπτύσσοντι αὐτό, τὸ ὁριςόν, μὴ ἐνυπάρχει ἐν τῷ λόγῳ αὐτό, ἤτοι τὸ ὁριςόν. Alex.

132 2. φησὶν ὅν ὅτι οὐκ ἔςιν ὁρισμὸς τῶν τοιούτων, ἐπειδὴ οὐχ ὑπάρχουσι τῶν καθ' αὑτὸ λεγομένων, τοιοῦτοι δὲ θέλουσιν εἶναι οἱ ὁρισμοὶ καθ' αὑτό· τὸ γὰρ ὁ καθ' αὑτὸ διχῶς λέγεται· ἢ γὰρ ἐκ προθέσεως ἢ ἐκ διαζεύξεως. Asclep.

1337. τὸ μὲν ὅν οὕτω λέγεται ὁ καθ' αὑτό, "τὸ δὲ τῷ ἄλλο αὐτῷ." ἐλλιπῶς δὲ ἑρμηνευθὲν δεῖ προθεῖναι τὸ δεῖν προσκεῖσθαι, ὃ ὁ προσκεῖται, ἵνα ᾖ τὸ πᾶν τοιοῦτον. τὸ δὲ λέγεται ὁ καθ' αὑτὸ ἐν τῷ δεῖν ἄλλο προσκεῖσθαι αὐτῷ, ὃ ὁ πρόσκειται· οἷον εἰ τὸ ἱμάτιον σημαίνει τὸν λευκὸν ἄνθρωπον, ὁ δὲ ὁριζόμενος τὸ ἱμάτιον λέγει ὅτι ἱμάτιόν ἐςι χρῶμα διακριτικὸν ὄψεως· δέον γὰρ προσκεῖσθαι τῷ ὁρισμῷ τοῦ ἱματίου καὶ ἄλλο τι, οἷον τὸ ζῷον πεζὸν δίπουν, ὁ πρόσκειται, ὥςε ὁ καθ' αὑτὸ ὁρίζεται τὸ ἱμάτιον. Alex.

1331 1. ἐντεῦθεν ζητεῖ εἰ ἄρα τοῦ συνθέτου ἐςὶν ὁρισμός, καὶ φησὶν οὕτως. ἆρα τοῦ ἱματίου, τουτέςι τοῦ συνθέτου, ἐςὶν ὁρισμὸς ἢ οὐκ ἔςι; τῆς γὰρ οὐσίας ἐςὶ κυρίως ὁρισμός, ἐπειδὴ καὶ τῶν καθ' αὑτὸ ὑπαρχόντων ἐςὶ καὶ ἑνὸς πράγματος· ὅταν δὲ ἄλλο κατ' ἄλλου λέγηται, οὐκ ἔςι τοῦ τοιούτου ὁρισμός, ἐπεὶ μήτε μίαν φύσιν δηλοῖ. Asclep.

ὅταν δ' ἄλλο κατ' ἄλλου λέγηται, οὐκ ἔςιν ὅπερ τόδε τι καὶ καθ' αὑτό· ὁ γὰρ λευκὸς ἄνθρωπος οὐκ ἔςι καθ' αὑτό, ἀλλ' ἐν τῷ ἀνθρώπῳ· τὸ γὰρ τόδε τι ταῖς οὐσίαις μόναις ἀφώριςαί τε καὶ ὑπάρχει. Alex.

εἰ τοίνυν τοῦτό ἐςι τὸ τί ἦν εἶναι, τουτέςιν οὐσία, ὅσων ὁ λόγος ἐςὶν ὁρισμὸς καὶ οὐκ ὄνομα, ἤγουν ὑπογραφή... ἕκαςον γὰρ πρᾶγμα ἔχει καὶ ὄνομά τι καὶ ὑπογραφήν. συμβήσεται οὖν καὶ τῆς Ἰλιάδος εἶναι ὁρισμόν. Asclep.

1332 1. τοιαῦτα — ἄλλο κατ' ἄλλου λέγ., ἀλλ' ἑνὸς πράγματος καὶ μόνου· ὥςε οὐκ ἔςαι ὁρισμὸς τῶν μὴ διαιρουμένων εἰδῶν ἐκ γένους, ὥσπερ τοῖς καθ' ἕκαςα· ὅτε γὰρ πρώτως ὑπάρχουσιν αὐτοῖς αἱ διαφοραί, ἀλλὰ διὰ μέσων τῶν εἰδῶν. τῶν οὖν εἰδῶν εἰσὶν οἱ ὁρισμοί· ταῦτα γὰρ ὁ κῦ μετοχὴν ὑπάρχουσι τῶν διαφορῶν καὶ παθῶν, ὥσπερ τὰ συμβεβηκότα ἢ τὰ ἄτομα, ἀλλ' οὐσιωδῶς. τοῖς οὖν ἄλλοις ὑπάρχουσιν ὑπογραφαὶ ἤγουν ὀνόματα. Asclep.

δύναται τὸ "οὐ κατὰ μετοχὴν" νοεῖται ἀντὶ τοῦ κεχωρισμένα ἐστὶ τὰ εἴδη, καὶ οὐ καθάπερ φησὶ Πλάτων, κατὰ μετοχὴν αὐτῶν τὰ καθ' ἕκαστα ἐστίν, ἀλλ' οὐσίαι εἰσὶν ἐν τοῖς καθ' ἕκαστα μεμερισμέναι πως καὶ ἀμέριστοι. Alex. 13323.

5 δείξας διὰ τῶν προλαβόντων λογικῶς ὅτι οὐκ ἔστιν ὁρισμὸς τῶν συμβεβηκότων, ἐπειδὴ αἱ ὁρισμοὶ ἁπλῶν πραγμάτων ὑπάρχουσι καὶ τῶν καθ' αὑτό, τὰ δὲ συμβεβηκότα οὔτε καθ' αὑτὰ ὑπάρχουσιν· αὐτὰ γὰρ τοῦτο λέγεται κατὰ συμβεβηκός· οὔτε γὰρ ἁπλᾶ πράγματα ὑπάρχουσιν, ἐπειδὴ συνεισφέρουσι καὶ ἕτερα 10 μεθ' ἑαυτῶν λεγόμενα· οὔτε γὰρ αὐτὰ καθ' αὑτὰ ὑποστῆναι δύνανται, — ἐντεῦθεν ἀνατρέπει τὰ εἰρημένα ὑπ' αὐτοῦ λογικῶς, καὶ δείκνυσιν ὅτι καὶ τῶν κατὰ συμβεβηκὸς ὑπαρχόντων εἰσὶν ὁρισμοί, κεχρημένος τοιούτῳ ἐπιχειρήματι, ὅτι ὥσπερ τὸ ὂν καὶ ἡ ὕπαρξις τῶν πραγμάτων πλεοναχῶς λέγεται, οὕτω καὶ οἱ ὁρισμοί. Asclep. 13313.

15 ὥσπερ καὶ τὸ ὂν ὑπάρχει πᾶσιν, ἀλλ' οὐχ ὁμοίως. id. 13313.

"τοῖς ἄλλοις" τουτέστι τοῖς συμβεβηκόσι. id. 13315.

"ἀλλ' ὥσπερ ἐπὶ τοῦ μὴ ὄντος λογικῶς." φασὶν αἱ σοφισταὶ εἶναι τὸ μὴ ὄν, οὐχ ἁπλῶς δὲ εἶναι αὐτὸ ἐροῦμεν, ἀλλ' οὕτως εἶναι ὡς μὴ ὄν, οὕτω δὲ καὶ τὸ ποιόν. id. 13317.

20 ἀλλ' ὥσπερ φασὶν οἱ σοφισταὶ περὶ τοῦ μὴ ὄντος. ἐρωτῶσι γὰρ οὕτως· τὸ μὴ ὂν ἔστιν ἢ οὐκ ἔστιν; εἰ μὲν οὖν ἔστιν, αὐτόθεν ἄτοπον τὸ λέγειν ὅτι ἔστι τὸ μὴ ὄν· εἰ δὲ μή ἐστι τὸ μὴ ὄν, αἱ δύο ἀρνήσεις μίαν κατάθεσιν ποιοῦσιν, ὥστε πάλιν ἔστι τὸ μὴ ὄν. λέγομεν οὖν ὅτι φαμὲν ὅτι ἔστι τὸ μὴ ὂν ὡς μὴ ὑπάρχον. οὕτως οὖν φημὶ καὶ ἐπὶ 25 τῶν συμβεβηκότων ὅτι ὑπάρχουσιν αὐτῶν ὁρισμοί, οὐχ ὡς ἁπλῶς ὄντων ἀλλ' ὡς πῇ ὄντων. εἶτα ταῦτα εἰρηκὼς ζητεῖ, ἆρά γε συνωνύμως κατηγορεῖται τὸ ἓν τῶν δέκα κατηγοριῶν ἢ ὁμωνύμως; καὶ δείκνυσιν ὅτι οὔτε συνωνύμως οὔτε ὁμωνύμως οὐχ ὁμωνύμως μέν, ἐπειδὴ ὅλως κοινωνοῦσι τῇ οὐσίᾳ κατὰ τὸ πρᾶγμα, τὰ δὲ ὀνόματα 30 οὐ κοινωνοῦσιν ἀλλήλοις κατὰ πρᾶγμα· ταῦτα δὲ καθὸ καὶ αὐτὰ λέγονται ὄντα, μετέχουσι τοῦ ὄντος. οὐ συνωνύμως δέ, ἐπειδὴ οὐκ ἔστιν εἷς ὁρισμὸς τῆς οὐσίας καὶ τῶν συμβεβηκότων, ἐπειδὴ μήτε μιᾶς ὑπάρχουσιν οὐσίας, ἀλλ' ὡς τὰ ἀφ' ἑνὸς καὶ πρὸς ἕν, τουτέστι τῶν πολλαχῶς λεγομένων. id.

134 15. "δεῖ γὰρ ἢ ὁμωνύμως ταῦτα φάναι ὄντα," καὶ δεῖ προσυπακούειν τὸ ἢ συνωνύμως, καὶ οὕτως ἐπιφάναι καὶ τὰ ἑξῆς· τὸ γὰρ "δεῖ γὰρ ὁμωνύμως ταῦτα φάναι" ἐλλιπῶς τεθέν (ἔδει γὰρ προσκεῖσθαι καὶ τὸ ἢ συνωνύμως) ἀσάφειαν ἐποίησε πολλήν· τὸ γὰρ "ἢ προσιθέντας ἢ ἀφαιροῦντας ὥσπερ καὶ τὸ μὴ ἐπιζητὲν ἐπιζητούν," μεταξὺ τεθέν. καὶ 5 ἔστιν ἴσως ὁ λόγος τοιοῦτος. καὶ τὸ τί ἦν εἶναι ὑπάρξει πρώτως μὲν καὶ ἁπλῶς τῇ οὐσίᾳ, εἶτα τὸ τί ἦν εἶναι καὶ τοῖς ἄλλοις ὑπάρχει, ἀλλ' οὐχ ἁπλῶς, ἀλλ' ὥσπερ καὶ τὸ τί ἐστιν οὐχ ἁπλῶς αὐτοῖς ὑπάρχει, οὕτως καὶ τὸ τί ἦν εἶναι, καὶ ὥσπερ τὸ μὴ ἐπιζητὲν ἐπιζητὲν λέγεται οὐχ ἁπλῶς, οὕτως καὶ ταῦτα δεῖ λέγειν. "ἢ προσιθέντας ἢ ἀφαιροῦν- 10 τας," προσιθέντας μὲν ἐπὶ τοῦ ποσοῦ ἢ τοῦ ποιοῦ ἢ τῶν ἄλλων τί ἦν εἶναι λεγόντας ποσῷ ἢ ποιῷ, ἀφαιροῦντας δὲ ἤτοι ἁπλῶς δὲ καὶ ἄνευ προσθήκης λέγοντας ἐπὶ τῆς οὐσίας· εἶτα δεῖ γὰρ τοῦ συνδέσμου τοῦ δὲ ἀκούοντας ὡς ἄλλο τι λέγοντος. δεῖ δὲ ἢ ὁμωνύμως ταῦτα φάναι ὄντα ἢ συνωνύμως. "ἐπεὶ — ὡσαύτως." ὡς ἂν εἰ ἔλεγε, 15 δεῖ τὴν οὐσίαν καὶ τὸ ποσὸν καὶ τὸ ποιὸν καὶ τὰς λοιπὰς κατηγορίας ἢ ὁμωνύμως ὄντα λέγειν ἢ συνωνύμως· εἶτα ἐπικριτικὸν ἐπήνεγκε, τό γε ὀρθὸν καὶ ἀληθές ἐστι μήτε ὁμωνύμως αὐτὰ φάναι "μήτε ὡσαύτως," ἀντὶ τοῦ συνωνύμως, ἀλλὰ τῶν ἀφ' ἑνὸς καὶ πρὸς ἕν, ὥσπερ καὶ τὸ ἰατρικὸν λέγεται πρὸς τὸ αὐτὸ καὶ ἕν, ἀντὶ τοῦ τῶν ἀφ' ἑνὸς 20 καὶ πρὸς ἕν. "οὐ τὸ αὐτὸ δὲ καὶ ἕν" ἤτοι οὐ συνωνύμως δέ. id.

134 20. ὁ δὲ γὰρ σύνδεσμος τεθεὶς ἔμφασιν δίδωσι τοῦ τὰ λεγόμενα εἶναι κατασκευαστικά τινος τῶν προσεχῶς ῥηθέντων. οὐκ ἔστι δὲ τοῦτο, ἀλλὰ δεῖ τὸν γὰρ ἀντὶ τοῦ δὴ συνδεσμῷ ἐκλαβεῖν. πολλαχοῦ γὰρ τοῦτο σύνηθες αὐτῷ, ὡς καὶ ἐν τῷ Β τῶν Ὑστέρων Ἀναλυτικῶν ἀπεσημηνάμεθα καὶ ἐν ἄλλοις πολλοῖς. δεῖ οὖν τοῦ γάρ ἀντὶ τοῦ δὴ συνδέσμου ἀκούειν. καὶ εἴη ἂν ὃ λέγει τοιοῦτον. οὐ δή, φησίν, ἀνάγκη, τυτέστιν οὐκ ἀναγκαῖον δή τι συμβαίνει, ἂν τοῦτο θῶμεν, ὅτι ὃ ἂν ὄνομα λόγῳ ταὐτὸν σημαίνῃ, ἐκεῖνον τὸν λόγον, ᾧ ταὐτὸν τὸ ὄνομα σημαίνει, ὁρισμόν τινα τοῦ πράγματος εἶναι· ἀλλὰ τοῦτο χρὴ λέγειν ὅτι εἴ τι ὄνομα λόγῳ τινὶ ταὐτὸν σημαίνει, ἐκεῖνος ὁ λόγος ὁρισμός ἐστι τοῦ πράγματος. ἔσται δὲ ὁ λόγος ὁ ὑπὸ τοῦ ὀνόματος δηλούμενος ὁρισμός, ἐὰν τὸ ὄνομα δηλωτικὸν ᾖ ἑνὸς λόγου, ἑνὸς δὲ μὴ τῷ συνεχεῖ, ὥσπερ ἡ Ἰλιὰς ἢ ὅσα συν-

νοεῖαζ. τοῦτο γὰρ ἐδήλωσε διὰ τοῦ "οὐδενὸς γὰρ ἄνευ κινήσεως αὐτῶν ὁ λόγος," κίνησιν εἰπὼν τὴν ὕλην. id.

ὁ γὰρ ὁρισμὸς αὐτῶν οὐ δύναται ἀποδοθῆναι ἄνευ κινήσεως, τουτέστιν ἐνεργείας, ὡς ἐλέγομεν· τὰ μὲν γὰρ τεχνητὰ δυνατὸν ὁρίσαζ ἄνευ τῆς αὐτῶν ἐνεργείας (ἀκίνητα γὰρ ὑπάρχουσι), τὰ μέντοι γε φυσικὰ οὐ δυνατόν. ὥστε ἐντεῦθεν μεμαθήκαμεν πῶς δεῖ ὁρίζεαζ τὰ φυσικὰ πράγματα, ὅτι μετὰ τοῦ σχήματος, μνημονεύειν δὲ καὶ τῆς ἐνεργείας αὐτῶν. διὸ καὶ ἐνίας τῶν ψυχῶν δεῖ ὁρίζεαζ, ὅσαι μὴ δύνανται ἄνευ ὕλης εἶναι, ὥσπερ τῆς φυσικῆς. Asclep. 122 20.

ὥστε καὶ τὰς ἀλόγους ψυχὰς θεωρεῖ καὶ ὁρίζεται ὁ φυσικὸς διὰ τὸ μὴ ἄνευ ὕλης εἶναι, μηδὲ ἀχωρίστους τοῦ ὑποκειμένου αὐταῖς. εἰ δὲ καὶ τὰς λογικὰς θεωρεῖ, ἐν τῇ περὶ Ψυχῆς ἡ αἰτία ἡμῖν εἴρηται. Alex. 122 22.

τὸ δὲ "ἔνια" προσκεῖται διὰ τὰ ὀπτικὰ καὶ ἁρμονικὰ καὶ ἀστρονομικά. ὁ γὰρ ὀπτικὸς οὐ περὶ χωριστὰς γραμμὰς καταγίνεται ἀλλὰ περὶ ἐνύλους. ὁμοίως καὶ ὁ μουσικὸς καὶ οἱ τοιοῦτοι. καὶ τὸ "ἴσως" κεῖται διὰ τὸ μήπω δεικθῆναι καθόλου ὅτι οὐδὲν τῶν μαθηματικῶν χωριστόν ἐστι καθ' αὑτό. id. 123 4.

καλῶς δὲ εἶπεν "ἔνια" διὰ τὴν ὀπτικήν. "οὐ χωριστὰ δὲ ἴσως." πάλιν δὲ τὸ "ἴσως" προστέθεικε διὰ τοὺς Πλατωνικούς, ὡς μέλλων δεικνύναι ὅτι οὐκ ἔστιν αὐτογραμμὴ ἐνυπόστατος ἡ ὑπάρχουσα αὐτὴ καθ' αὑτήν, οὔτε δὲ αὐτοζῷον. ὁμοίως δὲ καὶ ἐπὶ τῶν ἄλλων τῶν τοιούτων· ἐν ὕλῃ γὰρ τὸ εἶναι ἔχουσι ταῦτα, οἱ δὲ μαθηματικοὶ τῇ ἐπινοίᾳ αὐτὰ χωρίζουσιν. Asclep.

καὶ τὴν αἰτίαν τοῦ ταῦτα ἀΐδια εἶναι ἐπήγαγε, "ταῦτα γὰρ αἴτια τοῖς φανεροῖς τῶν θείων·" ὃ δὴ διὰ τὴν βραχυλογίαν ἀσαφέστερον εἴρηται. ἔστι δέ, οἶμαι, τὸ λεγόμενον τοιοῦτον. ταῦτα γὰρ τὰ ἀκίνητα καὶ χωριστὰ αἴτια τῶν θείων ἤτοι τῶν σφαιρῶν καὶ θείων σωμάτων, αἵτινες σφαῖραι αἴτιαι τοῖς φανεροῖς, τουτέστι τοῖς ὑπὸ γένεσιν, τοῦ γίνεαζ καὶ φθείρεαθαί εἰσιν· ἡ γὰρ τούτων κίνησις τὴν γένεσιν καὶ φθορὰν ἀπεργάζεται. ἀλλ' εἰ τὸ κυκλοφορητικὸν ἀΐδιον δέδεικται ἐν τῇ περὶ Οὐρανοῦ, τὸ αἴτιον τοῦ κυκλοφορητικοῦ σώματος πολλῷ μᾶλλον ἔσται ἀΐδιον. ἢ τὸ "ταῦτα γὰρ αἴτια τοῖς φ. τ. θ." τὸ "ταῦτα" ἀντὶ τοῦ τοῦτο εἴρηται, καὶ εἴη ἂν λέγων, ἐπειδὴ καὶ ἐν τοῖς αἰθητοῖς εἰσὶ θεῖα (τὸ γὰρ κυκλοφορητικὸν πᾶν σῶμα αἴτιόν ἐστι),

τὸ πρῶτον αἴτιον τῶν τοιούτων αἰθητῶν καὶ θείων, ἴσον λέγων, ὅτι εἰ καί τισι τῶν νοητῶν καὶ θείων αἴτιον ἡ τὸ πρῶτον καὶ ἀκίνητον αἴτιον, ἄδηλον· τέως δ' ὅν ὅτι τοῖς αἰθητοῖς καὶ θείοις καὶ κυκλοφορητικοῖς σώμασιν αἴτιόν ἐστι, δῆλον τυγχάνει. γράφει δὲ καὶ "ταῦτα γ. αἴτ. τ. φ. τῶν αἰθητῶν τυγχάνει·" καὶ εἴη ἂν ὃ λέγει τοιοῦτον, ὅτι ταῦτα τὰ ἀκίνητα καὶ χωριστὰ αἴτιά ἐστι τοῖς φανεροῖς τῶν αἰθητῶν, ἀντὶ τοῦ τοῖς φανεροῖς τῇ αἰθήσει αἰτίοις. αἴτιον γὰρ καὶ ἡ ὕλη καὶ τὸ εἶδος, ἀλλ' οὐκ εἰσὶ τῇ αἰθήσει φανερά· τὰ δὲ κυκλοφορητικὰ σώματα τῇ αἰθήσει εἰσὶ φανερά, ὅτι γενέσεώς εἰσι καὶ φθορᾶς αἴτια· βορειότερος γὰρ γινόμενος ὁ ἥλιος γενέσεώς ἐστιν αἴτιος, νοτιώτερος δὲ φθορᾶς. Alex.

123 15. ἀπορήσειε γὰρ ἄν τις πότερον ποθ' ἡ πρώτη φιλοσοφία καθόλου ἐστίν, ὥστε περιέχειν ἁπάσας καὶ ὑπ' αὐτὴν εἶναι ὡς τὰ κατ' μέρος ὑπὸ τὰ καθόλου, ἢ οὐκ ἔστι καθόλου, ἀλλ' ὥσπερ ἡ ἰατρικὴ καὶ ἡ ἀστρονομία καὶ αἱ λοιπαὶ μέρος τι τοῦ ὄντος καὶ φύσιν τινὰ μίαν ἀποτεμνόμεναι τοῦτο θεωροῦσιν, οὕτως καὶ αὕτη. ὥσπερ γὰρ καὶ ἐν τοῖς μαθηματικοῖς τοῦτο εὑρίσκεται, καὶ ἡ μὲν γεωμετρία περὶ μεγέθη, ἡ δὲ ἀστρονομία περὶ ἀστέρας, ἄλλη δὲ περὶ ἄλλο, ἡ δὲ ἁπλῶς μαθηματικὴ κοινή ἐστι πασῶν, οὕτως τί κωλύει καὶ τὴν φυσικὴν μὲν περί τι τοῦ ὄντος εἶναι καὶ τὴν μαθηματικὴν περὶ ἄλλο, καὶ τὴν θεολογικὴν εἶναι κοινὴν ἁπασῶν; id.

ὅτε γὰρ ἐν ταῖς μαθηματικαῖς ἐπιστήμαις ὁ αὐτὸς τρόπος ἐστίν· ἡ μὲν γὰρ καθόλου μαθηματική, ἡ δὲ μερικὴ περὶ μίαν φύσιν, οἷον, ὡς φησιν αὐτός, γεωμετρία καὶ ἀστρολογία περί τινα φύσιν μερικὴν ὑπάρχει, ἡ μὲν περὶ μεγέθη ἡ δὲ περὶ ἄστρα, ἡ δὲ καθόλου κοινή ἐστι πασῶν, ὡς εἴρηται. Asclep.

123 21. καὶ ἡ περὶ ταύτην ἐπιστήμη ἔσται φιλοσοφία, καὶ πρώτη πάντων καὶ καθόλου ὡς πρὸς τὰς ἄλλας, οὐ περιέχουσα ἐκείνας ἀλλ' ὡς πρώτη. Alex.

124 13. οὐδὲ γὰρ εἰ ἔστι, φησίν, ἕτερον τὸ τρίγωνον καὶ τρίγωνον δύο ὀρθὰς ἔχον, σκοπεῖ. τοῦτο δὲ ἐλλιπῶς εἴρηται, δεῖ δὲ προσυπακούειν τὸ ξύλινον ἢ ἄλλο τι τοιοῦτον, ἵνα τὸ πᾶν ἢ τοιοῦτον· οὐδ' εἰ ἕτερόν ἐστι τὸ ξύλινον τρίγωνον καὶ ἕτερον αὐτὸ τὸ τρίγωνον καὶ ἡ φύσις αὐτοῦ, ἀντὶ τοῦ τὸ ἔχον τὰς τρεῖς δυσὶν ὀρθαῖς ἴσας, θεωρεῖ, ἀλλὰ

τοῦτο μόνον ζητεῖ, εἰ πάντες τριγώνου αἱ τρεῖς γωνίαι δυσὶν ὀρθαῖς ἴσαι εἰσίν· εἴτε δὲ ξύλινά εἰσιν εἴτε λίθινα, ὑδαμῶς θεωρεῖ. id.

ἐπειδὴ οὖν τὰ μὴ ἀεὶ καὶ ἐξ ἀνάγκης ἐστί, τὰ δὲ ἐξ ἀνάγκης 125 1.
μὴ οὐκ ἔστιν οὐδὲ ἀεί, ὡς ἐπὶ τὸ πολύ· οὔτε γὰρ ἐξ ἀνάγκης εἰσὶν οἱ
5 ἄνθρωποι πενταδάκτυλοι οὔτε ἀεί, ἀλλ' ὡς ἐπὶ τὸ πολύ· τοῦτο δὴ
ἀρχή ἐστι καὶ αἴτιον τοῦ εἶναι τὸ συμβεβηκός. id.

καὶ τῶν μὴ ἄλλων ἤτοι τῶν ὡς ἐπὶ τὸ πολὺ καὶ ἐξ ἀνάγκης εἰσὶν 125 14.
αἰτίαι καὶ δυνάμεις ποιητικαὶ ὡρισμέναι, τῶν δὲ κατὰ συμβεβηκὸς
γινομένων οὐδεμία τέχνη ἢ δύναμίς ἐστιν ὡρισμένη, ἀλλ' αἴτια
10 μυρία ἂν εἴη. Asclep.

ἀλλὰ τὸ αἴτιον τοῦ εἶναι τὸ συμβεβηκὸς ἡ ἡ ὕλη ἡ ἐνδεχομένη 125 23.
ἄλλως ἔχειν παρὰ τὸ ὡς ἐπὶ τὸ πολύ. Alex.

εἰπὼν δὲ τί ποτέ ἐστι τὸ συμβεβηκός, δίδωσιν ἡμῖν μέθοδον 125 24.
ἣ κανόνα, πῶς ἂν ἀποδεικνύοιμεν ὅ τι ποτέ ἐστι τὸ συμβεβηκός.
15 καί φησιν ὅτι εἰ μέλλοι τις δεικνύναι ὅτι ἔστι τὸ συμβεβηκός, ὡς
ἀρχὴν λαμβανέτω τὸ εἶναί τι παρὰ τὸ ἀεὶ καὶ ὡς ἐπὶ τὸ πολύ. τοῦτο
δὲ λάβοι ἄν, εἴπερ ἐρωτᾷ τὸν προσδιαλεγόμενον, ἆρά γε ἔστι τι
παρὰ τὰ ὡς ἐπὶ τὸ πολὺ καὶ ἀεί, ἢ οὔ; ἐκεῖνος δὲ ὑπὸ τῆς ἐναργείας
πειθόμενος πάντως δώσει τὸ εἶναί τι παρὰ ταῦτα· τοῦτο δέ ἐστι τὸ
20 ὁπότερον ἔτυχεν ἤτοι τὸ συμβεβηκός. τοῦτο εἰπὼν ἐρωτᾷ πότε-
ρον τὸ μὴ ὡς ἐπὶ τὸ πολύ ἐστιν ἐν τοῖς οὖσι, τὸ δὲ ἀεὶ καὶ ἐξ ἀνάγκης
οὐκ ἔστιν, ἢ ἔστιν ἄττα ἀΐδια, ὥσπερ καὶ ἐπὶ τὸ πολύ; καὶ ἐρωτήσας
ἀποκρίνε(ται) ὅτι περὶ τούτων ὕστερον ἔσται ἐπισκέψασθαι· καὶ ἐρεῖ ἐν
τῷ Κ μὴ ἀμυδρότερον τήσδε τῆς πραγματείας, τελείως δὲ ἐν
25 τῷ Δ. id.

φησὶν ὅτι δεῖ ἡμᾶς λαβεῖν τοιαύτην ἀρχήν. ἆρά γε οὐκ ἔστιν 125 25.
ἐν τῇ φύσει τῶν ὄντων οὔτε τὸ ἀεὶ οὔτε τὸ ὡς ἐπὶ τὸ πολύ, ἢ τοῦτο
ἀδύνατον τῆς ἐναργείας ὑπαγορευούσης ὅτι ἀεί ἐστιν ὁ θεὸς ἀγαθὸς
καὶ ὅτι ὡς ἐπὶ τὸ πολὺ ὑγιάζει ὁ ἰατρός. εἰ οὖν ἔστι τὸ ὡς ἐπὶ τὸ
30 πολύ, τοῦτο δὲ μόνον τὸ κατὰ συμβεβηκὸς ποιεῖ, ἔστιν ἄρα καὶ τὸ
συμβεβηκὸς ἐν τοῖς οὖσι. πότερον οὖν, φησί, τὸ ὡς ἐπὶ τὸ πολύ,
τὸ δὲ ἀΐδιον οὐδὲν ὑπάρχει, ἢ ἔστι καί τινα ἀΐδια; καὶ ἀναβάλλε(ται)
τὴν τούτων θεωρίαν εἰς τὴν Φυσικὴν Ἀκρόασιν· ἐν ἐκείνοις γὰρ
ἀποδείκνυ(σι), φησίν, ὅτι ἔστιν ἡ ὕλη ἀΐδιος. Asclep.

126 5. τὸ δὲ παρὰ τὸ ὡς ἐπὶ τὸ πολὺ οὐχ ἕξει διδάξαι, ὅτι τῇ νυμηνίᾳ φέρε ἔςαι ὠφέλιμον· τοῦτο γὰρ ἐπ' ἔλαττον γίνεται. οὐ γὰρ ὡς ἐπὶ τὸ πολὺ ὠφελεῖται ὁ ἐν τῇ νυμηνίᾳ τὸ μελίκρατον πίνων· διὰ δὲ τὸ ὡς ἐπὶ τὸ πολὺ ὠφελεῖται συμβαίνει εἶναι καὶ ἐν τῇ νυμηνίᾳ ὠφέλιμον, ὥςε καὶ ἔμπαλιν τὸ ἐν τῇ νυμηνίᾳ ὠφέλιμον ἢ ἀεί ἐςιν ὠφέλιμον ἢ ὡς ἐπὶ τὸ πολύ. Alex.

τὸ δὲ παρὰ τοῦτο οὐχ ἕξει λέγειν ὁ ἰατρός, πότε οὐκ ὠφελεῖ, οἷον νυμηνίᾳ· τοῦτο γὰρ ἀόριςόν ἐςι καὶ ἀναίτιον· ὅτε γὰρ ὁ λόγος τοῦτο δείκνυσιν, ἀλλὰ τὴν ὕλην πλείονα γενομένην κτλ. Asclep.

126 6. γρ. "ἢ γὰρ ἀεί·" διότι γὰρ ἀεὶ καὶ ὡς ἐπὶ τὸ πολὺ ὠφέλιμον τὸ μελίκρατον, διὰ τοῦτο καὶ ἐν τῇ νυμηνίᾳ. cod. Reg.

126 12. πάντα δέ, φησίν, ἐξ ἀνάγκης ἔςαι, εἰ τοῦ γινομένου καὶ φθειρομένου μὴ κατὰ συμβεβηκὸς αἴτιόν τι ἀνάγκη εἶναι. δεῖ δὲ προσυπακούειν τὸ παντός, ἵνα ᾖ, εἰ παντὸς τοῦ γιγνομένου καὶ τοῦ φθειρομένου μὴ κατὰ συμβεβηκὸς αἴτιόν τι ἀνάγκη εἶναι. Alex.

126 15. εἰπὼν οὖν ὅτι "ἐάν γε τοδὶ γένηται· εἰ δὲ μή, ἄλλο," ἐπήγαγε "καὶ οὕτω δῆλον" κτλ. id.

126 22. ὁμοίως δὲ κἂν ἀπὸ τῶν παρεληλυθότων ἄρξηταί τις καὶ πρὸς τὰ μέλλοντα καταντήσῃ, ἀλλὰ μὴ ἀπὸ τῶν μελλόντων, ὥσπερ καὶ πρότερον, ἐπὶ τὸν ἐνεςῶτα, τὸ αὐτὸ γενήσεται. id.

126 24. ἀλλὰ τί ποτε ἔςι τὸ ἤδη γὰρ γεγονὸς ὑπάρχει ἔν τινι; ἢ τὰ ςοιχεῖα εἶναι ἐν τῷ ζῶντι· ἐπειδὴ γὰρ ἤδη ζῇ, ὑπάρχει ἐν αὐτῷ τὰ ςοιχεῖα. ὧδε οὖν ζῇ, ὅτι τὰ ἐναντία πῦρ καὶ γῆ καὶ τὰ μεταξὺ ἐν αὐτῷ γέγονεν· καὶ εἰ τοῦτο, ἀποθανεῖται. ἐξ ἀνάγκης ἄρα τὸ ἐξ ἐναντίων γεγονὸς ἀποθανεῖται. id.

εἶτα λοιπὸν ζητεῖν εἰς ποίαν ἀρχὴν τῶν τεσσάρων δεῖ ἡμᾶς τάξαι τὰ κατὰ συμβεβηκὸς αἴτια, καί φησιν ὅτι οὐ δυνατὸν εἰς τὴν εἰδικήν· ἡ γὰρ εἰδικὴ ἀρχὴ ὡρισμένη καὶ μεμετρημένη, τὰ δὲ κατὰ συμβεβηκὸς αἴτια ἀόριςα ὑπάρχουσιν. ἀλλ' οὐδὲ εἰς τὴν τελικήν· τὸ γὰρ τέλος ὡρισμένον τὸ κυρίως, καὶ παντες αὐτοῦ ςοχαζόμενοι παραλαμβάνουσι τὰ εἰς αὐτὸ ἄγοντα. ὅτι δὲ οὐδ' εἰς τὸ ὑλικόν, ἐδείξαμεν διὰ τῶν προλαβόντων, ὅτι παρέπονται καὶ παρακολουθοῦσι τὰ κατὰ συμβεβηκὸς τοῖς καθ' αὑτό. εἰ οὖν ὑποθώμεθα τὸ ὑλικὸν αἴτιον εἶναι τῶν κατὰ συμβεβηκός, ἐπειδὴ ἐν τοῖς καθ' αὑτὸ θεω-

ρεῖ), ἔςαι καὶ ἡ ὕλη τῶν καθ' αὐτό, ὅπερ ἀδύνατον. ὥςε δηλονότι ὑπὸ τὸ ποιητικὸν αἴτιον αὐτὰ τακτέον. καὶ ἐπὶ μὲν τῶν φυσικῶν τὸ αὐτόματον, ἐπὶ δὲ τῶν πρακτῶν τὴν προαίρεσιν, ἀλλ' οὐ πᾶσαν προαίρεσιν· οἷον ἡ προαίρεσις ἐκίνησεν εἰς τὸ λύσαι καὶ
5 συνέβη ἀπαντῆσαί τινι ὀφείλοντι, καὶ πάλιν ἡ φύσις ἤγαγε τὸν λίθον ἄνωθεν κάτω καὶ ἐκ ταυτομάτου γέγονεν ἐπιτήδειος εἰς καθέδραν... καὶ ἐρεῖ ἐν ἄλλοις ὅτι εἰς τὴν ποιητικὴν (ἀρχὴν δεῖ αὐτὰ ἀγαγεῖν). Asclep.

ἐπειδὴ ὧν περὶ σύνθεσιν καὶ διαίρεσίν ἐςι τὸ ὡς ἀληθῶς ὂν καὶ τὸ 127 5.
10 ὡς ψεῦδος μὴ ὄν, τὸ σύνολόν ἐςι περὶ μερισμὸν ἀντιφάσεως, τουτέςιν ὡς ἁπλῶς εἰπεῖν τὸ ὡς ἀληθὲς ὂν ἔχει τὴν κατάφασιν ἐπὶ τῷ συγκειμένῳ, ἤτοι τὸ ἀληθὲς ὂν συνίςαι, ὅταν τὸ κατηγορούμενον ἀληθῶς συνθῶμεν, καθ' οὗ κατηγορεῖ· τὸ δὲ ὡς ψεῦδος μὴ ὄν ἐςιν, ὅταν ψευδῶς ἀπὸ τοῦ ὑποκειμένου διαιρῶμεν, καὶ ὅλως
15 τὸ ψεῦδος τούτου τοῦ μερισμοῦ τὴν ἀντίφασιν εἰσάγει, τουτέςι θάτερον μόριον τῆς ἀντιφάσεώς ἐςιν. ἀλλὰ τὸ μὲν ὡς ἀληθῶς ὂν ἐςίν, ὅταν ἀληθῶς συνάπτωμεν τὸ κατηγορούμενον τῷ ὑποκειμένῳ, τὸ δὲ ψεῦδος τοὐναντίον. εἰ δ' ἔςιν ἄττα ἅπερ χωρὶς λεγόμενα δύναται καὶ ἅμα νοεῖται, ὡς τὸ ζῷον καὶ τὸ πεζὸν καὶ τὸ δίπουν (ταῦτα γὰρ
20 καὶ χωρὶς λεγόμενα δύναται καὶ ὡς ἓν νοεῖται), περὶ τούτου, φησίν, "ἄλλος λόγος·" ἐρεῖ γὰρ ἐν τῷ μετὰ τοῦτο βιβλίῳ. Alex.

τουτέςιν ἅμα μὲν λέγω μὴ τὰ ἐφεξῆς, ὥσπερ δὴ ἡ Ἰλιάς, 127 12.
ἐφεξῆς γὰρ τῷ α' τὸ β' καὶ τὰ λοιπὰ ὁμοίως. μὴ ἅμα δὴ τὰ μὴ ἐφεξῆς· ἀλλὰ τὰ μὲν δυνάμενα ἓν γίνεται λέγω ἅμα, τὰ δὲ μὴ
25 δυνάμενα μὴ ἅμα. id.

τῷ μὲν ἀγαθὸν εἰπεῖν, εὐθὺς ἔδει λέγειν ἀληθές, καὶ ἢν ἂν τὸ 127 15.
ἀγαθὸν ἀληθές· τῷ δὲ κακὸν ψεῦδος· καὶ ἔμπαλιν, τῷ μὲν κακὸν εἰπεῖν, εὐθὺς ἀληθὲς ἔδει λέγειν, τῷ δὲ ἀγαθόν, ψεῦδος. ἀλλὰ μὴν οὔτε ἀγαθὸν εἰπόντες ἀληθὲς λέγομεν ἢ ψεῦδος, οὔτε κακόν.
30 οὐκ ἄρα ἐν τοῖς πράγμασι τὸ ἀληθὲς καὶ τὸ ψεῦδος ἐςίν, ἀλλ' ἐν τῇ διανοίᾳ. id.

τὸ ὡς ἀληθές, τὸ παρὰ σύνθεσιν καὶ διαίρεσιν ἕτερον ὄν ἐςι 127 20.
τῶν κυρίως ὄντων, κυρίως ὄντα λέγων τὰς ἀτόμους οὐσίας, ὡς ἐν τῷ μετὰ τοῦτο βιβλίῳ ἐρεῖ· περὶ γὰρ τῶν νοητῶν ἄλλος λόγος. εἶτα

καὶ πῶς ἕτερόν ἐςι τὸ ὡς ἀληθὲς ὂν τῶν κυρίως ὄντων λέγει. ἢ γάρ, φησίν, ἡ διάνοια τὸ τί ἐςι καὶ οὐσίαν μὴ οὐσίας συνάπτει ἢ διαιρεῖ, ἢ πάλιν ποιὸν μὴ οὐσίας κτλ. id.

127 29. τοῦτο (τὸ βιβλίον) δοκεῖ ἀτελὲς εἶναι. cod. Reg.

123 19. ἀλλ' εἴπερ τὸ βαδίζον καὶ τὸ καθήμενον ἔςι τόδε γάρ τι καὶ οὐσία ἐςί, καὶ ἔςιν ὡρισμένον ὑποκείμενον τῇ ὑγείᾳ καὶ τῇ βαδίσει ἡ οὐσία, τὸ δὲ βαδίζειν ἢ ὑγιαίνειν οὐκ εἰσὶν ὄντα. Alex.

128 29. εἰπὼν ὅτι ἡ οὐσία ἐςὶ τὸ πρῶτον ὂν καὶ τὸ κυρίως ὄν, ἐπειδὴ τὸ πρῶτον λέγεται πολλαχῶς, ὡς εἴρηται πρότερον (λέγεται γὰρ πρῶτον καὶ τῇ γνώσει καὶ τῷ λόγῳ καὶ τῷ χρόνῳ), δείκνυσιν ὅτι κατὰ τὰς τρεῖς τούσδε τρόπους ἐςὶ πρώτη τῶν ἄλλων ἡ οὐσία. id.

εἶτα λοιπὸν δείκνυσιν ὅτι κατὰ πάντα τὰ σημαινόμενα τοῦ προτέρου κρείττων ἐςὶν ἡ οὐσία τῶν συμβεβηκότων, φύσει, χρόνῳ, λόγῳ, γνώσει, φύσει μὲν ὅτι συναναιρεῖ καὶ οὐ συναναιρεῖται. . . πρώτη οὖν πάντων ἐςὶν ἡ οὐσία καὶ φύσει καὶ χρόνῳ καὶ γνώσει. Asclep.

129 13. οὐχ ὡς ἐνδοιάζων τὸ "δοκεῖ" εἶπεν, ἀλλ' ὡς ἀποφαινόμενος. ἢ τὸ "δοκεῖ" εἶπεν, ὅτι δείξει τοῦτο διὰ πάνυ πολλῶν. ὡς μήπω δὴ δεδειχὼς τοῦτο εἴρηκεν. ὅμως πρὸς τὰ ἐπαγόμενα συμφώνως ἐςὶ μάλιςα ἡ προτέρα ἐπιβολή. Alex.

129 18. τὸ δὲ "ἢ μορίων ἢ πάντων," ὅτι ἐκ μὲν τῶν μορίων τῶν ἁπλῶν σωμάτων ἔςι τὰ ζῷα, ἐκ πάντων δὲ τῶν σωμάτων ἔςιν ὁ οὐρανὸς καὶ τὰ μόρια αὐτοῦ, ἄςρα καὶ σελήνη. τοῦτο δ' ἐλλιπῶς εἴρηται καὶ ἀσαφῶς· δοκεῖ γὰρ λέγειν ὅτι καὶ ὁ οὐρανὸς καὶ οἱ ἀςέρες ἐκ τῶν τεσσάρων ςοιχείων ἔςιν· οὐ τοῦτο δέ φησιν. id.

"ἢ μορίων ἢ πάντων·" καὶ μορίων μὲν λέγει τὰ ζῷα· ἐκ γὰρ τῶν μορίων τῶν ςοιχείων συνεςήκασιν· ἐκ πάντων δὲ τὸν πάντα κόσμον. . . καὶ σημειωτέον ὅτι ἐνταῦθα ἐκ τῶν τεσσάρων ςοιχείων φησὶν εἶναι τὸν οὐρανόν. Asclep.

129 20. φησὶν ὅτι δεῖ ἡμᾶς ζητῆσαι πότερον αὐταὶ καὶ μόναι οὐσίαι ὑπάρχουσιν αἰσθητικαὶ ἢ καὶ ἄλλαι, τουτέςιν ἀσώματοι· ἢ τούτων τῶν ἀσωμάτων τινὲς ἢ καὶ ἄλλων, τουτέςι τῶν αἰσθητῶν τινές, καὶ οὐ πᾶσαι· ἢ αὐταὶ μὲν οὐκ εἰσὶν οὐσίαι, οὔτε αἱ νοηταὶ οὔτε αἱ αἰσθηταί, ἀλλὰ ἄλλαι. φησὶν οὖν ὅτι τοῖς μὲν Πυθαγορείοις δοκοῦσιν εἶναι

ὑσίαι τὰ τῦ σώματος πέρατα, οἷον ἐπιφάνεια, γραμμή, ςιγμὴ καὶ μονάς. δῆλον δέ, φησίν, ὅτι ταῦτα συμβολικῶς ἔλεγον ἐκεῖνοι· τὴν μὲν ςιγμὴν ἐλάμβανον ἀναλόγως τῷ νῷ διὰ τὸ ἀμερές, τὴν δὲ γραμμὴν τῇ ψυχῇ διὰ τὸ ἔχειν τὸ πόθεν ποῖ, τυτέςιν ἀπὸ
5 προτάσεων ἐπὶ συμπεράσματα, τὴν δὲ ἐπιφάνειαν τῇ φύσει, τὰ δὲ σώματα τοῖς ςερεοῖς, διὰ τὸ πλάτος καὶ μῆκος καὶ βάθος. id.

τινὲς δὲ τὰ αἰθητὰ μᾶλλον ὑσίας λέγοντες ὐδὲν οἷον εἶναι 129 25.
παρὰ τὰ αἰθητά, ὥσπερ Ἵππων μὲν πρότερον ὁ ἄθεος ἐπικληθεὶς (ὐθὲν γὰρ ὕτος παρὰ τὰ αἰθητὰ εἶναι ἀπεφήνατο), ὕςερον οἱ περὶ
10 Ἐπίκυρον. Alex.

Σπεύσιππος δὲ ὁ τύτυ μαθητὴς καὶ πλείω τῶν τριῶν ἔλε- 129 28.
γεν εἶναι τὰς ὑσίας τὰς νοητάς, πρώτην μὲν τὸ αὐτοέν, ἄλλην δὲ τὴν τῶν ἀριθμῶν ἀρχήν, ἄλλην τὴν τῶν μεγεθῶν, καὶ ἄλλην τὴν τῆς ψυχῆς. καὶ ὕτως ἐπεκτείνει εἰς πλῆθος τὰ γένη τῶν
15 ὑσιῶν. id.

Σπεύσιππος δὲ καὶ πλείυς ὑσίας ὑποτίθεται ἀπὸ τῦ ἑνὸς ἀρξάμενος καὶ ἀρχὰς καὶ ὑσίας· ἄλλην μὲν ὑσίαν λέγει εἶναι τῶν ἀριθμῶν καὶ ἄλλην τῶν μεγέθων, καὶ ἄλλην ψυχῆς, καὶ τύτων ἐπεκτείνει τὰς ὑσίας... ὁμοίως δὲ καὶ οἱ περὶ Σπεύσιππον καὶ Ξενοκράτην· καὶ ὁ
20 μὲν Σπεύσιππος πολλὰς ἔλεγεν εἶναι ὑσίας· ἄλλην μὲν ὑσίαν ἔλεγεν εἶναι μεγεθῶν καὶ ἄλλην ἀριθμῶν καὶ ἐπὶ πάντων τῶν ὁμοίων, καὶ πάλιν ἄλλην ὑσίαν νῦ, καὶ ἄλλην ψυχῆς, καὶ ἄλλην σημείυ, καὶ ἄλλην γραμμῆς καὶ ἄλλην ἐπιφανείας. Asclep.

ἔνιοι δὲ ὐκ ἄλλην μὲν ἀρχὴν τῶν ἀριθμῶν ἄλλην δὲ τῶν 130 3.
25 μεγεθῶν ἔλεγον, ὐδ' ἄλλης μὲν φύσεως τὺς ἀριθμὺς ἄλλης δὲ τὰ μεγέθη, ἀλλὰ τῆς αὐτῆς τε ἀρχῆς καὶ τῆς αὐτῆς φύσεως· τὰ δὲ ἄλλα, οἷον ἐπίπεδα, γραμμάς, ὐρανὸν καὶ ἁπλῶς τὰ αἰθητὰ ἐχόμενα τοῖς ἀριθμοῖς ἔλεγον· τὸ μὲν γὰρ αὐτομέγεθος καὶ τὸν αὐτοάριθμον πρώτας ὑσίας φάσκοντες καὶ τῆς αὐτῆς φύσεως, τὰς δὲ
30 γραμμὰς καὶ τὰ ἐπίπεδα καὶ τὸν ὐρανὸν καὶ ὅλως τὰ αἰθητὰ δευτέρας, εἴτε δὴ καὶ ταῦτα τῆς αὐτῆς φύσεως ἔλεγον εἴτε μή, ὐκ ἐδήλωσαν. Alex.

"ἔνιοι δὲ τὰ μὲν εἴδη καὶ τὺς ἀριθμύς·" ἐντεῦθεν εἰς τὸν Ξενοκράτην ἀποτείνει, καί φησιν ὅτι τὰ εἴδη τῶν πραγμάτων τοῖς

ἀριθμοῖς προσηγόρευσαν, ἐπειδὴ ὥσπερ οἱ ἀριθμοὶ περιοριςικοί εἰσιν ὧν εἰσὶν ἀριθμοί, ὕτω δὴ ϗ τὰ εἴδη περιοριςικὰ τῆς ὕλης ὑπάρχυσιν. εἶτα μ̄ τὰς ἰδέας δευτέρας ὑσίας ὑποτίθε̄ τὰς διανοητικάς, τυτέςι τὰ μαθήματα γραμμὰς ϗ ἐπίπεδα, τελευταῖα δὲ τὰ φυσικά. Asclep. 5

130 15. λέγει "καθόλυ" ἢ τὰς ἰδέας, ὃ ϗ μᾶλλον οἶμαι, ἢ τὸ παρὰ τὰ πολλὰ ὡς τὰ πολλά, λέγω δὴ τὸ ἐκ τῆς ἀφαιρέσεως τῶν καθ' ἕκαςα ἀποσυληθέν. ἄλλυ δὲ πάλιν ὑσία λέγε̄ τὸ ἑκάςυ γένος. id.

130 24. διὸ εἰ πρότερον τὸ εἶδος τῆς ὕλης ϗ μᾶλλον ὄν, ϗ τὸ ἐκ τῦ εἴδυς ϗ τῆς ὕλης πρότερόν ἐςι τῆς ὕλης. πρότερον δὲ τὸ εἶδος τῆς ὕλης τῇ φύσει, ἀλλὰ μὴν ϗ τῷ χρόνῳ· δειχθήσε̄ γάρ τι εἶδος ὄν, ὁ πολυτίμητος φημὶ νῦς, ἡ αὐτοαγαθότης, ὁ θέος, πρότερον πάντων τῷ χρόνῳ, ὅτι ποιητὴς ϗ ὅτι παροχεύς. Alex. 10

ὥςε εἰ τὸ εἶδος τῆς ὕλης πρότερον ὡς τελειῦν, τὸ δὲ τελειῦν τῦ τελειυμένυ πρότερον τῇ φύσει ὑπάρχει, ϗ τῦ συνθέτυ αὐτῦ πρότερόν ἐςι τὸ εἶδος. id. 15

131 3. τὰ μ̄ ᾗ ἄλλα τῶν σωμάτων πάθη, τυτέςι μεταβολαὶ ϗ ποιήματα, ἐνέργειαι ὑπάρχυσι ϗ δυνάμεις. Asclep.

131 11. τυτέςιν ἥτις αὐτὴ καθ' αὐτὴν θεωρυμένη κ̄ ἀπόφασιν ϗ ἀπογύμνωσιν τῶν εἰδῶν ὐδὲν τῶν δέκα κατηγοριῶν ἐςίν, ἐν αἷς πᾶν ὃν ὁρίζε̄· πᾶν ᾗ ὂν εἰς ταύτας ἀνάγε̄ ϗ ἐν ταύταις ἔςιν. ἀλλὰ μήν, φησίν, ὐδὲ τὴν τῶν ποσοτήτων ἢ ποιοτήτων ἀπόφασιν, οἷον τὸ μὴ ποσόν, τὸ μὴ ποιόν, ἢ ἄλλην ἡντιναῦν χρὴ λέγειν ὑσίαν· κ̄ συμβεβηκὸς ᾗ ὄντα εἰσὶν αἱ ἀποφάσεις, ἀλλ' ὐ καθ' αὐτό· τὸ δὲ κ̄ συμβεβηκὸς ὐκ ὑσία. ἐκ μ̄ ὖν τύτων θεωρῦσι συμβαίνει ὑσίαν εἶναι τὴν ὕλην. Alex. 20 25

131 14. "ᾧ τὸ εἶναι ἕτερον·" τὸ ᾗ ὑποκείμενον τύτων ἕτερόν ἐςι κ̄ τὸν ὁρισμόν, τυτέςιν ἡ ὕλη. Asclep.

131 17. ὥςε τὸ ἔχατον καθ' αὐτὸ ὐδεμία ἐςὶ τῶν κατηγοριῶν, ὅτε δὲ αἱ ςερήσεις ταὐτόν εἰσι τῇ ὕλῃ, εἴγε ἡ μ̄ ὐχ ὑπομένει ἐπιὸν τὸ εἶδος, ἡ δὲ ὕλη ὑπομένει, ἡ δὲ ςέρησις ὐχ ὑπομένει, ὡς εἴρη̄, ὕπαρξιν ἔχυσα κ̄ συμβεβηκός. id. 30

κυρίως γὰρ οὐσία ἐστὶ τὸ χωριστόν, τουτέστι τὸ καθ' αὑτὸ ὑπάρχον 131 20.
καὶ τόδε τι, τουτέστι τὸ ἐνεργείᾳ, καθάπερ εἰρήκαμεν. διὸ τὸ εἶδος τὸ χωριστόν, τουτέστι τὸ νοητόν, δόξειεν ἂν εἶναι οὐσία... ὑστέρα γάρ ἐστι καὶ δήλη (ἡ ὕλη) ὡς αἰσθητή. φανερὰ δέ πως καὶ ἡ ὕλη
5 ἐξ ἀναλογίας. id.

ἀλλὰ καὶ τὴν ὕλην παραλείπει· καὶ αὕτη γὰρ φανερά πως· τῇ 131 25.
γὰρ ἀναλογίᾳ ἐστὶ φανερά· καὶ ὅτι ἄνευ εἴδους οὐδέποτέ ἐστι, καὶ τοῦτο δῆλον. κατὰ τί δὲ ἀφανής, κατὰ τὸ νόησιν· νόθῳ γὰρ λογισμῷ ληπτή· κατὰ ἀπόφασιν γὰρ νοεῖται καὶ ἀπογύμνωσιν τῶν εἰδῶν, ἀλλ' οὐ κατὰ ἅπερ
10 εἰσίν, ὡς τὰ εἴδη. ἀλλὰ ταῦτα μὲν ἀφετέον, περὶ δὲ τῆς τρίτης, τουτέστι τοῦ εἴδους, σκεπτέον (αὕτη γὰρ ἀπορωτάτη) πότερόν ἐστιν αὐτὴ καθ' αὑτήν, ὥσπερ ὁ Πλάτων λέγει, ἢ οὔ. Alex.

βουλόμενος ἐπὶ τὴν τῶν εἰδῶν ἐξέτασιν χωρεῖν καὶ ζητεῖν εἰ 131 29.
ἐνδέχεται χωριστὰ εἶναι καὶ καθ' αὑτὰ χωρὶς ὕλης ἢ μή, λέγει ὅτι
15 θεωρητέον πρῶτον τὰ ἔνυλα εἴδη καὶ γνώριμα ἡμῖν, ὅπως ἔχει. ἐκ τούτων γὰρ γνωσόμεθα καὶ περὶ ἐκείνων, εἴτε εἰσίν, ὡς ὁ Πλάτων λέγει, εἴτε οὐκ εἰσίν. id.

ὥσπερ γὰρ ἐν ταῖς πράξεσι σπουδάζουσιν οἱ νομοθέται, ἵνα ἐκ 132 2.
τῶν ἑκάστῳ ἀγαθῶν ἀπεργάζωνται τὰ ὅλως καὶ καθ' αὑτὰ ἀγαθὰ
20 πᾶσι τοῖς πολιταῖς ἀγαθά, οὕτως ἐκ τῶν ἑκάστῳ γνωρίμων τὰ τῇ φύσει μὲν γνώριμα, ἑκάστῳ δὲ ἄγνωστα σπεύδει ὁ διδάσκων ποιῆσαι αὐτῷ, λέγω δὴ τῷ ἀγνοοῦντι γνώριμα· ὁ γὰρ Σωσιγένης ἐκ τῶν Ἀλεξάνδρῳ γνωρίμων ἐποίησεν αὐτῷ γνώριμα τὰ τῇ φύσει γνώριμα. id.

25 ἀλλὰ πρὸ τῆς τῶν λεγομένων σαφηνείας τοιοῦτον καὶ τοσοῦτον 132 11.
διοριστέον, ὅτι ἄλλο μέν φησι τὸ τί ἦν εἶναι καὶ ἄλλο τὸν λόγον ἤτοι τὸν ὁρισμόν. τί ἦν εἶναι μὲν λέγει αὐτὸ τὸ πρᾶγμα καὶ τὴν φύσιν αὐτοῦ, συνημμένως καὶ συνεπτυγμένως καὶ ἅμα ὡς ἓν νουμένην... ὁρισμὸν δὲ λέγει τὴν κατὰ ἀνάπλωσιν καὶ ἀναρίθμησιν τῶν ἐξ ὧν
30 σύγκειται τὸ εἶδος μερῶν νόησιν. καὶ τούτῳ διαφέρει τὸ τί ἦν εἶναι τοῦ ὁρισμοῦ, ὅτι ἐκεῖνο μέν ἐστι νόησις συγκεχυμένη, καὶ ὥς φησιν ὡς ἓν τὸ πρᾶγμα θεωροῦσα, ὁ δὲ ὁρισμὸς ἀνάπτυξίς τις τοῦ πράγματος καὶ ὑπαρίθμησις τῶν αὐτοῦ μερῶν. id.

132 12. ὑ γάρ ἐςι τό σοι εἶναι τὲ μυσικῷ εἶναι, τυτέςι λέγε) ὁ Σωκράτης μυσικός, ἀλλ' ὑκ ἔςι τὲ Σωκράτει εἶναι τὲ μυσικῷ εἶναι· ὑδ' ἔςιν ἡ φύσις αὐτῦ τὲ μυσικῷ εἶναι· ὑ γὰ καθ' αὐτό ἐςι μυσικός, ὑδὲ τὲ τί ἦν εἶναι τῦ Σωκράτυς κ̀ τῶν κ̀ μέρος ἀνθρώπων. εἰπὼν δὲ τῦτο... ἐπήγαγε τὲ "ὑδὲ δὴ τῦτο πᾶν." id. 5

132 14. τυτέςιν ὑκ ἀκριβῶς· εἶπε γὰ ὑκ ἀκριβῶς, ἐπειδὴ δείκνυσιν ὅτι μόνων τῶν ὑσιῶν ὑπάρχυσιν ὁρισμοί, κ̀ ὕςερον ἀποδείκνυσιν ἀληθῶς ὅτι κ̀ τῶν συμβεβηκότων ὑπάρχυσιν ὁρισμοί. ἢ "λογικῶς" εἶπεν, ἐπειδὴ ἐκ τῦ ὑςέρυ τὲ πρότερον βύλε) κατασκευάσαι, τυτέςιν ἐκ τῦ ὁρισμῦ τὲ εἶδος· πρότερον γάρ ἐςι τὲ εἶδος τῦ 10 ὁρισμῦ. Asclep.

132 15. ὑκ ἔςιν ὖν τὲ λευκὸν τῇ ἐπιφανείᾳ καθ' αὐτὲ ὡς τὲ τί ἦν εἶναι τοῖς μέρεσιν αὐτῦ, διότι τὲ μ̀ Σωκράτει εἶναι τὲ ἀνθρώπῳ εἶναί ἐςιν, ἀνθρώπῳ εἶναι λέγων κ̀ τὴν ὁοτικὴν πτῶσιν τὲ τί ἦν εἶναι τὲ ὑπὸ τῦ ἄνθρωπος ὀνόματος δηλύμενον· τὲ δ' ἐπιφανείᾳ εἶναι ὑκ 15 ἔςι τὲ λευκῷ εἶναι· ἄλλη γὰ φύσις ἐπιφανείας κ̀ ἄλλη λευκῦ. Σωκράτυς δὲ κ̀ τῦ τί ἦν εἶναι τῦ ὑπὸ τῦ ἄνθρωπος ὀνόματος δηλυμένυ ὑκ ἄλλη ἀλλ' ἡ αὐτή. ἀλλὰ μὴν ὑδὲ τὲ ἐπιφανείᾳ εἶναι ἔςι τὲ ἐπιφανείᾳ εἶναι λευκῇ· ὑ γάρ ἐςι ταὐτὸν τὲ ἐπιφανείᾳ εἶναι τῦ ἐπιφανείᾳ λευκῇ. κ̀ τῦ πῶς ὑ ταὐτὸν ἀλλ' ἕτερόν ἐςι τὲ ἐπι- 20 φανείᾳ εἶναι τῦ λευκῇ ἐπιφανείᾳ, πάνυ συντόμως κ̀ διὰ τῦτο ἀσαφῶς τὴν αἰτίαν ἐπήγαγε εἰπὼν "ὅτι πρόσεςιν αὐτό," αὐτὲ λέγων τὲ ὁριςὸν ἤτοι τὴν ἐπιφάνειαν· ὑκ ἔςιν ὖν τὲ ἐπιφανείᾳ εἶναι, ὅπερ τὲ ἐπιφανείᾳ λευκῇ, ὅτι ἐν τῷ ὁρισμῷ τῆς λευκῆς ἐπιφανείας λαμβάνε) ἡ ἐπιφάνεια· τὲν μ̀ γὰ Σωκράτην ταὐτόν φαμεν 25 εἶναι τῷ ἀνθρώπῳ, ὅτι ὅταν ὁριζώμεθα τὲν ἄνθρωπον, ὑ λαμβάνομεν εἰς τὲν τῦ ἀνθρώπυ ὁρισμὸν τὲν ἄνθρωπον· ὑ γὰ ὁριζόμενοι τὲν ἄνθρωπον φαμ̀ ὅτι ἄνθρωπός ἐςιν ἄνθρωπος ζῷον πεζὸν δίπυν. τὴν δὲ λευκὴν ἐπιφάνειαν ὁριζόμενοι λαμβάνομεν εἰς τὲν ὁρισμὸν αὐτῆς αὐτὴν τὴν ἐπιφάνειαν· λέγομεν γὰ ὅτι λευκὴ ἐπιφάνεια 30 ἔχυσα χρῶμα διακριτικὸν ὄψεως· ὥςε εἴληπ) ἐν τῷ ὁρισμῷ τῆς λευκῆς ἐπιφανείας ἡ ἐπιφάνεια. εἰ δὴ τὲν Σωκράτην φαμ̀ ὅπερ τὲν ἄνθρωπον, ὅτι ἐν τῷ ὁρισμῷ τῦ ἀνθρώπυ ὑ λαμβάνε) ὁ ἄνθρωπος, δῆλον ὡς ἐπειδὴ ἐν τῷ ὁρισμῷ τῆς λευκῆς ἐπιφανείας

λαμβάνει ἡ ἐπιφάνεια, οὐκ ἔςιν ἡ ἐπιφάνεια ὅπερ ἡ λευκὴ ἐπιφάνεια... φέρει δὲ καὶ ἄλλη γραφὴ ἔχουσα οὕτως "καὶ διὰ τί; ὅτι πρόσεςιν αὕτη." καὶ ἔςιν αὕτη σαφεςέρα ἡ γραφή. Alex.

οἷον ὁ Σωκράτης ἐν τῷ ἀνθρώπῳ ἔχει τὸ εἶναι, οὐκ ἐν τῷ μου- 132 16.
σικῷ· οὐ γὰρ κατ' ταὐτὸν ὑπῆρχε μουσικός, τουτέςι καθ' αὑτὸν ἄλλος ἄνθρωπος ὑπάρχει καθ' αὑτό. καὶ οὐκ ἀρκεῖ μόνον τὸ καθ' αὑτὸ εἶναι εἰς ὁρισμόν. οὐ γὰρ τὸ οὕτως καθ' αὑτό, ὥσπερ τῇ ἐπιφανείᾳ ὑπάρχει τὸ λευκόν· οὐκ ἔςι γὰρ τὸ ἐπιφανείᾳ εἶναι τὸ λευκῷ εἶναι· οὐ γὰρ πᾶν λευκὸν ἐπιφάνεια, εἰ καὶ πρώτως αὐτοῦ μετέχει, ἐπειδὴ οὐκ ἐξισάζει, ὥσπερ τὸ ζῷον λογικὸν θνητὸν ἐξισάζει τῷ ἀνθρώπῳ. ἀλλὰ μὴν οὐδ' εἰ ὑπόθοιτό τις ἅμα λέγειν τὴν ἐπιφάνειαν καὶ τὸ λευκόν, ἵνα τήνδε τὴν ἐπιφάνειαν λάβωμεν τὴν λευκήν· οὔτε γὰρ τὸ ὁριςόν ποτε περιλαμβάνει μετὰ τοῦ ὁρισμοῦ· οὐδεὶς γὰρ λέγει ὅτι ἄνθρωπος ἄνθρωπός ἐςι ζῷον λογικόν. ἐν ᾧ οὖν ὁρισμῷ μὴ πρόσεςιν αὐτὸ τὸ ὁριςὸν λέγοντι καὶ περιελόντι τὸ ὁριςόν, τοιοῦτόν ἐςιν ὁρισμὸς τοῦ πράγματος. ὥςε εἰ ταὐτὸν λάβωμεν καὶ ὁρισμὸν τοῦ λευκοῦ τὸ λεῖον, ἀντὶ τοῦ τῆς ὄψεως διακριτικοῦ, ἵνα ταὐτὸν ὑποθώμεθα ἐπιφάνειαν λευκὴν καὶ λείαν, τὸ αὐτὸ ἔςαι τὸ λευκὸν τῷ λείῳ. ὥςε ἐντεῦθεν συνάγει ὅτι δεῖ ἐξισάζειν τὸ ὁριςὸν τῷ ὁρισμῷ. εἰ τοίνυν μὴ ἐξισάζει ἐπὶ τῆς ἐπιφανείας τὸ λευκόν (οὐ γὰρ πᾶσα ἐπιφάνεια λευκή), δῆλον ὅτι οὐκ ἂν κυρίως καθ' αὑτὸ ὑπάρχοι τὸ λευκὸν τῇ ἐπιφανείᾳ, ὥςε καὶ ὁ ὁρισμὸς αὐτῆς γίνεται. "ἐπειδὴ — σύνθετα." ἐντεῦθεν ζητεῖ εἰ ἄρα ὑπάρχουσιν ὁρισμοὶ τῶν συμβεβηκότων,... καὶ πιθανῶς ἀνατρέπει ὅτι οὐκ εἰσί, λέγων οὕτως, ὅτι ἐπειδή ἐςι καὶ ἐν ταῖς ἄλλαις κατηγορίαις, φημὶ δὴ ταῖς λοιπαῖς ἐννέα, τοῦ συμβεβηκότος σύνθετα.., δεῖ σκοπεῖν εἰ ἄρα ὑπάρχει ὁρισμὸς καὶ τούτων τῶν συμβεβηκότων. ἀλλὰ μὴν οὐδὲ τὸ ἐπιφάνεια φησὶν ἐπιφάνεια λευκή ἐςιν, οὐδὲ ἔςιν φύσις ἐπιφανείας καὶ τί εἶναι ἡ λευκὴ ἐπιφάνεια· ἐπὶ πλέον γὰρ ἐπιφάνεια τῆς λευκῆς ἐπιφανείας καὶ πιθανῶς. Asclep.

τουτέςιν οὗτος ἐςὶ λόγος καὶ ὁρισμὸς ὁ δηλωτικὸς τοῦ τί ἦν εἶναι 132 20.
καὶ τῆς φύσεως ἑκάςῳ, ἐν ᾧ λόγῳ λέγοντι καὶ ἀναπτύσσοντι αὐτό, τὸ ὁριςόν, μὴ ἐνυπάρχει ἐν τῷ λόγῳ αὐτό, ἤτοι τὸ ὁριςόν. Alex.

132 2. φησὶν ὅν ὅτι ὐκ ἔςιν ὁρισμὸς τῶν τοιύτων, ἐπειδὴ ὐχ ὑπάρχυσι τῶν καθ' αὑτὲ λεγομένων, τοιῦτοι δὲ θέλυσιν εἶναι οἱ ὁρισμοὶ καθ' αὑτό· τὲ γὰρ ὐ καθ' αὑτὲ δίχῶς λέγεται· ἢ γὰρ ἐκ προτάσεως ἢ ἐκ διαζεύξεως. Asclep.

133 7. τὲ μὴ ὅν ὕτω λέγεται ὐ καθ' αὑτό, "τὲ δὲ τῷ ἄλλο αὑτῷ." ἐλλιπῶς δὲ ἑρμηνευθὲν δεῖ προτεῖναι τὲ δεῖν προσκεῖσθαι, ὃ ὐ προσκεῖται, ἵνα ᾖ τὲ πᾶν τοιῦτον. τὲ δὲ λέγεται ὐ καθ' αὑτὲ ἐν τῷ δεῖν ἄλλο προσκεῖσθαι αὑτῷ, ὃ ὐ πρόσκειται· οἷον εἰ τὲ ἱμάτιον σημαίνει τὲν λευκὸν ἄνθρωπον, ὁ δὲ ὁριζόμενος τὲ ἱμάτιον λέγει ὅτι ἱμάτιόν ἐςι χρῶμα διακριτικὸν ὄψεως· δέον γὰρ προσκεῖσθαι τῷ ὁρισμῷ τῦ ἱματίυ καὶ ἄλλο τι, οἷον τὲ ζῷον πεζὸν δίπυν, ὐ πρόσκειται, ὥςε ὐ καθ' αὑτὲ ὁρίζεται τὲ ἱμάτιον. Alex.

133 11. ἐντεῦθεν ζητεῖ εἰ ἄρα τῦ συνθέτυ ἐςὶν ὁρισμός, καὶ φησὶν ὕτως. ἆρα τῦ ἱματίυ, τυτέςι τῦ συνθέτυ, ἐςὶν ὁρισμὸς ἢ ὐκ ἔςι; τῆς γὰρ ὐσίας ἐςὶ κυρίως ὁρισμός, ἐπειδὴ καὶ τῶν καθ' αὑτὲ ὑπαρχόντων ἐςὶ καὶ ἑνὸς πράγματος· ὅταν δὲ ἄλλο κατ' ἄλλυ λέγηται, ὐκ ἔςι τῦ τοιύτυ ὁρισμός, ἐπεὶ μήτε μίαν φύσιν δηλοῖ. Asclep.

ὅταν δ' ἄλλο κατ' ἄλλυ λέγηται, ὐκ ἔςιν ὅπερ τόδε τι καὶ καθ' αὑτό· ὁ γὰρ λευκὸς ἄνθρωπος ὐκ ἔςι καθ' αὑτό, ἀλλ' ἐν τῷ ἀνθρώπῳ· τὲ γὰρ τόδε τι ταῖς ὐσίαις μόναις ἀφώριςαί τε καὶ ὑπάρχει. Alex.

εἰ τοίνυν τῦτό ἐςι τὲ τί ἦν εἶναι, τυτέςιν ὐσία, ὅσων ὁ λόγος ἐςὶν ὁρισμὸς καὶ ὐκ ὄνομα, ἤγυν ὑπογραφή... ἕκαςον γὰρ πρᾶγμα ἔχει καὶ ὄνομά τι καὶ ὑπογραφήν. συμβήσεται ὅν καὶ τῆς Ἰλιάδος εἶναι ὁρισμόν. Asclep.

133 21. τοιαῦτα — ἄλλο κατ' ἄλλυ λέγ., ἀλλ' ἑνὸς πράγματος καὶ μόνυ· ὥςε ὐκ ἔςαι ὁρισμὸς τῶν μὴ διαιρυμένων εἰδῶν ἐκ γένυς, ὥσπερ τοῖς καθ' ἕκαςα· ὅτε γὰρ πρώτως ὑπάρχυσιν αὐτοῖς αἱ διαφοραί, ἀλλὰ διὰ μέσων τῶν εἰδῶν. τῶν ὅν εἰδῶν εἰσὶν οἱ ὁρισμοί· ταῦτα γὰρ ὐ κῇ μετοχὴν ὑπάρχυσι τῶν διαφορῶν καὶ παθῶν, ὥσπερ τὰ συμβεβηκότα ἢ τὰ ἄτομα, ἀλλ' ὐσιωδῶς. τοῖς ὅν ἄλλοις ὑπάρχυσιν ὑπογραφαὶ ἤγυν ὀνόματα. Asclep.

δύναται τὸ "οὐ κατὰ μετοχὴν" νοεῖσθαι ἀντὶ τοῦ κεχωρισμένα ἐστὶ 13323.
τὰ εἴδη, καὶ οὐ καθάπερ φησὶ Πλάτων, κατὰ μετοχὴν αὐτῶν τὰ καθ' ἕκαστα ἐστίν, ἀλλ' οὐσίαι εἰσὶν ἐν τοῖς καθ' ἕκαστα μεμερισμέναι πως καὶ ἀμέριστοι. Alex.

δείξας διὰ τῶν προλαβόντων λογικῶς ὅτι οὐκ ἔστιν ὁρισ- 13327.
μὸς τῶν συμβεβηκότων, ἐπειδὴ οἱ ὁρισμοὶ ἁπλῶν πραγμάτων ὑπάρχουσι καὶ τῶν καθ' αὑτό, τὰ δὲ συμβεβηκότα οὔτε καθ' αὑτὰ ὑπάρχουσιν· αὐτὰ γὰρ τοῦτο λέγεται κατὰ συμβεβηκός· οὔτε γὰρ ἁπλᾶ πράγματα ὑπάρχουσιν, ἐπειδὴ συνεισφέρουσι καὶ ἕτερα μεθ' ἑαυτῶν λεγόμενα· οὔτε γὰρ αὐτὰ καθ' αὐτὰ ὑποστῆναι δύνανται, — ἐντεῦθεν ἀνατρέπει τὰ εἰρημένα ὑπ' αὐτοῦ λογικῶς, καὶ δείκνυσιν ὅτι καὶ τῶν κατὰ συμβεβηκὸς ὑπαρχόντων εἰσὶν ὁρισμοί, κεχρημένος τοιούτῳ ἐπιχειρήματι, ὅτι ὥσπερ τὸ ὂν καὶ ἡ ὕπαρξις τῶν πραγμάτων πλεοναχῶς λέγεται, οὕτω καὶ οἱ ὁρισμοί. Asclep.

ὥσπερ καὶ τὸ ὂν ὑπάρχει πᾶσιν, ἀλλ' οὐχ ὁμοίως. id. 1343.

"τοῖς ἄλλοις" τουτέστι τοῖς συμβεβηκόσι. id. 1345.

"ἀλλ' ὥσπερ ἐπὶ τοῦ μὴ ὄντος λογικῶς." φασὶν αἱ σοφισταὶ 1347.
εἶναι τὸ μὴ ὄν, οὐχ ἁπλῶς δὲ εἶναι αὐτὸ ἐροῦμεν, ἀλλ' οὕτως εἶναι ὡς μὴ ὄν, οὕτω δὲ καὶ τὸ ποιόν. id.

ἀλλ' ὥσπερ φασὶν οἱ σοφισταὶ περὶ τοῦ μὴ ὄντος. ἐρωτῶσι γὰρ οὕτως· τὸ μὴ ὂν ἔστιν ἢ οὐκ ἔστιν; εἰ μὲν οὖν ἔστιν, αὐτόθεν ἄτοπον τὸ λέγειν ὅτι ἔστι τὸ μὴ ὄν· εἰ δὲ μή ἐστι τὸ μὴ ὄν, αἱ δύο ἀρνήσεις μίαν κατάθεσιν ποιοῦσιν, ὥστε πάλιν ἔστι τὸ μὴ ὄν. λέγομεν οὖν ὅτι φαμὲν ὅτι ἔστι τὸ μὴ ὂν ὡς μὴ ὑπάρχον· οὕτως οὖν φημὶ καὶ ἐπὶ τῶν συμβεβηκότων ὅτι ὑπάρχουσιν αὐτῶν ὁρισμοί, οὐχ ὡς ἁπλῶς ὄντων ἀλλ' ὡς πῇ ὄντων. εἶτα ταῦτα εἰρηκὼς ζητεῖ, ἆρά γε συνωνύμως κατηγορεῖται τὸ ἓν τῶν δέκα κατηγοριῶν ἢ ὁμωνύμως; καὶ δείκνυσιν ὅτι οὔτε συνωνύμως οὔτε ὁμωνύμως, οὐχ ὁμωνύμως μέν, ἐπειδὴ ὅλως κοινωνοῦσι τῇ οὐσίᾳ κατὰ τὸ πρᾶγμα, τὰ δὲ ὁμώνυμα οὐ κοινωνοῦσιν ἀλλήλοις κατὰ πρᾶγμα· ταῦτα δὲ καθὸ καὶ αὐτὰ λέγονται ὄντα, μετέχουσι τοῦ ὄντος. οὐ συνωνύμως δέ, ἐπειδὴ οὐκ ἔστιν εἷς ὁρισμὸς τῆς οὐσίας καὶ τῶν συμβεβηκότων, ἐπειδὴ μήτε μιᾶς ὑπάρχουσιν οὐσίας, ἀλλ' ὡς τὰ ἀφ' ἑνὸς καὶ πρὸς ἕν, τουτέστι τῶν πολλαχῶς λεγομένων. id.

134 15. "δεῖ γὰρ ἢ ὁμωνύμως ταῦτα φάναι ὄντα," καὶ δεῖ προσυπακούειν τὸ ἢ συνωνύμως, καὶ οὕτως ἐπιφάναι καὶ τὰ ἑξῆς· τὸ γὰρ "δεῖ γὰρ ὁμωνύμως ταῦτα φάναι" ἐλλιπῶς τεθέν (ἔδει γὰρ προσκεῖσθαι καὶ τὸ ἢ συνωνύμως) ἀσάφειαν ἐποίησε πολλήν· τὸ γὰρ "ἢ προσιθέντας ἢ ἀφαιροῦντας ὥσπερ καὶ τὸ μὴ ἐπιστὴν ἐπιστητόν," μεταξὺ τεθέν. καὶ ἔστιν ἴσως ὁ λόγος τοιοῦτος. καὶ τὸ τί ἦν εἶναι ὑπάρξει πρώτως μὲν καὶ ἁπλῶς τῇ οὐσίᾳ, εἶτα τὸ τί ἦν εἶναι καὶ τοῖς ἄλλοις ὑπάρχει, ἀλλ' οὐχ ἁπλῶς, ἀλλ' ὥσπερ καὶ τὸ τί ἐστιν οὐχ ἁπλῶς αὐτοῖς ὑπάρχει, οὕτως καὶ τὸ τί ἦν εἶναι, καὶ ὥσπερ τὸ μὴ ἐπιστὴν ἐπιστὴν λέγεται οὐχ ἁπλῶς, οὕτως καὶ ταῦτα δεῖ λέγειν. "ἢ προσιθέντας ἢ ἀφαιροῦντας," προσιθέντας μὲν ἐπὶ τοῦ ποσοῦ ἢ τοῦ ποιοῦ ἢ τῶν ἄλλων τί ἦν εἶναι λεγόντας ποσῷ ἢ ποιῷ, ἀφαιροῦντας δὲ ἤτοι ἁπλῶς δὲ καὶ ἄνευ προσθήκης λέγοντας ἐπὶ τῆς οὐσίας· εἶτα δεῖ γὰρ τοῦ συνδέσμου τοῦ δὲ ἀκούοντας ὡς ἄλλο τι λέγοντος. δεῖ δὲ ἢ ὁμωνύμως ταῦτα φάναι ὄντα ἢ συνωνύμως. "ἐπεὶ — ὡσαύτως." ὡς ἂν εἰ ἔλεγε, δεῖ τὴν οὐσίαν καὶ τὸ ποσὸν καὶ τὸ ποιὸν καὶ τὰς λοιπὰς κατηγορίας ἢ ὁμωνύμως ὄντα λέγειν ἢ συνωνύμως· εἶτα ἐπικριτικὸν ἐπήνεγκε, τό γε ὀρθὸν καὶ ἀληθές ἐστι μήτε ὁμωνύμως αὐτὰ φάναι "μήτε ὡσαύτως," ἀντὶ τοῦ συνωνύμως, ἀλλὰ τῶν ἀφ' ἑνὸς καὶ πρὸς ἕν, ὥσπερ καὶ τὸ ἰατρικὸν λέγεται πρὸς τὸ αὐτὸ καὶ ἕν, ἀντὶ τοῦ τῶν ἀφ' ἑνὸς καὶ πρὸς ἕν. "οὐ τὸ αὐτὸ δὲ καὶ ἕν" ἤτοι οὐ συνωνύμως δέ. id.

134 20. ὁ δὲ γὰρ σύνδεσμος τεθεὶς ἔμφασιν δίδωσι τοῦ τὰ λεγόμενα εἶναι κατασκευαστικά τινος τῶν προσεχῶς ῥηθέντων. οὐκ ἔστι δὲ τοῦτο, ἀλλὰ δεῖ τὸν γὰρ ἀντὶ τοῦ δή συνδεσμοῦ ἐκλαβεῖν. πολλαχοῦ γὰρ τοῦτο σύνηθες αὐτῷ, ὡς καὶ ἐν τῷ Β τῶν Ὑστέρων Ἀναλυτικῶν ἀπεσημηνάμεθα καὶ ἐν ἄλλοις πολλοῖς. δεῖ οὖν τοῦ γὰρ ἀντὶ τοῦ δή συνδέσμου ἀκούειν. καὶ εἴη ἂν ὃ λέγει τοιοῦτον. οὐ δή, φησίν, ἀνάγκη, τυτέστιν οὐκ ἀναγκαῖον δή τι συμβαίνει, ἂν τοῦτο θῶμεν, ὅτι ὃ ἂν ὄνομα λόγῳ ταὐτὸν σημαίνῃ, ἐκεῖνον τὸν λόγον, ᾧ ταὐτὸν τὸ ὄνομα σημαίνει, ὁρισμόν τινα τοῦ πράγματος εἶναι· ἀλλὰ τοῦτο χρὴ λέγειν ὅτι εἴ τι ὄνομα λόγῳ τινὶ ταὐτὸν σημαίνει, ἐκεῖνος ὁ λόγος ὁρισμός ἐστι τοῦ πράγματος. ἔσται δὲ ὁ λόγος ὁ ὑπὸ τοῦ ὀνόματος δηλούμενος ὁρισμός, ἐὰν τὸ ὄνομα δηλωτικὸν ᾖ ἑνὸς λόγου, ἑνὸς δὲ μὴ τῷ συνεχεῖ, ὥσπερ ἡ Ἰλιὰς ἢ ἔσα συν-

δέσμῳ ἕν. τὸ "ὅσα συνδέσμῳ" οὐχ ὡς ἕτερόν τι δηλοῦν τοῦ "μὴ τῷ συνεχεῖ" ἐπῆκται, ἀλλὰ ὥσπερ εἰ ἔλεγε τῷ συνεχεῖ συνδέσμῳ, ὥσπερ ἡ Ἰλιάς. ἐπειδὴ δὲ ἡ Ἰλιὰς τῷ συνδέσμῳ ἐστὶ συνεχής, ἐπήγαγεν "ἢ ὅσα συνδέσμῳ". . δέδεικται γὰρ ἐν τῷ γάμμα τῆσδε
5 τῆς πραγματείας ὅτι ἀκολουθοῦσιν ἀλλήλοις τὸ ἓν καὶ τὸ ὄν. id.

"ἀλλὰ πρὸς ἕν," τουτέστιν ὡς τὸ ἀφ' ἑνὸς καὶ πρὸς ἕν. φησὶν 134 22.
οὖν· ὅπως ἂν βούλοιτό τις, ταῦτα λεγέτω, ἢ ὁμωνύμως ἢ συνωνύμως· μόνον δεῖ τὴν ἔννοιαν αὐτὸν γιγνώσκειν τοῦ πράγματος· οὔτε γὰρ περὶ ὀνομάτων ἐστὶν ἡμῖν ὁ λόγος. Asclep.

10 τὴν αἰτίαν τίθησι δι' ἣν δοκεῖ λόγους εἶναι καὶ ὁρισμοὺς τῶν 135 4.
συνθέτων· ἐκ προαιρέσεως γὰρ τὰ ἐξ ὑποκειμένου καὶ κατηγορουμένου. συγκείμενόν φησιν ὡς τὸν λευκὸν ἄνθρωπον, ἴσον λέγων ὡς εἴ τις μὴ δοῖ λόγον εἶναι καὶ ὁρισμὸν τοῦ λευκοῦ ἀνθρώπου τὸ ζῷον πεζὸν δίπουν ἔχον χρῶμα διακριτικὸν ὄψεως. τίνος οὖν ἔσται οὗτος ὁ
15 ὁρισμός, καὶ ἁπλῶς πάντων τῶν ἐκ προαιρέσεως οἱ λόγοι τίνος ἔσονται, εἴπερ μὴ αὐτῶν εἰσίν; οὐχ ἁπλᾶ δὲ ἀλλὰ συνδεδυασμένα τὰ ἐκ προαιρέσεως εἴρηκε. τοῦ δὲ εἶναι τῶν συνδεδυασμένων λόγους ἐπήγαγε τὸ "ἐκ προαιρέσεως γὰρ ἀνάγκη δηλοῦν," τουτέστιν ἀνάγκη γὰρ λέγοντας ἡμᾶς περὶ τῶν ἐκ προαιρέσεως ἐκ προαιρέσεως δηλοῦν τοὺς
20 ὁρισμοὺς αὐτῶν. Alex.

φησίν, εἰ μὴ ὑπάρχουσιν ὁρισμοὶ τῶν ἐκ προαιρέσεως, τουτέστι τῶν παραλαμβανόντων τὰ ὑποκείμενα ἐν τοῖς ὁρισμοῖς ἑαυτῶν, ὥσπερ ἐπὶ τοῦ λευκοῦ εἰρήκαμεν ὁριζόμενοι χιόνα διακριτικὸν ὄψεως ἐν σώματι θεωρουμένην· φησὶν οὖν ὅτι εἰ ὁ λόγος οὗτος ἀληθής,
25 ἀδύνατον εἶναι ὁρισμὸν τῶν συμβεβηκότων καθ' αὐτό. τοῦτο γὰρ ἐδήλωσεν εἰπὼν συνδεδυασμένων τὰ καθ' αὐτὰ συμβεβηκότα· ἐκ προαιρέσεως γὰρ ἀνάγκη δηλοῦν τὸν ὁρισμὸν αὐτῶν. Asclep.

εἰ δέ, ὥσπερ εἴρηται, οἱ ὁρισμοὶ τῶν καθ' αὐτό εἰσι, τὸ δὲ σι- 135 18.
μὸν καὶ τὰ τοιαῦτα τῶν καθ' αὐτό, ἔσται ἄρα καὶ τῶν τοιούτων ὁρισ-
30 μός. αὐτὸς δὲ οὐ τοῦτο ἐπήγαγεν, ἀλλ' ἐπειδὴ εἴρηκε πρότερον ὅτι καθ' αὐτά ἐστιν ὧν καὶ τοὺς ὁρισμοὺς εἶναί φαμεν ἀδύνατα εἶναι αὐτὰ καθ' αὐτά, ἡ δὲ σιμότης αὐτὴ καθ' αὐτὴν οὐ δύναται εἶναι ἄνευ τῆς ῥινός, θαρρούντως ἐπήγαγεν "ὥστε — οὐδενός·" πῶς γάρ; οὐδὲ γάρ εἰσι καθ' αὐτά, οἱ δὲ ὁρισμοί, ὡς δέδεικται, τῶν καθ'

Digitized by Google

αὐτά. ἢ ἔςι καὶ τούτων ὁρισμός, ἀλλὰ καθάπερ εἰρήκαμεν· εἴρηται δὲ ὅτι πρώτως μὲν καὶ ἁπλῶς τῇ οὐσίᾳ, εἶτα καὶ τοῖς ἄλλοις. Alex.

135 1º. ὥςε ἢ οὐκ ἔςι τούτων ὁρισμός, ἢ εἴπερ ἔςιν, ἀνάγκη ἐκ προθέσεως εἶναι, ὥσπερ εἰρήκαμεν. Asclep.

135 21. ἡνίκα γάρ φαμεν ὅτι σιμότης ἐςὶ κοίλανσις ἐν ῥινί, οὐδὲν ἕτερον λέγομεν ἢ ὅτι ῥὶς ῥίς ἐςι, καὶ διπλασιάζομεν τὴν ῥῖνα, ὅπερ ἐςὶν ἀδολεχία· ἡ γὰρ κοιλότης λαμβάνεται ἀντὶ τῆς σιμότητος, ἡ δὲ σιμότης πάντως συνεισφέρει ἑαυτῇ τὴν ῥῖνα· ὥςε ὁ λέγων, σιμότης ἐςὶ κοίλανσις ἐν ῥινί, οὐδὲν ἕτερον λέγει ἢ ὅτι ῥὶς ῥίς, καὶ ὡς εἴρηται, ἀδολεχεῖ. εἰ τοίνυν οὔτε προενέγκαιτο δυνατόν ἐςι τὰ τοιαῦτα, πολλῷ μᾶλλον οὔτε ὁρίσαιτο... εἰ δὲ μή ἐςι ταὐτὸν τὸ κοιλὸν τῷ σιμῷ, ἐπειδὴ τὸ μὲν σιμὸν ἐπὶ ῥινὸς καὶ μόνης φέρεται, τὸ δὲ κοῖλον καὶ ἐπὶ ῥινὸς λέγεται καὶ ἐπὶ ἐπιφανείας καὶ ἄλλων· εἰ οὖν τὸ σιμὸν οὐδέν ἐςιν ἕτερον ἢ κοιλότης ἐν ῥινί, ἢ οὐ δυνατὸν εἰπεῖν ῥῖνα σιμήν, ἢ ὁ λέγων τοῦτο ἀδολεχεῖ, δὶς τὸ αὐτὸ λέγων, ῥὶς ῥὶς κοίλη, καὶ διὰ τῆς σιμότητος καὶ διὰ τῆς ῥινὸς ῥῖνα δηλῶν· ἡ γὰρ σιμὴ ῥὶς ῥίς ἐςι κοίλη, ὥςε ὁ λέγων κοίλανσιν ῥινός, ἀντὶ σιμότητος παραλαμβάνων τὴν κοίλανσιν, δὶς λέγει τὴν ῥῖνα. ὥςε οὐ δυνατόν, φησίν, εἶναι τῶν τοιούτων ὁρισμόν· εἰς ἄπειρον γὰρ πρόεισιν· οὐδὲν γὰρ ἕτερον λέγει ἢ ὅτι ἡ ῥὶς ῥίς ἐςι σιμή, καὶ ὁ αὐτὸς λόγος ἔςαι· ὁ γὰρ λέγων ὅτι σιμότης ἐςὶ κοίλανσις ἐν ῥινί, οὐδὲν ἕτερον λέγει ἢ ὅτι τῇ ῥινὶ ῥὶς σιμὴ ἔνεςι. id.

136 7. ἀλλὰ — λόγοι. τουτέςι λανθάνει ὅτι ἄνευ τοῦ ὑποκειμένου τούτοις γίνονται ὁρισμοὶ τούτων διὰ τὸ μὴ ἀκριβῶς ἀποδίδοσθαι τοὺς ὁρισμοὺς αὐτῶν. εἰ δέ τις ἀκριβολογοῖτο, εὑρήσει ὅτι ἀδύνατόν ἐςι χωρὶς τοῦ ὑποκειμένου ὁρισθῆναί τι τούτων. Alex.

136 25. "ὅ — ταὐτά." ἐλλιπῶς δὲ ἑρμηνεύεται τὸ λεγόμενον· δεῖ δὲ προσυπακούειν τὸ τοῖς καθ' αὐτὸ οὖσιν, ἵνα ᾖ τὸ πᾶν τοιοῦτον· οὐ γὰρ ἀνάγκη, ὅσα κατὰ συμβεβηκός εἰσι, τὰ αὐτὰ εἶναι τοῖς καθ' αὐτὰ οὖσι. καὶ εἴη ἂν διὰ τούτου λέγων ὅτι ὁ μὲν ἄνθρωπος καθ' αὐτό ἐςι ταὐτὸν τῷ ἀνθρώπῳ εἶναι, τῷ δὲ λευκῷ ἀνθρώπῳ κατὰ συμβεβηκός. τὸ δὲ κατὰ συμβεβηκὸς οὐκ ἂν εἴη ταὐτὸν τῷ καθ' αὐτὸ ὄντι· οὐ γὰρ κατὰ πάντα τρόπον τὰ ἄκρα (ἄκρα λέγων τοὺς κατηγορουμένους ὅρους) γίνεται ταὐτά, ἀλλ' ὅταν μὲν καθ' αὐτὸ ἀμφότεροι οἱ ἄκροι

κατηγορῶν) τῷ ὑποκειμένῳ, τότε γίνον) οἱ αὐτοί, ὅταν δ' ὁ μ' καθ' αὑτὸ ὁ δὲ κ' συμβεβηκός, ὐ γίνον)· ὕτω γὰ συμβέβηκε τὸ χρῶμα εἶναι ἄνθρωπον, οἷον ὁ Σωκράτης λευκός, ὁ Σωκράτης ἄνθρωπος, τὸ λευκὸν ἄρα ἄνθρωπος· ὅπερ ἀδύνατον, ἀλλὰ τὸ μ' ἀνθρώπῳ εἶναι καὶ λευκῷ ἀνθρώπῳ εἶναι ὐκ ἔςι τὸ αὐτό, δι' ἃς εἴπομεν αἰτίας. ἴσως δέ, φησίν, ἐκεῖνα τὰ ἄκρα δόξειεν ἂν εἶναι τὰ αὐτά, οἷον τὸ λευκῷ ἀνθρώπῳ εἶναι καὶ τὸ μουσικόν· κ' συμβεβηκὸς γὰ ἄμφω τῷ ἀνθρώπῳ ὑπάρχει. ἀλλ' ὐδὲ τοῦτο, φησί, δοκεῖ. εἰ δὲ τὸ λευκῷ εἶναι καὶ τὸ μουσικῷ εἶναι ὐ δοκεῖ τὸ αὐτὸ εἶναι (ἄλλης γὰ φύσεως τὸ μουσικὸν καὶ ἄλλης τὸ λευκόν), πολλῷ μᾶλλον ὐκ ἔςαι τὸ ἀνθρώπῳ εἶναι καὶ τὸ λευκῷ ἀνθρώπῳ τὸ αὐτό. εἰπὼν δὲ ὅτι ἐπὶ τῶν κ' συμβεβηκὸς τὸ τί ἦν εἶναι ἕτερον, καὶ δείξας τοῦτο διὰ τοῦ δεῖξαι ὅτι ἕτερόν ἐςιν ὁ ἄνθρωπος καὶ τὸ λευκῷ ἀνθρώπῳ εἶναι, λέγει ὅτι ἐπὶ τῶν καθ' αὑτὸ λεγομένων ἄρα τὸ αὐτό ἐςιν ἕκαςον καὶ τὸ τί ἦν εἶναι, ἢ ὄ; καὶ ἐρωτήσας καὶ δεικνύναι τοῦτο μέλλων, λέγω δὴ τὸ ταὐτὸν εἶναι ἕκαςον καὶ τὸ τί ἦν εἶναι, λέγει ὅτι γενέσθω ὁ λόγος ἐπὶ τῶν ἰδεῶν. id.

εἶτα ἐπιλυόμενός φησιν ὅτι ὐκ ἀνάγκη, ὅσα κ' συμβεβηκὸς τὰ αὐτὰ ὑπάρχουσιν, ἤδη καὶ κ' πάντα τὰ αὐτὰ εἶναι... ὅτε γὰ τὰ ἄκρα, τουτέςι τὰ κ' συμβεβηκός· ὥςε αὐτῶν γίνε) τὰ αὐτά, ὥσπερ καὶ τὰ καθ' αὑτὰ ὑπάρχοντα ἑνὶ γίνε) τὰ αὐτά, ὡς εἴρη) ἐν τῇ θεωρίᾳ, ὁ περὶ τοῦ ἀνθρώπου καὶ τοῦ ζῴου λόγος ὅτι ὑπάρχουσι τῷ Σωκράτει καὶ εἰσὶ τὰ αὐτὰ ἀλλήλοις. τὰ ὖν ἄκρα κ' συμβεβηκὸς ὑπάρχουσι τὰ αὐτά, οἷον τῷ λευκῷ εἶναι καὶ τῷ μουσικῷ, διὰ ἄλλος ὁρισμὸς λευκοῦ καὶ ἄλλος μουσικοῦ· κ' δὲ τὸ ὑποκείμενον τὰ αὐτὰ ὑπάρχουσι· δοκεῖ δὲ τῷ ὄντι τοῖς πολλοῖς μὴ κ' συμβεβηκὸς ὑπάρχειν. Asclep. 136 27.

εἰ δή εἰσιν ὐσίαι καθ' αὑτάς, οἷας φασὶ τὰς ἰδέας τινὲς εἶναι, ἆρα ἕτερόν ἐςιν αὐτὸ τὸ ἀγαθόν, τουτέςι τὸ αὐτοαγαθόν, καὶ τὸ ἀγαθῷ εἶναι ἤτοι τὸ αὐτοαγαθῷ εἶναι, ἢ ὄ; καί φησιν ὅτι εἰ ἕτερόν ἐςι τὸ αὐτὸ ζῷον καὶ τὸ αὐτὸ ζῴῳ εἶναι, καὶ αὖ τὸ αὐτοαγαθὸν καὶ τὸ αὐτοαγαθῷ εἶναι, καὶ τὸ αὐτοὸν καὶ τὸ αὐτοόντι εἶναι, ἔσον) καὶ φύσεις ἄλλαι καὶ ὐσίαι καὶ ἰδέαι παρὰ τὰς λεγομένας καὶ προτέρας, 137 4.

καὶ μάλιστα ἐκεῖναι οὐσίαι· ἡ γὰρ οὐσία μάλιστά ἐστι τὸ τί ἦν εἶναι. Alex.

137 11. ἡ γὰρ ἐπιστήμη ἑκάστου καὶ ἡ γνῶσις αὐτοῦ διὰ τοῦ ὁρισμοῦ θηρᾶται καὶ ἐπὶ τοῦ ἀγαθοῦ καὶ ἐπὶ τῶν ἄλλων πάντων· ὥστε εἰ μὴ τῷ ἀγαθῷ εἶναι ἐστὶ ταὐτὸν τὸ ἀγαθόν, οὔτε τῷ ὄντι εἶναι ἐστὶ τὸ ὄν, οὐδὲ τῷ ἑνὶ ἕν. ὥστε εἰ μηδὲ τῷ ὄντι εἶναι τὸ ὂν ἐστίν, οὐκ ἔσται ὑπαρξις τῶν τί ἦν εἶναι. Asclep.

137 21. φησὶν ὅτι πάντῃ καὶ πάντως, ἐὰν ὦσιν ἁπλαῖ εἴδη, τοιαῦτά ἐστιν ἐὰν ὑπάρχωσιν, ἀνάγκη ἐστὶ τὸ αὐτὸ εἶναι τὸ τῷδε εἶναι καὶ τόδε εἶναι ἐπὶ τῶν ἁπλῶν εἰδῶν, κἂν ὑπάρχωσιν ἰδέαι κἂν μὴ ὑπάρχωσι... φησὶν οὖν ὅτι εἴπερ εἰσὶν αἱ ἰδέαι οἷας τινές φασιν, τοιαῦτά ἐστιν οὐσίαι καὶ μὴ λόγοι, οὐκ ἔσται τὸ ὑποκείμενον, τοιαῦτα ἐστὶ σύνθετον· ταύτας γὰρ τὰς ἰδέας οὐσίας μὴ ἀναγκαῖον εἶναι, εἴγε καὶ πρότεραι ὑπάρχουσιν, οὐ θεωροῦνται δὲ ἐν ὑποκειμένῳ ταῖς συνθέτοις οὐσίαις, ἐπεὶ οὕτως ἔσονται αἱ κατὰ μέθεξιν· αὐλοὺς δὲ αὐτὰς βούλονται, ἐπεὶ τὰ ἐνταῦθα οὐκ ἔσονται οὐσίαι. id.

138 3. ὥστε καὶ ἐκ τοῦ λόγου καὶ ἐκ τῆς ἐπαγωγῆς (ταύτην γὰρ ἔκθεσιν εἶπεν) ἕκαστον καὶ τὸ τί ἦν εἶναι αὐτῷ ἕν ἐστιν. λέγει δὲ περὶ τῶν κατὰ συμβεβηκὸς ὅτι διὰ τὸ διττὸν σημαίνειν (τὸ γὰρ μουσικὸν εὐθὺς δηλοῖ τό τε πάθος, αὐτὴν λέγω τὴν ἐν τῇ ψυχῇ τοῦ Σωκράτους μουσικήν, καὶ αὐτὸν τὸν Σωκράτην) οὐκ ἀληθὲς εἰπεῖν ὡς ταὐτόν ἐστι τό τε μουσικὸν καὶ τὸ μουσικῷ εἶναι· συμβαίνει γάρ, εἴ τις τοῦτο λέγει, τὸ μουσικὸν ἤτοι τὸ πάθος ταὐτὸν εἶναι τῷ ἀνθρώπῳ ᾧ συμβέβηκεν. Alex.

138 9. καθ' αὑτὰ μὲν γὰρ τὸ ἀνθρώπῳ εἶναι καὶ τὸ λευκῷ ἀνθρώπῳ οὐκ ἔσται τὸ αὐτό· ᾗ δ' ἔπαθέ τι ὑπὸ τοῦ λευκοῦ, λέγω δὴ τὸ λευκανθῆναι, ἔσται τὸ αὐτό. "ἄτοπον εἶναι." καὶ τοῦτο δεικτικόν ἐστι διὰ τῆς εἰς ἀδύνατον ἀπαγωγῆς τοῦ ταὐτὸν εἶναι ἕκαστον καὶ τὸ τί ἦν εἶναι ἑκάστῳ. ἡ δὲ δεῖξις πάλιν ἐπὶ τῶν ἰδεῶν προέρχεται· λέγει γάρ, ὥσπερ ὁ αὐτοίππος καὶ τὸ τί ἦν εἶναι αὐτοῦ οὐκ ἔστι ταὐτά, ἀλλ' ἕτερα, εἴ τις καὶ τὸ αὐτοίππου τί ἦν εἶναι ὄνομα θεῖτο, ἔστω δὴ ἱμάτιον, ἐπειδὴ πᾶν ὄνομα δηλωτικόν ἐστί τινος τί ἦν εἶναι, καὶ τοῦ ἱματίου τὸ τί ἦν εἶναί ἐστω ἕτερον αὐτοῦ. εἴ τις δὲ πάλιν τῷ τοῦ ἱματίου τί ἦν εἶναι ὄνομα θεῖτο, ἔστω δὴ φυτόν, ἔσται καὶ τὸ τί ἦν

εἶναι τοῦ φυτοῦ ἕτερον τοῦ φυτοῦ. εἴ τις δὲ καὶ τοῦ φυτοῦ τί ἦν εἶναι θεῖτο ὄνομα, ἔσται καὶ ἐπὶ τούτου τὸ αὐτό· καὶ τοῦτο εἰς ἄπειρον. id.

φησὶν ὅτι κἂν ὑποθώμεθα τοῦ τί ἦν εἶναι ὄνομα ἔχειν τι, οἷον 138 12.
λίθον ἢ τι ἄλλο τοιοῦτον, ἄτοπόν ἐστι τὸ χωρίζειν ἐπὶ τῶν ἁπλῶν
5 οὐσιῶν τὸ τόδε εἶναι τοῦ τῷδε εἶναι· εἰ γὰρ κεχώρισται καὶ ἔστιν αὐτοῦ ἀλλότριον, ἐπειδὴ οὐσίας ἐστὶ δηλωτικόν, καθάπερ ἐν τῇ θεωρίᾳ εἰρήκαμεν, ἔσται καὶ παρ' ἐκεῖνο ἄλλο τὸ τί ἦν ἵππῳ, τουτέστιν ἕτερος ὁρισμὸς τοῦ τί ἦν ἄλλο τί ἦν εἶναι, ἐπειδὴ οὐσίας ἐστὶ δηλωτικόν, τῶν δὲ οὐσιῶν ὑπάρχουσιν ὁρισμοί. διό φησι "τί ἦν εἶναι ἵππῳ ἕτε-
10 ρον," τουτέστι διάφορον παρὰ τὸ ἐξ ἀρχῆς τί ἦν εἶναι. καίτοι, φησί, τί κωλύει καὶ νῦν ἔνια εἶναι εὐθὺς τί ἦν εἶναι, τουτέστιν ἄνευ ὀνόματος (διὰ γὰρ τοῦ "εὐθύς" τὸ ἄνευ ὀνόματος ἐδήλωσε), τουτέστι τί κωλύει, κἂν μὴ ὑποθώμεθα ὠνομάζοντο τὸ τί ἦν εἶναι, ἀλλότριον δέ ἐστι τοῦτο τοῦ τόδε εἶναι καὶ ἔστιν οὐσίας δηλωτικόν, εἶναι καὶ αὐτοῦ
15 ὁρισμόν; καὶ περὶ ἐκείνου ἐρωτήσομεν πάλιν τοῦ τί ἦν εἶναι, ταὐτόν ἐστι τῇ οὐσίᾳ ἢ οὐκ ἔστι ταὐτόν; εἰ μὲν οὖν ταὐτόν ἐστιν, ἔχω τὸ ζητούμενον· εἰ δὲ διάφορον, πάλιν καὶ περὶ ἐκείνου τὰ αὐτὰ ἐρωτήσω, καὶ οὕτως ὁ λόγος ἐπ' ἄπειρον ἐλεύσεται. δύναται δὲ τὸ "καίτοι τί κωλύει καὶ νῦν εἶναι ἔνια εὐθὺς τί ἦν εἶναι;" οὕτω νοεῖσθαι, ὅτι εἴπερ μὴ
20 ταὐτόν ἐστι τὸ τῷδε εἶναι καὶ τὸ τόδε εἶναι, τί κωλύει τῆς οὐσίας ἐκείνης εὐθὺς γίνεσθαι ὁρισμόν, εἴγε πάσης οὐσίας ἐστὶν ὁρισμός. διὸ ἐπήγαγεν "εἴπερ οὐσία τὸ τί ἦν εἶναι." ἑκάστης δὲ οὐσίας ἐστὶν ὁρισμός, ἔσται καὶ τοῦ τί ἦν εἶναι ὁρισμός, καὶ οὗτος ἢ ὁ αὐτός ἐστι τῷ τόδε εἶναι ἢ διάφορος. εἰ μὲν οὖν ὁ αὐτός, ἔχω τὸ ζητούμενον· εἰ δὲ μή
25 ἐστιν ὁ αὐτός, πάλιν ἐπὶ ἕτερον ἐλευσόμεθα καὶ οὕτως ἐπ' ἄπειρον ὁδεύσομεν. ὥστε οὐ μόνον ἓν ἐστι τὸ τῷδε εἶναι καὶ τὸ τόδε εἶναι, ἀλλὰ καὶ ὁ λόγος αὐτῶν ὁ αὐτός, ὡς δῆλον ἐκ τῶν εἰρημένων· πολλὰ γὰρ ἄτοπα ἐδείξαμεν ἑπόμενα τῷ λόγῳ τῷ ὑποτιθεμένῳ αὐτὰ κεχωρίσθαι ἀπ' ἀλλήλων. Asclep.

30 ἐπειδὴ καὶ τὸ τί ἦν εἶναι οὐσίας ἐστὶ δηλωτικόν, ἔσται αὐτοῦ ὁρισμός· καὶ εἰ μὲν ὁ αὐτός, ἔχω τὸ ζητούμενον, εἰ δὲ διάφορος, καὶ ἐπ' ἐκείνου ἐρωτῶ καὶ ἐπ' ἄπειρον ὁ λόγος προέρχεται. καὶ πάλιν τὸ ἓν ἐπειδὴ οὐσίας ἐστίν, ἔσται αὐτοῦ ὁρισμός, καὶ οὗτος ἢ ἀλλότριος ἢ ὁ αὐτός· εἰ μὲν οὖν ὁ αὐτός, ἔχω τὸ ζητούμενον, εἰ δὲ ἀλλότριος, πά-

λιν ἔςαι κἀκείνῳ ὁρισμός, καὶ οὕτως ἐπ' ἄπειρον προερχόμεθα. διό φησιν "ὥςε καὶ" κτλ. id.

138 17. εἰ μὴ γὰρ κατὰ συμβεβηκὸς τὸ ἓν καὶ τὸ τί ἦν εἶναι αὐτῷ ἦν τὰ αὐτά, οὐκ ἂν ἦν ὁ λόγος αὐτῶν ὁ αὐτός. ἐπεὶ δὲ ἐκ πάντων τῶν δεικθέντων ἀνεφάνη ὅτι καθ' αὑτό εἰσιν ἕν, καὶ ὁ λόγος αὐτῶν εἷς ἐςίν. ὃ δὲ ἄνωθεν μὴ ἠνίξατο ἄτοπον, νῦν ἐπαναλαμβάνει καὶ σαφέςερον τίθησι λέγων "ἔτι — εἶσιν." τουτέςιν, εἰ τὸ τοῦ ἑνὸς τί ἦν εἶναι ὄνομα τεθείη, ἔςαι ἄλλο τοῦ τεθέντος ὀνόματος τί ἦν εἶναι. ἀλλ' εἰ τοῦτο, εἰς ἄπειρον ἰέναι ἀνάγκη· τὸ γὰρ ἑνὶ εἶναι ἔςαι τὸ τί ἦν εἶναι τοῦ ἑνός, τὸ δὲ ἓν ἐςὶν ὅ ἐςὶ τί ἦν εἶναι τὸ ἑνὶ εἶναι· τὸ δ' ἑνὶ εἶναι ἔςαι πάλιν ἄλλο τί ἦν εἶναι, καὶ πάλιν ἐπὶ τούτων ὁ αὐτὸς λόγος. Alex.

138 24. εἶτα ἐπειδὴ ἀνωτέρω ἄλλοις ἐχρήσατο παραδείγμασιν, εἰπὼν λευκῷ ἀνθρώπῳ εἶναι καὶ λευκὸς ἄνθρωπος, ἐνταῦθά φησι Σωκράτης καὶ Σωκράτει εἶναι. φησὶν οὖν ὅτι οὐδὲν διαφέρει τὸ κεχρῆσθαι διαφόροις παραδείγμασιν· οὔτε γὰρ τὰ παραδείγματα. διό φησιν "οὐδὲν γὰρ διαφέρει οὔτε ἐξ — ἐπιτ.", τουτέςιν οὔτε τὸ ἐρωτῆσαι, ἐὰν χρήσαιτό τις διαφόροις παραδείγμασιν ἐρωτώμενος, οὐδὲν βλάπτει τὸν λόγον, μόνον ἵνα συμφωνῶσι τῇ φύσει τῶν παραδειγμάτων. εἶτά φησιν ὅτι "πῶς μ. ὖν" κτλ. Asclep.

138 25. ἐξ ὧν γὰρ ἐρωτῶσιν (ἐκ γὰρ τῶν κατὰ συμβεβηκὸς τὰς ἐρωτήσεις ποιοῦνται), ἐκ τούτων καὶ τῶν λύσεων τεύξονται. Alex.

139 1. φησὶν οὖν ὅτι ἐπὶ τῶν φυσικῶν πραγμάτων καὶ τὸ ὑλικὸν αἴτιον καὶ τὸ ποιητικὸν καὶ τὸ εἰδικὸν φύσει ἐςίν. τὸ γὰρ γινόμενον ἔχει φύσιν τὴν φροντίζουσαν αὐτοῦ, οἷον τὸ φυτὸν καὶ τὸ ζῷον· καὶ ὑφ' οὗ, ἡ κατὰ τὸ εἶδος λεγομένη φύσις ἡ ὁμοειδὴς τῷ ποιοῦντι· αὕτη δέ ἐςιν ἐν ἄλλῳ, οἷον εἰ τύχοι ἐν τῷ πατέρι· ἄνθρωπος γὰρ ἄνθρωπον γεννᾷ. οὕτως μὴ ὖν, φησί, γίνεται τὰ γινόμενα διὰ τὴν φύσιν. Asclep.

139 18. ἀπὸ τέχνης μὴ οὖν γίνεται λέγει τὰ τεχνητὰ καὶ ὅλως ὅσα κατὰ τέχνην γίνεται, ἀπὸ διανοίας δὲ τὰς ἀρετάς· εἴδη γάρ τινα καὶ αἱ ἀρεταί· τελειοῦσι γὰρ τὴν ψυχήν. εἰ δὲ καὶ πολλὰ τῶν τεχνητῶν (γίνεται γὰρ τεχνητά τινα καὶ ἀπὸ ταὐτομάτου, ὡς ἐρεῖ) ἀπὸ διανοίας γίνεται, ἀλλ' οὖν ἡ τέχνη οὐ πάντως διάνοια. ἀπὸ δυνάμεως δέ εἰσιν ὁπότερ' ἔτυχεν, οἷον λύσαι καὶ μὴ λύσαι. Alex.

"τούτων — τύχης," ὥσπερ καὶ ἀπὸ φύσεως· γίνονται γὰρ καὶ ἐκεῖ, 139 19.
λέγω δὴ ἐν τοῖς ἀπὸ φύσεως γινομένοις, ἔνια ἐκ ταὐτομάτου· γίνονται γὰρ βοτάναι καὶ ἐκ σπέρματος καὶ ἄνευ σπέρματος· πολλαὶ γὰρ τῶν βοτανῶν ἄνευ σπέρματος φύονται ἐκ ταὐτομάτου. id.

5 τῆς γὰρ θεραπείας ἐστὶν οὐσία ἡ ἀντικειμένη οὐσία, οἷον ὑγίεια 139 26.
νόσου. κατὰ γὰρ τὴν ἀπουσίαν τῆς ὑγείας δηλοῦται ἡ νόσος, ἡ δὲ ὑγεία ἐστὶν ὁ λόγος αὐτὸς ὁ ἐν τῇ ψυχῇ τοῦ ἰατροῦ. γίνεται δὲ ὑγεία ἐκ νόσου τοῦτον τὸν τρόπον. ἐπειδὴ τόδε ἐστὶν ἡ ὑγεία, ἡ ὁμαλότης τοῦ σώματος ἐν τύχαι, ἀνάγκη ἐστίν, εἰ μέλλοι ὑγιαίνειν τὸ ζῷον,
10 τοδὶ ὑπάρξαι. Asclep.

ὅτι δὲ τὸ αὐτὸ ἀντὶ τοῦ εἴδους ἔλαβε, τὸ δὲ εἶδος ἀντὶ τοῦ αἰτίου τῆς ὑπάρξεως τῆς θεραπείας, δῆλον ἐποίησεν εἰπὼν "τῆς γὰρ θεραπείας οὐσία ἡ οὐσία ἡ ἀντικ.", τουτέστιν ἡ κατὰ τὸ εἶδος οὐσία τῆς θεραπείας ἐστὶν οὐσία καὶ ὑπάρξεως, καὶ τὸ εἶναι αὐτῇ αὕτη χαρίζεται. Alex.

15 τὸ δὲ "τρόπον τινά" προσκείται, ὅτι οὐ καθ' αὐτό ἐστιν αἴτιον τὸ εἶδος τῆς θεραπείας, ἀλλὰ κατὰ συμβεβηκός· συμβαίνει γὰρ ὑποχωροῦντος τοῦ εἴδους γίνεσθαι αὐτήν· ἔστιν οὖν ἡ ὑγίεια, εἴπερ ἀναλογεῖ εἴδει, αἰτία καὶ εἶδος τῆς νόσου, ἥπερ ἐστὶ θέρησις. id.

ἀλλ' εἰ δεῖ θερμότητα γενέσθαι, δεῖ τρίψεως· ἄρχεται οὖν ἀπὸ 140 4.
20 τῆς τρίψεως, ἣν καὶ δύναται ποιῆσαι, ἥτις τρῖψις ἑκατόν ἐστι καὶ τῆς ὑγιείας καὶ τῆς ὁμοιότητος καὶ τῆς θερμότητος. id.

τὸ δὲ "ὁμοίως καὶ τῶν ἄλλ. τ. μ. ἔκ. γ." οἶμαι τῷ "ὥστε σ. 140 13.
τρ. τ. — ἔχ. ὕλην" συντάττεσθαι· καὶ εἴη ἂν λέγων ὅτι ὥσπερ ὑγίεια ἐξ ὑγιείας γίνεται, οὕτω καὶ ἡ ὁμαλότης ἐκ τῆς ὁμαλότητος
25 τῆς ἐν τῇ ψυχῇ τοῦ ἰατροῦ οὔσης καὶ ἡ θερμότης ἐκ τῆς θερμότητος. ὑπάρχει οὖν, ὥσπερ εἴρηται, ἡ τρῖψις δυνάμει. ἢ οὐ τοῦτο λέγει ὅτι ὑπάρχει ἡ τρῖψις δυνάμει τῷ ἰατρῷ, ἀλλ' ὅτι ἡ τρῖψις δυνάμει ὑγίεια ἐστίν. εἰ γὰρ ἡ τρῖψις ἀρχὴ τῆς ὑγιείας ἐστὶ καὶ πρῶτον αἴτιον, δῆλον ὅτι ἡ τρῖψις δυνάμει ἐστὶν ὑγίεια. καὶ οἶμαι ὅτι τὸ "ὑπάρχει
30 δὲ τοδὶ δυνάμει" περὶ τρίψεως εἴρηται, ὅτι ἡ τρῖψις δυνάμει ἐστὶν ὑγίεια. τὸ δὲ "τοῦτο δὲ ἤδη ἐπ' αὐτῷ" περὶ τοῦ ἰατροῦ εἴρηται, τουτέστιν ἡ τρῖψις δὲ ἐπὶ τῷ ἰατρῷ ἐστὶ καὶ δύναται αὐτὴν ποιῆσαι. id.

140 17. "ὑπάρχει δὲ τῷδὶ δυνάμει," τουτέστι τῷ φαρμάκῳ ὑπάρχει δυνάμει ἡ θερμότης· ἐρχόμενον γὰρ θερμαίνει· τοῦτ' οὖν ἐπ' αὐτῷ ἐστὶ τῷ βοηθήματι. Asclep.

140 21. ἐὰν δὲ ἀπὸ ταὐτομάτου, φησί, γένηται ἡ ὑγίεια, ἀπὸ τούτου γενήσεται ἤτοι ἀπὸ τῆς τρίψεως, ὅπερ ἐγένετο τοῦ ποιεῖν ἀρχὴ τῷ ποιοῦντι ἀπὸ τέχνης. Alex.

ἐὰν δὲ ἀπὸ ταὐτομάτου γένηται ἡ ὑγίεια, ἀπὸ τοῦ λόγου γίνεται, ἀφ' οὗ καὶ ὁ τεχνίτης ἄρχεται ποιεῖν, τουτέστιν ἀπὸ θερμότητος. Asclep.

140 23. αὕτη δὲ ἡ ἐν τῷ σώματι ὑπὸ τῆς τρίψεως γεγονυῖα θερμότης ἢ μέρος ἐστὶ τῆς γεγονυίας ὑγιείας, ἢ εἰ μή ἐστιν ἡ θερμότης μέρος τῆς ὑγιείας, ἀλλ' οὖν ἕπεται αὐτῇ ταὐτόν τι οἷον ἡ ὁμαλότης, ἥτις μέρος ἐστὶ τῆς ὑγιείας. αὐτὸ δὲ τὸ ἑπόμενον τῇ θερμότητι καὶ μέρος ὂν τῆς ὑγιείας ἢ εὐθὺς ἕπεται αὐτῇ, ἢ εἰ μὴ εὐθὺς ἀλλ' οὖν διὰ πλειόνων. τὸ δὲ "τοῦτο δ' ἔσχατον τὸ ποιοῦν" τοιοῦτον ἂν εἴη, ὅτι ἡ τρῖψις ἡ ποιοῦσα τὸ μέρος τῆς ὑγιείας ἐσχάτη ἐστὶ καὶ τῆς θερμότητος καὶ τῆς ὁμαλότητος καὶ τῶν λοιπῶν· καὶ ὥσπερ ἡ θερμότης ἢ τὸ ἑπόμενον αὐτῇ (τοῦτο γὰρ δεῖ προσυπακούειν) μέρος ἐστὶ τῆς ὑγιείας, οὕτω καὶ οἱ λίθοι τῆς οἰκίας καὶ ὁ χαλκὸς τοῦ ἀνδριάντος. ὥστε φανερόν ἐστιν ἐκ τῶν εἰρημένων ὅτι οὐδὲν γίνεται μὴ προϋπάρχοντός τινος, ἀλλὰ πᾶν τὸ γινόμενον ἔκ τινος γίνεται. καὶ ὅτι μὴ οὖν μέρος τι ἀναλογῶν ὕλῃ ἐξ ἀνάγκης ὑπάρξει τοῖς γινομένοις, φανερόν, ὅτι δὲ καὶ τῶν τοῦ ὁρισμοῦ μερῶν τι λόγον ὕλης ἐπέχει, οὐκ ἀφανές· τὰ γὰρ γένη ὕλῃ ἀναλογεῖ, καὶ τοῦτο δῆλον ἐκ τοῦ τὸν χαλκοῦν κύκλον δύο λέγεσθαι ἔχειν ὕλας, τόν τε χαλκὸν καὶ τὸ σχῆμα, τὸν μὲν χαλκὸν ὡς τοῦ συναμφοτέρου, τὸ δὲ σχῆμα ὡς τοῦ εἴδους. ἔχει δὴ ὁ χαλκοῦς κύκλος οὐ μόνον κατὰ τὸ συναμφότερον τὴν ὕλην, ἀλλὰ καὶ ἐν τῷ λόγῳ. Alex.

140 26. τοῦτο δέ, φησίν, ἐστὶν ἔσχατον τὸ ποιοῦν, ὅπερ ἐστὶ μέρος τῆς ὑγιείας, καὶ τῆς οἰκίας λίθοι. ὥστε ἀδύνατον κτλ. Asclep.

141 12. καὶ τότε δεῖ προσθεῖναι ὅτι καὶ πάλιν τινὰ μὲν τῶν ὄντων λέγεται ἐκ τῆς σερήσεως, τινὰ δὲ οὐ λέγεται ἐξ ἐκείνης γίνεσθαι ἀλλ' ἐκ τῆς ὕλης. καὶ εἰ τοῦτο προσεθείη, ἔσται τὸ ἐπαγόμενον σαφές, τὸ "αἴτιον δὲ ὅτι γίνεται ἐκ τῆς σερήσεως καὶ τοῦ ὑποκειμένου." καὶ εἴη ἂν τὸ λεγόμενον τοιοῦτον· αἴτιον δὲ τοῦ τινὰ μὲν λέγεσθαι ἐξ οὗ γίνεται τινὰ δὲ

μή, ὅτι γίνονται ἐκ τῆς στερήσεως, ἥτις συνείληπται τῇ ὕλῃ. καὶ ὅταν μὴ ὠνομασμένη ᾖ ἡ στέρησις, τότε λέγομεν ὅτι γέγονεν ἐκ τοῦδε... ἐπ' ἐνίων δέ, οἷον ἐπὶ τοῦ ἀνδριάντος καὶ τῆς οἰκίας, διὰ τὸ μὴ κεῖσθαι ὄνομα τῇ στερήσει, ὥσπερ ἐνταῦθα ὁ ὑγιὴς ἐκ κάμ-
5 νοντος λέγεται γενέσθαι, οὕτως καὶ ὁ ἀνδριὰς καὶ ἡ οἰκία ἐκ τῆς τοῦ ἀνδριάντος καὶ τῆς οἰκίας στερήσεως γίνονται, ἀλλὰ διὰ τὸ μὴ κεῖσθαι ὄνομα ταῖς στερήσεσι δοκεῖ ὅτι ὥσπερ ὁ ὑγιὴς ἐκ κάμνοντος γίνεται, οὕτως καὶ ὁ ἀνδριὰς ἐκ χαλκοῦ ἢ λίθου. οὐ λέγεται δὲ ὁ ὑγιὴς ἐκεῖνο ἐξ οὗ γέγονεν, οἷον οὐ λέγεται ὁ ὑγιὴς νοσῶν· οὕτω καὶ ὁ ἀνδριὰς οὐ
10 λέγεται χαλκὸς ἢ λίθος, ἀλλὰ λίθινος ἢ χαλκοῦς. ὅτι δὲ ἀνώνυμος ἡ ἐν τῷ χαλκῷ στέρησις, φανερόν... ἀλλὰ τὰ μὴ λεγόμενα, οἶμαι, τοιαῦτα. ἐν δὲ τῇ λέξει τῇ "ὧν δ. ἡ σ. ἄδ. κ. ἀν. ο. ἐν χ. σχήματος ὁποιουῦν" τοιοῦτόν ἐστιν· ὧν δ' ἡ στέρησις ἄδηλος καὶ ἀνώνυμος, ἐπὶ τούτων οὐ δοκεῖ ἐκ τῆς στερήσεως γίνεσθαι, ὥσπερ ἐκ κάμ-
15 νοντος· ἐν γὰρ τῷ χαλκῷ οὐκ ἔστι δῆλον ποίου σχήματος στέρησιν ἔχει. ἡ μὲν δὴ τῶν λεγομένων ἔννοια τοιαύτη τις ἂν εἴη καὶ οὕτω δὴ κατ' ἐμὴν δύναμιν σεσαφήνισται· ἐπιζητήσειε δ' ἄν τις ποίαν τινὰ χρείαν τοῖς προσεχῶς δεικθεῖσι παρέχεται... ἀλλ' ἐπειδὴ ἔδειξεν ὅτι πᾶν τὸ γινόμενον ἔκ τινος γίνεται, διαρθρῶσαι ἠθέλησε καὶ τὸ πῶς
20 λέγονται τὰ γινόμενα· προθέμενος δὲ δεῖξαι ὅτι τὸ εἶδος καὶ τὸ τί ἦν εἶναι οὐ γίνεται, καὶ συνιδὼν ὅτι οὐδὲν αὐτῷ πρᾶγμα οὐδὲ δυσχερὲς εἰς τὸ τοῦτο δεῖξαι γενήσεται, εἰ πρότερον δείξει ὅτι πᾶν τὸ γινόμενον ἔκ τινος γίνεται, καὶ τοῦτο δείξας νῦν τρέπεται εἰς τὴν δεῖξιν τοῦ ὅτι τὸ εἶδος καὶ τὸ τί ἦν εἶναι οὐ γίνεται. **Alex.**

25 ἐπειδὴ οὖν τὸ γινόμενον ὑπό τε ποιητικοῦ γίνεται καὶ ἐκ τῆς στερή- 142 6.
σεως ἢ καὶ ἐκ τῆς ὕλης, καί τι γίνεται, οἷον ἄνθρωπος ἢ ἵππος ἢ σφαῖρα ἢ κύκλος ἢ ἄλλο τι, ὥσπερ οὐδὲ τὸν χαλκὸν (λεγέσθω γὰρ ἐπὶ τούτου) ποιεῖ, οὕτως οὐδὲ τὴν σφαῖραν. **id.**

οἷον ὁ χαλκεὺς οὐ ποιεῖ τὸν χαλκὸν οὕτως οὐδὲ τὴν σφαῖραν, 142 9.
30 τουτέστι τὸ εἶδος αὐτὸ καθ' αὑτό, εἰ μὴ κατὰ συμβεβηκός, ἐπειδὴ συνέβη τὴν σφαῖραν χαλκῆν εἶναι, ἐκείνην δὲ ποιεῖ, τουτέστι τὸ σύνθετον. **Asclep.**

εἰ γὰρ ποιεῖ τὸ εἶδος, ἐπειδὴ πᾶν τὸ γινόμενον ἔκ τινος ὑποκει- 142 13.
μένου γίνεται, δῆλον ὅτι καὶ τὸ εἶδος ἔκ τινος ὑποκειμένου ποιήσει τὸν

χαλκὸν ποιῆσαι στρογγύλον, τουτέστι τὸ σύνθετον. οὐ μέντοι δυνατόν ἐστιν αὐτὸ ποιῆσαι τὸ στρογγύλον ἢ τὴν σφαῖραν, ἀλλ' ἕτερόν τι, οἷον τὸ εἶδος ἐν ἄλλῳ, φημὶ δὴ τὸ σύνθετον. εἰ γὰρ ποιεῖ τὸ εἶδος αὐτὸ καθ' αὑτό, ἔκ τινος ὑποκειμένου ποιήσει αὐτὸ ὡς γινόμενον, καθάπερ ἐν τῇ θεωρίᾳ εἰρήκαμεν, οἷον τὴν χαλκῆν σφαῖραν· τοῦτο δὲ ἐξ ὑποκειμένου, ὅπερ ἐστὶ χαλκός. "τοῦδε ποιεῖ," τουτέστι τὸ εἶδος, ὅ ἐστιν ἡ σφαῖρα· εἰ γὰρ γίνεταί τι, ἐξ ὑποκειμένου γίνεται, καὶ οὕτως εἰς ἄπειρον αἱ γενέσεις βαδιοῦνται, καθάπερ ἐν τῇ θεωρίᾳ εἰρήκαμεν. ὥστε δῆλον ἡμῖν ἐντεῦθεν γέγονεν ὅτι οὐ γίνεται τὸ εἶδος, οὔτε δὲ ἔστιν αὐτοῦ γένεσις οὔτε ὁρισμὸς αὐτοῦ, ὡς γίνεται αὐτὸ καθ' αὑτό. Asclep.

142 20. οὐ μόνον δέ, φησί, φανερόν ἐστιν ὅτι τὸ ἐν τῷ αἰθητῷ εἶδος οὐ γίνεται, ἀλλ' οὐδ' ἔστι τοῦτο, λέγω δὴ τὸ ἐν τῷ αἰθητῷ εἶδος, τὸ τί ἦν εἶναι· τὸ γὰρ τί ἦν εἶναι καθόλου καὶ νοητόν, τοῦτο δὲ αἰθητὸν καὶ μερικόν, ὃ καὶ γίνεται ἐν τῇ ὕλῃ ὑπὸ φύσεως. Alex.

142 24. τὸ οὖν σύνθετον ποιεῖ· ποιεῖ γὰρ ἐκ χαλκοῦ καὶ σφαίρας· εἰ γὰρ πάλιν ποιεῖ τὸ εἶδος καὶ τοῦτό ἐστι χαλκῆ σφαῖρα, χαλκὸς δὴ τοιῶσδε χηματισθεὶς ὑπὸ τεχνίτου· εἰ οὖν ἐστὶν ὅλως, φησί, τοῦ εἴδους τῆς σφαίρας ἡ γένεσις, ἐξ ὑποκειμένου τινὸς γίνεται, καὶ εἰ μὴ τὸ ὑποκείμενον εἰδοποιημένον ἐστίν, εἰσαχθήσεται τὸ ἄπειρον, ὡς ἀνωτέρω ἔδειξεν, εἰ δὲ ἀνείδεον, διαιρετὸν ἔσται τὸ εἶδος καὶ ἔσται ὅπερ ἐστὶ τὸ μὴ αὐτοῦ ὕλη τὸ δὲ εἶδος, καὶ ἔσται οὕτω σύνθετον τὸ ἁπλοῦν εἶδος, ὅπερ ἐστὶν ἄτοπον. εἰ τοίνυν τοῦτό ἐστι σφαῖρα, ὅταν αἱ ἀπὸ τοῦ κέντρου αὐτῆς πρὸς τὴν ἐπιφάνειαν προσπίπτουσαι ἴσαι ὑπάρχωσι, τὸ δὲ εἶδος ἐντιθέμενον ἐν τῇ ὕλῃ τοιῶσδε χηματίζει αὐτήν, καὶ ἔστι τὸ σύνθετον τὸ γινόμενον. φανερὸν οὖν ἡμῖν γέγονεν ὅτι τὸ μὴ ὡς εἶδος ἢ οὐσία λεγομένη οὐ γίνεται, ἡ δὲ σύνθεσίς ἐστιν ἡ γινομένη. Asclep.

142 28. καὶ εἴπερ ἐστὶ σφαῖρα χῆμα τὸ πάντῃ ἴσον ἀπέχον τοῦ κέντρου, τούτου τοῦ χήματος τὸ μὴ ἔσται ὑποκείμενον, ἐν ᾧ τὸ εἶδος ἔσται, ὃ ποιεῖ ὁ ποιῶν περὶ αὐτό, τὸ δὲ ἔσται εἶδος ἐν τῷ ὑποκειμένῳ ὄν, τὸ δ' ἐκ τούτων ἔσται ἡ γεγονυῖα χαλκῆ σφαῖρα. καὶ λοιπὸν συμπεραίνεται. Alex.

143 6. καὶ ἔστι τὸ μὴ ὕλη τὸ δὲ εἶδος. Asclep.

δείξας ὅτι ὐ γίνε) τὲ εἶδος αὐτὲ καθ' αὐτό, ἐντεῦθέν φησω ὅτι ὐ δυνατόν ἐςιν αὐτὰ καθ' αὐτὰ ὑπάρχειν ἐνεργείᾳ τὰ εἴδη· εἰ γὰ τῦτο, φησίν, ὑποθώμεθα, ἀναιρεθήσε) ἡ γένεσις... "πότερον — πλίνθυς;" φησίν, ἆρά γε αὐτὰ καθ' αὐτὰ ὑπάρχυσιν ἐνεργείᾳ τὰ εἴδη, οἷον τὲ τῆς σφαίρας εἶδος παρὰ τὰς σφαίρας τὰς ἐνταῦθα ἢ τὲ τῆς οἰκίας εἶδος παρὰ τὰς καθ' ἕκαςον οἰκίας; ἢ ὐδέποτε γίνε) γένεσις, καθάπερ ἐν τῇ θεωρίᾳ εἴρη); ἢ ὅτε τὲ εἶδος χωριςὸν κατ' ἐνέργειαν ϗ μὴ τοιόνδε τι ἐδήλυ, καθάπερ ἐν Κατηγορίαις εἴρητο, τὲ περὶ ὐσίαν δὲ τὲ ποιὸν ἀφορίζει; τὲ ὧν εἶδος ὐκ ἔςιν αὐτὲ καθ' αὐτὲ ὡρισμένον ὑπάρχον, ἀλλὰ ποιεῖ ϗ ὁ τεχνίτης ϗ ἡ φύσις. id.

δείξας ὅτι τὲ εἶδος ϗ τὲ τί ἦν εἶναι ὐ γίνε) ἀλλ' ἔςι μέν, γίνε) δὲ περὶ τὲ ὑποκείμενον, εἰπὼν δὲ ϗ ὅτι τὲ εἶδος ἢ ἡ μορφὴ ἡ ἐν τῷ αἰθητῷ ὐ διὰ γενέσεως γίνε) ἀλλ' ἀχρόνως ϗ ἐν ἀτόμῳ νῦν (λέγει δὲ εἶναι τὲ εἶδος ὐκ ἐνεργείᾳ ϗ καθ' αὐτό, ὥσπερ ἐγώ, ἀλλὰ τῇ ἐπινοίᾳ) — ταῦτα δὴ δείξας ἐρωτᾷ πότερον ἔςι τις σφαῖρα παρὰ τάσδε ἢ οἰκία παρὰ τὰς πλίνθυς αὐτὴ καθ' αὐτὴν ϗ ἁπλῶς ἄνθρωπος παρὰ τὺς ἀνθρώπυς. ϗ ἐρωτήσας ἐπικρίνει λέγων ἢ ὐκ ἄν ποτε ἐγίνετο τόδε ϗ αἰθητόν· σύνηθες γὰ αὐτῷ τὲ τόδε τι ἐπὶ τῶν αἰθητῶν ϗ εἰς δεῖξιν πιπτόντων ϗ ὅλως ἐπὶ τῶν καθ' αὐτὰ δυναμένων εἶναι λαμβάνειν. ϗ ἐν ταῖς Κατηγορίαις γὰ εἶπεν ὅτι ἐπὶ μ̄ τῶν πρώτων ὐσιῶν, πρώτας λέγων Σωκράτη ϗ ἁπλῶς τὰ ἄτομα, ἀναμφισβητήτως τόδε τι σημαίνει ἑκάςη. ὐκ ἂν ὧν, φησίν, εἰ καθ' αὐτὰ ϗ χωριςὰ τὰ εἴδη, ἐγίνετο τόδε τι, ὥςε ϗ ἄλλω τινὸς ἀλλοιυμένυ ἐπιγίνε) τὲ εἶδος ἀχρόνως τῷ ἀλλοιυμένῳ. ἀλλ' εἴπερ ἄρα ἔμελλε γίνεζ ἐν τῇ ὕλῃ, κ̄ σύνθεσιν ἂν τῦτο ἐγένετο· ὡς γὰ οἱ λίθοι αὐτοὶ καθ' αὐτὺς ὄντες συνθέσει ἀλλ' ὐ διὰ γενέσεως ϗ ὅλως συναλλοιώσεως τῆς οἰκίας μέρη γίνον) ϗ ταύτην ἀπεργάζον), ὕτως εἴπερ ἦσαν ϗ τὰ εἴδη καθ' αὐτά, συντιθέμενα μ̄ τῆς ὕλης τὰ ἄτομα ἂν ἐποίει, ἀλλ' ὐ διὰ γενέσεως ϗ ἀλλοιώσεως. ϗ ἄλλως, ὥσπερ ὁδὶ ὁ οἶνος ϗ τοδὶ τὲ μέλι καθ' αὐτὰ ὄντα τὲ οἰνόμελι πεποιηκότα ὐ δύνα) ϗ ἐν ἄλλοις εὑρίσκεζ, ὕτως εἴπερ ϗ ὁ ἄνθρωπος καθ' αὐτὲν ἦν συντεθεὶς τηδὶ τῇ ὕλῃ ϗ ποιήσας τὲν Σωκράτην, ἐν ἑτέρᾳ

ὕλη ὐκ ἂν ἠδυνήθη γενέσθαι, ὥςε καὶ ἕτερον ἄνθρωπον ποιῆσαι, μέχρις οὗ ἐχωρίσθη τῆς ὕλης μεθ' ἧς τὸν Σωκράτην ἐποίησεν. ὃ δὲ συμβαίνει τοῖς μὴ χωριςὰ τὰ εἴδη λέγουσιν· οὐ γὰρ καθ' αὑτόν φασιν εἶναι τὸν ἄνθρωπον καὶ τὸ εἶδος τοῦ ἀνθρώπου, ἀλλὰ τῇ ἐπινοίᾳ τοῦ χωρίζουσιν ἐκ τῶν πολλῶν, ἐν τοῖς μερικοῖς δὲ τὴν τοιάνδε φύσιν διδόασιν. εἰ μὴ ὅν, φησί, τὰ εἴδη καθ' αὑτὰ ὐκ ἂν ἐγίνετο τόδε τι, ἀλλὰ τὸ μὴ εἶδος τοιόνδε τι σημαίνει, τουτέςι ποιόν τι σημαίνει, οὐχ ἁπλῶς δὲ ποιόν, ἀλλὰ περὶ οὐσίαν τὸ ποιὸν ἀφορίζει ἤτοι οὐσίαν τινὰ ποιότητα ἔχουσαν, καὶ τοῦτο διαφέρει τῆς ὕλης ὅτι ἐκείνη ἄποιός ἐςιν, ἀλλὰ τοιόνδε μὴ τὸ εἶδος σημαίνει τόδε τι καὶ ὡρισμένον καὶ καθ' αὑτὸ δυνάμενον εἶναι ὐκ ἔςιν, ἀλλ' ὁ ποιῶν καὶ γεννῶν ἐκ τοῦδε τοῦ εἴδους ποιεῖ καὶ γεννᾷ τοιόνδε, ἤτοι τὸ ἐξ ὕλης καὶ εἴδους. "καὶ ὅταν γεννηθῇ, ἔςι τόδε τοιόνδε," τουτέςι σύνθετος οὐσία ἐξ ὕλης καὶ εἴδους. Alex.

143 14. φανερὸν ἄρα ἐκ τῶν εἰρημένων ὅτι τὸ αἰτιᾶσθαι τὰ εἴδη ὡς ποιητικὰ τῶν τῇδε καὶ διδόναι αὐτοῖς ὕπαρξιν διὰ τοῦτο, οὐδὲν εἶναι χρήσιμα πρὸς τὰς γενέσεις καὶ τὸ ποιεῖν τὰς ἀτόμους οὐσίας· οὐδὲ εἶεν ἂν καθ' αὑτὰς οὐσίαι διὰ τὸ ὡς εἴρηται τὰ τῇδε ποιεῖν. . . εἰ δὲ ἦσαν τὰ εἴδη αἴτια γενέσεως, ἔδει τοῦ πατρός μου μὴ ὄντος γενέσθαι ἐμέ. id.

143 26. ὥςε δῆλον ἡμῖν ἐντεῦθεν ὅτι οὐ δεῖ ἡμῖν παραδείγματα καὶ ἰδέας ὑποτίθεσθαι. μάλιςα δὲ συνεβάλοντο αὐτῇ εἰς τὰς συνθέτους οὐσίας· εἰ τοίνυν ἐπὶ τούτων ἄχρηςοι ἐδείχθησαν, δῆλον ὅτι οὐδαμῶς ἡμῖν συμβάλλονται. Asclep.

144 2. καὶ κατὰ μὴ τὴν ὕλην διαφέρουσι τό τε γεννῶν καὶ τὸ γεννώμενον (ἄλλη γὰρ καὶ ἄλλη), κατὰ δὲ τὸ εἶδος οὐ διαφέρουσιν, ἐπειδή, ὡς αὐτός φησιν, ἄτομόν ἐςι τὸ εἶδος, τουτέςιν ἓν καὶ κατ' αὐτόν· ἓν γάρ ἐςι τὸ εἶδος καὶ τὸ Σωκράτους καὶ τὸ Σωφρονίσκου. καὶ βουλόμενος δηλῶσαι τὸ ἕν, ἐπήγαγε τὸ ἄτομον, τὴν ταὐτότητα τοῦ εἴδους ἐνδεικνύμενος. id.

144 12. ἐπειδὴ δὲ πάντα φυσικήν τινα κίνησιν ἔχει (φέρεται γὰρ ὁ λίθος κάτω καὶ τὸ πῦρ ἄνω), λέγει ὅτι ὥσπερ καὶ τῶν ζῴων πολλὰ τὴν κατὰ τόπον κίνησιν κινοῦνται, ὡδὶ δὲ κινηθῆναι, οἷον φέρε εἰπεῖν ὀρχήσασθαι, οὐ δύνανται, οὕτω καὶ οἱ λίθοι καὶ τὰ ξύλα κινηθῆναι μὴ δύνανται

φυσικῶς, ὡδὶ δὲ ὥςε ἀποτελέσαι οἰκίαν ὑδαμῶς, εἰ μὴ ὑπὸ τῦ οἰκοδόμυ, καὶ τὸ πῦρ ἄνω μὴ κινηθῆναι ὑφ' ἑαυτῦ δύναται, ὡδὶ δὲ ὥςε τὸν χαλκὸν ἐκπυρῶσαι ὑδαμῶς, εἰ μὴ ὑπὸ τῦ χαλκέως. Alex.

ὑπὸ γὰρ τύτων κινῦνται τὰ φυσικὰ σωματα τῶν ὐκ ἐχόντων 144 16.
5 τέχνην, οἷον ὑπὸ πόσεως οἴνυ, ὑπὸ περιπάτυ· γίνονται γὰρ καὶ ἐντεῦθεν καὶ συμβεβηκὸς ὑγιεῖαι. δύνανται ὖν κινεῖσθαι τὰ φυσικὰ καὶ ὑπὸ ἄλλων μὴ ἐχόντων τέχνην, οἷον ὑπὸ ἀνιάτρυ πολλοὶ γεγόνασιν ὑγιεῖς· ἢ ὑπὸ μέρυς, τυτέςι τῦ ἐμφύτυ θερμῦ πλεονάσαντος καὶ κατασβέσαντος τὴν ψυχρὰν θερμασίαν. Asclep.

10 εἶτα διαρθρῶν τὸν λόγον λέγει ὅτι τὰ καὶ ὑφ' ἑαυτῶν δυνάμενα κινεῖσθαι ὐ μόνον ὑπὸ τῶν ἐχόντων τὴν τέχνην κινηθήσεται, ἀλλὰ καὶ κινηθήσεται ὑπὸ τῶν τοιύτων τῶν ὐκ ἐχόντων τὴν τέχνην. Alex.

"ἢ ἐκ μέρυς," τυτέςιν ὑφ' ἑαυτῶν· ἐπειδὴ γὰρ δύνανται κινεῖσθαι
15 καὶ ὑφ' ἑαυτῶν, ποτὲ μὲ ὑπὸ τῦ τεχνίτυ κινηθήσεται, ποτὲ δὲ καὶ ὑπὸ τῦ τὴν τέχνην μὴ ἔχοντος, ποτὲ δὲ καὶ ὑφ' ἑαυτῶν. id.

τὸ δὲ "ἢ ἐκ μέρυς συνωνύμυ ἢ ἔχοντός τι μέρος" τοιαύτην 144 19.
ἔχει τὴν ἔννοιαν· τὸ γὰρ θερμόν, ἐξ ὗ γέγονεν ἡ ὑγίεια, μέρος τι τῆς ὑγιείας ἐςὶν ἢ ἔχει μέρος αὐτῆς. id.

20 καλῶς ὖν εἶπε καὶ τὸ "ἐκ μέρυς·" ὅτε γὰρ ἡ οἰκία ἡ αὐτή ἐςι τῷ τέκτονι, ὥσπερ ὁ Ἕκτωρ τῷ Πριάμῳ, ἀλλὰ κὲ μέρος, κὲ τὴν φανταςίαν, ἣν ἔχει ἐν ἑαυτῷ ὁ τέκτων τῦ ἀβακίυ. ἢ ἐκ μέρυς γινομένυ ὁμωνύμως ἔχοντός τι μέρος, ἐὰν μὴ κὲ συμβεβηκὸς γένηται. Asclep.

25 ὃ λέγει τῦτό ἐςιν· τὸ ὑπὸ τῦ καθ' αὐτὸ ποιῦντος πρῶτον ἐγ- 144 22.
γινόμενον τῷ ποιυμένῳ μέρος γίνεται τῆς ὑγιείας. id.

καὶ ἔςιν ἡ συναγωγὴ τῦ λόγυ τοιαύτη· ἡ θερμότης ἢ αὐτὴ ἡ ὑγίειά ἐςιν, ἢ εἴπερ ὐκ ἔςιν ἀλλ' ὖν ἀκολυθεῖ αὐτῇ μέρος τι τῆς ὑγιείας ἢ αὐτὴ ἡ ὑγίεια. καὶ ἡ μὲ τῶν λεγομένων διάνοια αὕτη ἂν
30 εἴη, καταςήσαις δ' ἂν τὴν λέξιν ὧδε· πάντα γίνεται ἐξ ὁμωνύμων, ὅταν μὴ κὲ συμβεβηκὸς γένηται· εἶτα ἐπήγαγεν "ὥσπερ τὰ φύσει" καὶ τὰ ἑξῆς. Alex.

διὸ καὶ λέγει ποιεῖν ὑγίειαν ἡ θερμότης ἐκ τῆς τρίψεως, ὅτι 144 26.
ἐκεῖνο τὸ θερμὸν ποιεῖ τὴν ὑγίειαν, ᾧ θερμῷ ἠκολύθησεν ἡ ὁμαλότης.

Digitized by Google

ὥσπερ οὖν ἐν τοῖς συλλογισμοῖς ἀρχαὶ ὑπάρχουσιν οἱ ὁρισμοὶ καὶ τὰ εἴδη, οὕτως καὶ ἐπὶ τῶν γινομένων αἱ ἀρχαὶ τὰ εἴδη ὑπάρχουσιν, εἴγε ὁμοειδῆ τὰ γινόμενα τοῖς ποιοῦσιν ἐδείχθησαν. Asclep.

145 1. τὸ μὲν γὰρ σπέρμα ποιεῖ ὥσπερ ὁ τεχνίτης· ὥσπερ γὰρ ἐκεῖνος ἐν ἑαυτῷ ἔχει τὸ εἶδος τῆς οἰκίας ἢ ἄλλου τινὸς οὗ ἐστι ποιητής, οὕτω καὶ τὸ σπέρμα ἔχει ἐν ἑαυτῷ δυνάμει τὸ εἶδος. ἀφ' οὗ δὲ τὸ σπέρμα, ἐστί πως ὁμώνυμον (τουτέστι συνώνυμον) τῷ γινομένῳ. Alex.

ἀλλὰ ταῦτα μὲν οὕτως ἴσως λέγουσι, τὴν δὲ λέξιν ὑπερβατῶς ἀναγνωστέον οὑτωσί· ἔστι γὰρ τὸ ἑξῆς "καὶ ὑφ' οὗ τὸ σπέρμα ἐστί πως ὁμώνυμον, ἐὰν μὴ πήρωμα ᾖ·" "διὸ ἡμίονος οὐκ ἐξ ἡμιόνου·" εἶτα "οὐ γὰρ πάντα οὕτω δεῖ ζητεῖν, ὡς ἐξ ἀνθρώπου ἄνθρωπος· καὶ γὰρ γυνὴ ἐξ ἀνδρός." id.

διὸ ἡ ἡμίονος οὐκ ἐξ ἡμιόνου τίκτει, ἐπειδὴ οὐκ ἔχουσι κοινόν τι, ἄνθρωπος δὲ ἐξ ἀνθρώπου, ἐὰν μὴ πήρωμα ὑπάρχῃ· ὥστε ἔχουσί τι κοινὸν καὶ ἡ ἡμίονος καὶ ἵππος, καθ' ὃ γίνονται ἐξ ἀλλήλων, ὅπερ ἡμῖν οὐκ ὠνόμασται. φησὶν οὖν ὅτι ταῦτα γίνονται ἐκ ταὐτομάτου ἐπὶ τῶν φυσικῶν, ὅσα ἔχουσιν ὕλην ἔχουσαν λόγον δημιουργικόν... ἀπορεῖ δὲ ὁ Ἀλέξανδρος ὅτι ἐπὶ τῶν ἐκ σήψεως γινομένων ποιὰ οὐσία προϋφέστηκε, καὶ αἰτιᾶται τὴν τῶν οὐρανίων κίνησιν. ἡμεῖς δὲ λέγομεν ἐπιβάλλοντες ὅτι κἀκεῖνα ἐξ ἑτέρας οὐσίας γίνονται, οἷον τῶν σεσηπότων σωμάτων· τὰ μέντοι γε συμβεβηκότα οὐ γίνεται ἐξ ἄλλων προϋφεστώτων συμβεβηκότων. Asclep.

145 12. ὥσπερ γὰρ ἡ χαλκῆ σφαῖρα γίνεται, ἀλλ' οὐ τὸ εἶδος τῆς σφαίρας οὐδὲ ὁ χαλκός (ἀεὶ γὰρ δεῖ προϋπάρχειν τὴν ὕλην καὶ τὸ εἶδος), οὕτω φημὶ καὶ ἐπὶ τῶν ἄλλων κατηγοριῶν. Asclep.

146 8. λύει δὲ ταύτην τὴν ἀπορίαν καὶ ἄλλως, λέγων "καὶ τῷ εἶναι ἄνευ ἀλλήλων πρότερα." τὸ δὲ λεγόμενόν ἐστιν ὡς εἰ ἔλεγε, καὶ ἐκ τούτου πάλιν πιστεύσειεν ἄν τις ὅτι πρότερά ἐστι τὰ ὅλα τῶν μερῶν, ὡς συναναιροῦντα αὐτά· τοῦ μέρους γὰρ μὴ ὄντος τὸ ὅλον ἐστίν, εἰ καὶ κολοβόν, τοῦ ὅλου δὲ μὴ ὄντος τὸ μέρος εἶναι οὐ δύναται. Alex.

δοκοῦσι δὲ τὰ καθόλου καὶ ὅλων εἶναι πρότερα· δέονται γὰρ τούτων οἱ ὁρισμοὶ τῶν μορίων, ὡς ἐν τῇ θεωρίᾳ ἐδείξαμεν καὶ ὅτι δύνανται καὶ

ὁ ἄνθρωπος εἶναι ἄνευ τοῦ δακτύλου καὶ ἡ ὀρθὴ ἄνευ τῆς ὀξείας. Asclep.

εἰ τοίνυν ἐστὶ τὸ μὲν ὕλη τὸ δὲ εἶδος, δῆλον ὅτι καὶ ἡ οὐσία ἐκ τῆς 146 15.
τούτων συμπλοκῆς. ἡ οὖν ὕλη τοῦ μὲν συνθέτου λέγεται μέρος, τοῦ δὲ
5 εἴδους αὐτοῦ καθ' αὐτὸ οὐ λέγεται εἶναι μέρος, οἷον τῆς μὲν κοιλότητος
οὐκ ἔστι μέρος ἡ σάρξ. id.

"λεκτέον γὰρ τὸ εἶδος" ἀντὶ τοῦ ὁριστέον· καὶ καθὸ εἶδος ἔχει 146 19.
ἕκαστον, ὅταν δύνηται χωρίζεσθαι τῆς ὕλης. id.

τὰ δὲ τμήματα τοῦ κύκλου ὅτε μέρη ὑπάρχουσιν ὅτε ὡς ὕλη, 146 26.
10 ἐπειδὴ δύνασθαι χωρίζεσθαι, ἐφ' οἷς τμήμασιν ἐπιγίνεται τὸ τοῦ κύκλου
εἶδος. τὰ γοῦν τμήματα πλησιάζουσι μᾶλλον τῷ εἴδει τοῦ κύκλου
ἤπερ ὁ χαλκός, ἐπειδὴ δύνασθαι καὶ ἐν χρυσῷ εἶναι ὁ αἰθηρὸς κύκλος,
ἄνευ δὲ τμημάτων εἶναι οὐ δύνασθαι, ὅταν ἐν χαλκῷ κύκλῳ γένηται.
ἰστέον δὲ ὅτι οὐδὲ τὰ στοιχεῖα πάντα τῆς συλλαβῆς ἐμπεριέχεται ἐν
15 τῷ ὁρισμῷ αὐτῆς. id.

οὐ γὰρ καὶ τὰ κήρινα στοιχεῖα ἢ τὰ ἐν τῇ χάρτῃ διὰ τοῦ μέλανος 146 28.
ἐγγραφέντα (μέρη εἰσὶ τῆς κατ' τὸν λόγον καὶ τὸ εἶδος συλλαβῆς),
διὰ τὸ καὶ ταῦτα διάστασιν ἔχειν. id.

ἰστέον δὲ ὅτι ἡ γραμμὴ διαιρουμένη δίχα καὶ ὁ ἄνθρωπος διαι- 146 30.
20 ρούμενος εἰς σάρκας καὶ νεῦρα καὶ ὀστέα φθείρουσι ὡς σύνθετα, τὸ δὲ
ἄυλον εἶδος τοῦ ἀνθρώπου οὐ φθείρει, οἷον ἡ λογικὴ ψυχή· ὅτε γὰρ
ἡ ἄυλος γραμμή. τὰ οὖν ἔνυλα εἴδη ἐκ τούτων ὑπάρχουσι τῶν
συνθέτων· τοῦ μὲν γὰρ συνόλου μέρη ὑπάρχουσι, τοῦ δὲ εἴδους τοῦ χω-
ριστοῦ οὐκέτι· διὸ ὡς ἀλλότρια λαμβάνονται ἐν τῷ ὁρισμῷ τοῦ εἴδους.
25 διὰ τοῦτο οὖν ἐπὶ μὲν τῶν ἀύλων εἰδῶν οὐ συμπεριλαμβάνεται ἡ ὕλη,
ἐπειδὴ κεχωρισμένα ὑπάρχουσιν, ἐπὶ δὲ τῶν ἐνύλων λαμβάνεται,
ἐπειδὴ ἀχώριστα ὑπάρχουσι· διὰ τοῦτο γὰρ ἔνια μὲν ἐκ τούτων, τουτέστι
τὰ σύνθετα, ὡς ἀρχαί εἰσιν· διὸ καὶ εἰς αὐτὰ φθείρονται. τὸ οὖν σι-
μὸν κτλ. Asclep.

30 οὐ γὰρ εἰ διαιρεῖται ὁ ἄνθρωπος καὶ ἡ γραμμή, ἡ μὲν εἰς τὰ ἡμίση
ὁ δὲ εἰς σάρκας καὶ ὀστᾶ, καὶ φθείρεται, ἤδη καὶ ἐκ τούτων εἰσὶν ὅτως ὡς
ὄντων τῆς οὐσίας καὶ τοῦ εἴδους μερῶν, ἀλλ' ὡς ἐξ ὕλης, τουτέστιν
ὑλικὰ μέρη ἐστὶ καὶ οὐ τοῦ εἴδους. καὶ τοῦ μὲν συνθέτου τοῦ ἐξ ὕλης καὶ

εἴδους εἰσὶ μέρη, τοῦ δ' εἴδους, οὗ ἐστὶν ὁ λόγος καὶ ὁ ὁρισμός, οὐκ εἰσίν. Alex.

ἀλλὰ περὶ μὲν τοῦ ὅπως ὁ ἀὴρ συγκηματίζεται τοῖς λεγομένοις, εἴρηται ἀκριβέστερον ἐν τῷ β' λόγῳ τῆς περὶ ψυχῆς πραγματείας. id.

147 7. τοῖς δέ, ἤτοι ἐν τοῖς λόγοις τῶν μὴ συνθέτων ἤτοι τῶν εἰδῶν, οὐχ ὑπάρξει τὰ τοιαῦτα μέρη, ἐὰν μὴ ᾖ ὁ λόγος, ἐν ᾧ ταῦτα μέλλει ἐνεῖναι, τοῦ συνθέτου. id.

γρ. διόπερ τοῖς μὲν ἐνέστι ὁ τῶν τοιούτων μερῶν λόγος, τοῖς δ' οὐ δεῖ ἐνεῖναι. cod. Reg.

147 13. ὅσα δὲ εἴδη μὴ ἐξ ἀνάγκης τῇ ὕλῃ συνδυάζεται, ἀλλ' ἄνευ τῆς ὕλης ὑπάρχουσιν οἱ λόγοι τοῦ εἴδους, ταῦτα ἢ ὅλως οὐ φθείρονται, ὥσπερ ἡ κοιλότης, ἢ οὐχ ὁμοίως ἄλλο μέρος σύνθετον οὐχ ὡς ἡ σιμότης τῆς ῥινὸς φθειρομένης πάντως φθείρεται· ὥστε ἐκείνων μὲν τῶν ἀχωρίστων μέρη καὶ ἀρχαὶ ὑπάρχουσι τὰ ὑφ' αὐτῶν, τουτέστιν ἡ ὕλη καὶ τὸ εἶδος, τοῦ δὲ εἴδους τοῦ δυναμένου αὐτοῦ καθ' αὑτὸ εἶναι καὶ μέρος ὑπάρχει ἡ ὕλη καὶ ἀρχὴ ὑλική... τοῦτ' ἔστι τὰ σύνθετα ὡς ἀρχαὶ εἰσι, διὰ καὶ εἰς αὐτὰ φθείρονται. τὸ οὖν σιμὸν ἢ ὁ χαλκοῦς κύκλος εἰς ταῦτα φθείρονται, ἐξ ὧν καὶ συνετέθησαν καὶ μέρος αὐτῶν ἡ ὕλη ὑπάρχει. Asclep.

ὅσα δὲ οὐ συνείληπται τῇ ὕλῃ, ἄνευ δὲ ὕλης ἐστίν, ὡς τὰ εἴδη, ὧν καὶ μόνων οἱ λόγοι εἰσί (τῶν γὰρ συνθέτων, ὡς δείξει, λόγοι οὐκ εἰσί), τούτων δὴ τῶν εἰδῶν ὅτι μέρη εἰσὶ ταῦτα, τὰ ὀστᾶ δηλονότι καὶ αἱ σάρκες, ὅτε φθείρεται εἰς αὐτά, ἢ ὅλως ἢ ὅτοι ὅτω γε. ὅλως μὲν οὖν οὐ φθείρεται ὁ ἄνθρωπος ἐμοῦ φθειρομένου, ὅτι μὴ τὴν ἐμὴν φθορὰν ἐκεῖνος πάλιν ἐστίν· ἀλλ' ἐπειδὴ ἐγὼ ὑπ' ἐκείνου εἰμι καὶ μέρος ὢν αὐτοῦ τυγχάνω, ἐμοῦ φθειρομένου φθείρεται κατὰ συμβεβηκὸς κἀκεῖνος. ὥστε τῶν συνθέτων ταῦτα τὰ ὡς ὕλη εἰσὶ μέρη καὶ ἀρχαί, τῶν δὲ εἰδῶν ὅτε μέρη ὅτε ἀρχαί. Alex.

148 11. ἐπειδὴ τῶν ζῴων προτέρα ἐστὶν ἡ ψυχή (τοῦτο γάρ ἐστι τὸ ἄϋλον εἶδος τοῦ ἐμψύχου· τὸ γὰρ εἶδος τοῦ ἐμψύχου σώματος ἡ ψυχή ἐστιν), ἀμέλει τοι ἕκαστον μέρος τοῦ σώματος, ἐὰν δὲ ὄντως ὁρίζηται, οὐκ ἄνευ τοῦ οἰκείου ἔργου καὶ τῆς οἰκείας ἐνεργείας ὁριεῖται· αὕτη δὲ ἡ ἐνέργεια οὐχ ὑπάρχει τῷ μορίῳ ἄνευ ψυχῆς. Asclep.

εἰπὼν δὲ ὅτι τὰ μέρη χωριζόμενα ὑ δύναθ εἶναι, τὴν αἰτίαν 143 17.
τῦ πῶς ὑ δύναθ εἶναι ἐπήγαγεν, εἰπὼν "ὐδὲ γὰρ ὁ πάντως ἔχων
δάκτυλος ζῴῦ," ἴσον λέγων τῷ χωριθεὶς ὁ δάκτυλος τῦ ζῴῦ ὡς
μὴ σῶμα δύναθ εἶναι, ὡς δὲ δάκτυλος ὐδαμῶς. Alex.

5 καὶ ἔνια μὴ τῶν τῦ ὅλυ μορίων χωριθέντα δύναθ τὸ ὅλον ἄνευ 143 18.
ἐκείνων εἶναι, ἔνια δὲ χωριθέντα εὐθὺς συναναιρεῖ τὸ ὅλον, ὅσα
ἐςὶ κύρια καὶ ἐν οἷς πρώτοις ἔςιν ὁ λόγος καὶ ἡ ὑσία, τυτέςιν ἡ
ψυχή· ἡ ψυχὴ γὰρ τῶν ζῴων ἐςὶ τὸ εἶδος. εἴτε ὖν ἐςὶν ἡ καρδία
ἀρχὴ τῶν ζῴων καὶ ἐν ταύτῃ πρώτως ἐςὶν ἡ ψυχή, ὡς τύτῳ δοκεῖ,
10 εἴτε ὁ ἐγκέφαλος, ὡς Ἱπποκράτει καὶ Πλάτωνι, ἅμα τῷ χωριθῆναι αὐτῦ ταῦτα, φθείρυσι τὸ ὅλον. id.

ἢ φησιν ὅτι "ὁ δὲ καθόλυ ἄνθρωπος καὶ ἵππος καὶ τὰ ὕτως," 143 22.
τυτέςι καὶ ἁπλῶς τὰ καθόλυ, ἐπὶ τῶν καθ' ἕκαςα ἤται ἐν τοῖς καθ'
ἕκαςά εἰσι, καθόλυ δὲ ὑσία καὶ εἶδος αὐτὸ καθ' αὐτὸ καὶ χωρὶς τῶν
15 κατ' μέρος ὐκ ἔςιν. id.

τῦ τοίνυν συνθέτυ κύκλυ τῦ χαλκῦ καὶ τῶν καθ' ἕκαςα 149 6.
αἰθητῶν ἢ μαθηματικῶν, πάντων φησὶ τῶν τοιύτων ὐκ ἔςιν ὁρισμός, ἀλλὰ μετ' αἰθήσεως γνωρίζονθ· φθαρὲν δὲ ὐκέτι δῆλόν ἐςι πότερον ἔςιν ἢ ὔ. Asclep.

20 αἰθητὴ μέν, οἷον χαλκὸς ξύλον καὶ πᾶσα ἡ κινητὴ ὕλη, ἡ δὲ 149 12.
νοητὴ ἡ ἐν τοῖς αἰθητοῖς ὑπάρχυσα καθὸ αἰθητά, οἷον τὰ μαθηματικά. κύκλον γὰρ νοῶ ἐν τῷ σώματι καὶ ἐξ ἀναιρέσεως αὐτὸν λαμβάνω· τοιαῦτα δὲ τὰ μαθηματικά. Asclep.

ἔτι τὸν περὶ τῦ ὅλυ καὶ μέρυς λόγον γυμνάζει, καί φησιν, ὅταν 149 15.
25 τις ἔρηθ πότερον τὸ ζῷον καὶ ἡ ὀρθὴ γωνία καὶ ὁ κύκλος πρότερον ἢ εἰς ἃ διαιρῦνθ, τυτέςιν ἢ τὰ μόρια αὐτῶν (εἰς γὰρ τὰ μόρια αὐτῦ τὸ ζῷον καὶ ὁ κύκλος καὶ ἡ ὀρθὴ γωνία διαρεῖθ) — ὅταν ὖν τις ἔρηθ πότερον τὰ ὅλα ἐςὶ πρότερα ἢ τὰ μόρια εἰς ἃ διαιρῦνθ καὶ ἐξ ὧν εἰσίν, ἀνάγκη ἀπαντᾶν καὶ ἀποκρινεθαι "ὅτι ὐχ ἁπλῶς," τυτέςιν
30 ἀνάγκη πρὸς τὴν τοιαύτην ἐρώτησιν ἀποκρινεθαι ὅτι τὸ μέρος ὐχ ἁπλῶς καὶ μοναχῶς λέγεθ ἀλλὰ πολλαχῶς. εἰ γὰρ τὸ μέρος τῦ εἴδυς λέγεις, ὅτι πρότερόν ἐςι τῦ ὅλυ, ὡς πολλάκις εἴρηθ· εἰ δὲ τῦ συνθέτυ τῦ ἐξ ὕλης καὶ εἴδυς, ὕςερον. ἀλλὰ ταῦτα μὴ τῦ σαφῦς χάριν προείρηθ· αὐτὸς δὲ πάλιν τὸν τρόπον καθ' ὃν δεῖ ἀποκρινεθαι

ὑφηγεῖ), λέγων "εἰ μ̄ γάρ ἐςι ϗ ψυχὴ τὸ ζῷον," τυτέςιν, εἰ μ̄ γάρ ἐςιν ἡ ψυχὴ τὸ κ̄ τὸ εἶδος ζῷον, ἤτοι εἰ μέν ἐςιν ἡ ψυχὴ τὸ τῦ ζῴυ εἶδος, ϗ τὸ τί ἦν εἶναι ζῴῳ εἶναι· εἰ δὲ μή ἐςιν ἡ ψυχὴ τὸ ζῴῳ εἶναι, ἀλλ' ἔςι τὸ ζῴῳ εἶναι τὸ ἔμψυχον. Alex.

ὡς φησὶν ὁ ἡμέτερος διδάσκαλος, ὅτι ἐνταῦθα τὰ αὐτὰ λέγει, ἔτι ἀσαφέςερον ποιῶν τὸν λόγον. καί φησιν ὅτι ἐάν τις ἡμᾶς ἔρηϑ πότερον ἡ ὀρθὴ ϗ ὁ κύκλος ϗ τὸ ζῷον ϗ ἁπλῶς εἰπεῖν τὰ ὅλα πρότερα ὑπάρχυσιν ἢ τὰ μέρη αὐτῶν, ὑ δεῖ ἁπλῶς ϗ ἀβασανίςως ἀποκρίνεϑαι. εἰ μ̄ γάρ ἐςι ϗ ἡ ψυχὴ ζῷον, ϗ μέρος τῦ ἐμψύχυ τὸ ζῷον· ἡ ἑκάςυ γὰ ψυχὴ ἡ ἕκαςόν ἐςιν· ϗ πάλιν μέρος τῦ κύκλυ ἐςὶ τὸ εἶναι κύκλῳ ϗ ὀρθῆς τὸ ὀρθῇ εἶναι, τυτέςι τὸ ἄϋλον εἶδος τῆς ὀρθῆς. ἐὰν ὖν, φησίν, ἔρηταί τις ἡμᾶς, φατέον ὕςερα εἶναι ἐκεῖνα ὧν ἐν τῷ ὁρισμῷ τὰ μέρη παραλαμβάνονϑ· εἰς γὰ τὸν ὅρον τῆς τινὸς ὀρθῆς, οἷον τῆς χαλκῆς, περιλαμβάνεϑ ἡ ἁπλῶς ὀρθή, ὥςε πρότερα ὑπάρχει ϗ ἐν ταῖς γραμμαῖς ταῖς καθ' ἕκαςα ἡ ἁπλῶς γραμμή. ἡ τοίνυν ἄνευ ὕλης, τυτέςιν ἡ καθόλυ, ὑςέρα ἐςὶν ἐκείνων τῶν παραλαμβανομένων. Asclep.

1491 8. εἰ δὲ μή ἐςιν ἡ ψυχὴ τὸ ζῴῳ εἶναι, ἀλλ' ἔςι τὸ ζῴῳ εἶναι τὸ ἔμψυχον, ἢ εἰ μηδέ ἐςι τὸ ἔμψυχον τὸ ζῴῳ εἶναι, ἀλλ' ἔςιν ἕκαςον ἡ ἑκάςυ ψυχή, ϗ κ̄ ταύτην εἰδοποιεῖϑ, οἷον ὁ ἄνϑρωπος κ̄ τὴν ἑαυτῦ, ϗ ὁ ἵππος ὁμοίως κ̄ τὴν ὑσίαν, ϗ ὅλως ἕκαςον κ̄ τὴν ἰδίαν· ὡσαύτως ϗ εἰ ἔςιν ὁ κύκλος τὸ κύκλῳ εἶναι ϗ ἡ ὀρθὴ τὸ ὀρθῇ εἶναι. εἰ δὴ τῦθ' ὕτως ἔχει, τί μ̄ ϗ τίνος φατέον ὕςερον, οἷον τῶν ἐν τῷ λόγῳ, τυτέςι τί μ̄ μέρος ϗ τίνος χρὴ λέγειν ὕςερον, τί δὲ ὑχ ὕςερον ἀλλὰ πρότερον τῦ ὅλυ; τί μ̄ ὖν, φησί, τῶν ἐν τῷ λόγῳ. λόγον δὲ ἐνταῦθα ὑ τὸ εἶδος λέγει, ἀλλὰ παραδόξως τὸ ἐξ ὕλης ϗ εἴδυς. τύτων ὖν τῶν ἐν τῷ λόγῳ τί φατέον ὕςερον τῦ ὅλυ; ϗ τῦ ὅλυ δὲ ὑχ ἁπλῶς· ὑ γὰ ϗ τῦ κ̄ τὸ εἶδος, ἀλλὰ τῦ τινὸς ϗ συνθέτυ, οἷον τῆς τινὸς ὀρθῆς τῆς μ̄ τῆς ὕλης. Alex.

γρ. ἡ ἑκάςυ. cod. Reg.

1492 3. ἡ μ̄ ὖν μ̄ τῆς ὕλης γωνία ἢ σφαῖρα ἢ ὅτι ἂν εἴη, τῶν μορίων αὐτῆς πρότερα ἐςίν, ἡ δὲ ἄνευ ὕλης τῶν μ̄ ἐν τῷ λόγῳ ὑςέρα. Alex.

φησὶν ὅτι ἀπορεῖ ποῖα ἄρα ὑπάρχουσι τοῦ εἴδους αὐτοῦ καθ' 14923.
αὐτὸ λαμβανομένου μέρη καὶ ποῖα τοῦ συνθέτου· τούτου γὰρ μὴ γνω-
θέντος οὐκ ἔστιν ὁρίσασθαι. Asclep.

τὸ συνειλημμένον τοῦ συνθέτου ἐστὶ δηλωτικόν. Alex. 14929.

5 καὶ οὕτως γὰρ οὐδὲν ἦν ὁ χαλκὸς τῆς τοῦ κύκλου οὐσίας. Asclep. 15011.

ἐπεὶ δὲ τοῦτο μέν, λέγω δὲ τὸ εἶδος τοῦ ἀνθρώπου, χωρίζειν 15017.
τῇ ἐπινοίᾳ τῶν σαρκῶν καὶ ὀστῶν ἐνδέχεται, ἄδηλον δέ ἐστι πότε χω-
ρισθήσεται· οὐ γάρ ἐστι δῆλον· ὥσπερ ἐπὶ τοῦ κύκλου ἀποροῦσί τινες,
λέγων τινὰς τοὺς Πυθαγορείους, καὶ ἐπὶ τοῦ κύκλου καὶ τοῦ τριγώνου καὶ
10 τῆς γραμμῆς λέγοντες ὡς οὐ χρὴ ταῦτα γραμμαῖς ὁρίζεσθαι καὶ
λέγειν, κύκλος ἐστὶ σχῆμα ἐπίπεδον ὑπὸ μιᾶς γραμμῆς περιεχό-
μενον, ἢ τριγώνον τὸ ὑπὸ τριῶν γραμμῶν, ἢ πάλιν γραμμή ἐστι
μῆκος συνεχὲς ἐφ' ἓν διαστατόν· ἡ γὰρ γραμμὴ τῷ τε κύκλῳ καὶ τῷ
τριγώνῳ ὡς ὕλη ὑπόκειται, ὁμοίως δὲ καὶ τὸ συνεχὲς τῇ γραμμῇ,
15 ὥσπερ καὶ αἱ σάρκες καὶ τὰ ὀστᾶ τῷ ἀνθρώπῳ καὶ ὁ χαλκὸς τῷ ἀν-
δριάντι· εἰ οὖν τὸν ἄνθρωπον διὰ τῶν ὀστῶν καὶ σαρκῶν μὴ ὁριζόμεθα
διὰ τὸ εἶναι μέρη ὑλικά, οὐδ' ἄρα τὸν κύκλον καὶ τὸ τρίγωνον διὰ τῆς
γραμμῆς ὁρίζεσθαι χρή, οὔτε τὴν γραμμὴν διὰ τοῦ συνεχοῦς, καὶ διὰ
τοῦτο, λέγω δὴ τὸ λέγειν ὅτι ἡ γραμμὴ καὶ τὸ συνεχὲς ὡς ὕλη ἐν
20 τῷ τριγώνῳ καὶ τοῖς λοιποῖς εἰσίν, ἀνάγουσι ταῦτα πάντα εἰς τοὺς
ἀριθμούς, διὰ τὸ ἀΰλους αὐτοὺς εἶναι καὶ μὴ ἔχειν ὑποκείμενόν τι ὡς
ὕλην, ἀλλ' αὐτοὺς καθ' αὐτοὺς εἶναι, καί φασιν ὅτι ὁ λόγος τῆς
γραμμῆς ἐστὶν ὁ τῆς δυάδος· ἐπειδὴ γὰρ δυάς ἐστι τὸ πρῶτον δια-
στατόν (εἰς πρώτην γὰρ τὴν δυάδα ἡ μονὰς διέστη, καὶ οὕτως εἰς τὴν
25 τριάδα καὶ τοὺς ἑξῆς ἀριθμούς), εἴπερ ὁριζόμεθα φασὶ τὴν γραμμήν,
οὐ χρὴ λέγειν αὐτὴν ποσὸν ἐφ' ἓν διαστατόν, ἀλλὰ γραμμή ἐστι τὸ
πρῶτον διαστατόν· τὸ γὰρ πρῶτον οὐχ ὡς ὕλη ἐστὶ καὶ ὑπόκειται τῇ
γραμμῇ, ὥσπερ τὸ συνεχές. καὶ τῶν τὰς ἰδέας λεγόντων οἱ μέν
φασιν ὅτι ἡ αὐτογραμμὴ ἤτοι τὸ εἶδος τῆς γραμμῆς, ὅπερ ἐστὶν
30 ἕτερον παρὰ τὰς καθ' ἕκαστον γραμμάς, ἡ δυάς ἐστιν, οἱ δὲ λέ-
γουσιν ὅτι οὐκ ἔστιν ἡ αὐτογραμμὴ ἡ δυάς, ἀλλ' αὐτογραμμή ἐστι
τὸ εἶδος τῆς γραμμῆς. καί φασιν οἱ οὕτω λέγοντες ὅτι κοινὰ μὲν
τό τε εἶδος καὶ τὸ οὗ ἐστιν εἶδος, ταὐτά ἐστιν, οἷον ὁ ἄνθρωπος καὶ ὁ
Σωκράτης, οὗ ἐστὶν εἶδος ὁ ἄνθρωπος, ταὐτόν εἰσι, καὶ ἡ αὐτοδυὰς

καὶ ἥδε ἡ δυάς, ἧς ἐστὶν εἶδος ἡ αὐτοδυάς, ταὐτά ἐστιν. ἐπὶ δὲ τῆς γραμμῆς τοῦτο οὐ συγχωροῦσιν, ἀλλὰ τὴν μὲν γραμμὴν τήνδε τὴν μερικὴν εἶναι γραμμὴν λέγουσιν, τὸ δὲ εἶδος αὐτῆς μὴ εἶναι γραμμὴν ἀλλὰ δυάδα. καὶ ἐνίσταται εὐθὺς πρὸς τὸν λέγοντα λόγον μὴ εἶναι γραμμὴν τὴν ὡς εἶδος γραμμήν, ἀλλὰ δυάδα, λέγων "συμβαίνει δὴ" κτλ. Alex.

ἀποροῦσί τινες καὶ ἐπὶ τοῦ κύκλου καὶ τοῦ τριγώνου, ὅτι οὐδὲ τῶν γραμμῶν ὑπάρχουσιν ὁρισμοὶ οὐδὲ τῶν συνεχῶν, τουτέστι τῶν μεγεθῶν· καὶ ταῦτα γὰρ πάντα, φησίν, ὁμοίως λέγεται ὥσπερ αἱ σάρκες καὶ ὀστᾶ. Asclep.

150 22. γρ. ἢ ἀνδριάντος. cod. Reg.

151 2. γρ. πάντως. id.

γρ. καὶ αὐτογραμμῆς. id.

φησὶν ὅτι ἄπορος ὁ περὶ ὁρισμῶν λόγος, εἴγε τῶν εἰδῶν ὑπάρχουσιν οἱ ὁρισμοί, αὐτὰ δὲ καθ' αὑτὰ τὰ εἴδη οὐ ῥᾴδιόν ἐστιν ἑλεῖν, ἐπειδὴ μήτε ἴσμεν ποῖα μέρη ὑπάρχουσι τῶν εἰδῶν καὶ ποῖα τῶν συνθέτων. καὶ πάλιν τὸ ποιεῖν πάντων ἰδέας καὶ πάντα χωρίζειν τὰ εἴδη οὐκ ἀληθές· πῶς γὰρ δυνατόν ἐστι χωρίσαι τὴν σιμότητα, ἥτις οὐ δύναται ὑποστῆναι ἄνευ ῥινός; τοῦτο γὰρ ἐδήλωσεν εἰπὼν "τόδε ἐν τῷδε ἐστίν, ἢ ὡδὶ τάδε ἔχοντα," ὥσπερ ἐπὶ τοῦ ἀνθρώπου καὶ τῶν σαρκῶν. εἶτα λοιπὸν μέμφεται τῷ Σωκράτει τῷ νεωτέρῳ, ὃ μέμνηται Πλάτων ἐν τῷ Πολιτικῷ· σύγχρονος δὲ οὗτος γεγονὼς Θεαιτήτου· ἔξω γάρ, φησί, τῆς ἀληθείας ὁ παρ' αὐτοῦ λόγος ἀπάγει ἡμᾶς· φησὶ γὰρ ὅτι δυνατὸν εἶναι τὸν ἄνθρωπον ἄνευ τῶν μερῶν, ὥσπερ τὸν κύκλον ἄνευ τοῦ χαλκοῦ. Asclep.

151 7. ταῦτα εἰπὼν αἰτιᾶται τὸν νεώτερον Σωκράτην ὡς οὐ καλῶς ἐκ τῆς ἐπαγωγῆς κατασκευάζοντα τὸ εἶναι ἰδέας. νεώτερον δὲ Σωκράτην ἢ τὸν Πλάτωνα λέγει, ἤ, ὃ καὶ μᾶλλον, τὸν ὁμώνυμον τῷ τοῦ Πλάτωνος διδασκάλῳ Σωκράτην. ποιεῖται γάρ τινα Σωκράτην ὁ Πλάτων προσδιαλεγόμενον μετὰ τοῦ γηραιοῦ Σωκράτους. οὗτος δὲ ὁ Σωκράτης ἀπό τινος ἀληθοῦς κατασκευάζειν ἐπειρᾶτο ὅτι ἔστιν ἄνθρωπος ἄνευ μερῶν ὑλικῶν· ἔλεγε γὰρ ὅτι ὥσπερ ἄνευ χαλκοῦ καὶ ἄνευ λίθου καὶ ξύλου δύναται εἶναι κύκλος, οὕτως καὶ ἄνθρωπος χωρὶς σαρκῶν καὶ ὀστῶν. Alex.

τὸ δὲ πάντα ἀνάγειν καὶ ἰδέας ποιεῖν, χωρίζοντας τὴν ὕλην, περίεργον. ἐπ' ἐνίων γὰρ φανερὸν ὅτι τόδε ἐν τῷδε ἐςίν, οἷον τὸ εἶδος ἐν τῇ ὕλῃ· τὸ γὰρ τῆς οἰκίας εἶδος ἐν λίθοις καὶ ξύλοις ἐςὶ καὶ τὸ τοῦ ἀνδριάντος ἐν χαλκῷ, ἀλλ' οὐ χωριςὰ αὐτὰ καθ' αὐτά. καὶ τοῦτο ὁμολογοῦσι καὶ οἱ τὰς ἰδέας τιθέμενοι. εἰ δὲ τοῦτο, τίνος ἕνεκα αὐτῶν μὴ ἰδέαι οὐκ εἰσίν; τὸ δ' "ἴσως" πρόσκειται διὰ φιλόσοφον εὐλάβειαν, ἢ ὅτι τοῦτο δείξει μετ' ὀλίγον, λέγω δὴ τὸ μὴ εἶναι ἰδέας, ἢ καὶ διὰ τὰ προδεδειγμένα ἐν τῷ μείζονι ἄλφα καὶ τοῖς ἐφεξῆς. id.

εἰπὼν πρότερον ὅτι ἐπὶ μὲν τῷ τῆς συλλαβῆς λόγῳ λαμβάνει τὰ ςοιχεῖα διὰ τὸ μὴ εἶναι ὕλης μέρη ἀλλ' εἴδους, ἐπὶ δὲ τοῦ κύκλου οὐ λαμβάνει τὰ ἡμικύκλια, ὅτι ἔνυλά εἰσι καὶ μέρη ὕλης, συνεῖδεν ἔνςασίν τινα δυναμένην τρὸς τὸν λόγον φέρειν, ἣν παρατίθησι καὶ λύει. ἔφθημεν δὲ ἡμεῖς εἰπόντες ὅτι περὶ τῆς συλλαβῆς ἔλεγεν, ὅπως τὰ μὲν ἡμικύκλια ὕλης εἰσὶ μέρη, τὰ δὲ ςοιχεῖα οὐκ εἰσίν· καὶ οἶμαι καὶ ταῦτα ἐκείνοις ἔδει συντάττειν, καὶ ἴσως ὑπὸ μὲν Ἀριςοτέλους συντέτακται (ἐν οὐδεμιᾷ γὰρ τῶν ἄλλων αὐτοῦ πραγματειῶν εὑρίσκεται τοιοῦτόν τι πεποιηκὼς ὁποῖα ἐνταῦθα φαίνεται), ὑπὸ δὲ τοῦ Εὐδήμου κεχώρισται. ἔςι δὲ ἡ ἔνςασις τοιαύτη· διὰ τί οὐκ εἰσὶν οἱ λόγοι τῶν ἡμικυκλίων ἤτοι τὰ ἡμικύκλια μέρη τοῦ λόγου τοῦ κύκλου; οὐ γάρ ἐςιν αἰσθητά, ὡς ὁ χαλκὸς καὶ τὰ ὀςᾶ καὶ αἱ σάρκες, ἵνα ὡς ὕλης μέρη ταῦτα λέγηται. εἰ δ' οὐκ εἰσὶν ὑλικά, διὰ τί οὐκ ἐν τῷ τοῦ κύκλου λόγῳ ἐλήφθη; καὶ λύει ταύτην λέγων "ἢ οὐδὲν διαφέρει;" κἂν τε γὰρ αἰσθητά ἐςι τὰ ἡμικύκλια κἂν τε μὴ αἰσθητά, ὕλης εἰσὶ μέρη καὶ ὕλη· οὐ γὰρ πᾶσα ὕλη αἰσθητή. οὐδὲ πάλιν μόνον τῶν αἰσθητῶν ἐςὶν ὕλη, ἀλλ' ἔςι καὶ ὕλη μὴ αἰσθητή, ἔςι καὶ ὕλη μὴ αἰσθητῶν, καὶ οὐδὲν κωλύει μὴ αἰσθητῶν ὄντων τῶν τμημάτων εἶναι αὐτῶν ὕλην οὐκ αἰσθητήν. καὶ ἁπλῶς παντός, ὃ μή ἐςι τί ἦν εἶναι καὶ εἶδος αὐτὸ καθ' αὐτό, ἔςι τούτου ὕλη· ὥςε δῆλον ἐκ τούτου ὅτι καὶ ὁ καθόλου ἄνθρωπος, ἐπειδὴ μή ἐςι καθ' αὐτόν, ἔςι καὶ αὐτοῦ ὕλη, ἀλλὰ νοητή· ἡ μὲν γὰρ τῶν ὑλῶν αἰσθητή ἐςιν ἡ δὲ νοητή· ὥςε δῆλον ὅτι τοῦ μὲν καθόλου κύκλου τὰ ἡμικύκλια οὐκ ἔςαι μέρη ταῦτα, ὥσπερ εἴρηται. id. 151 15.

ἰςέον ὅν ὅτι ὐδὲν διαφέρει τῦ λέγειν σάρκα ἢ ἡμικύκλιον· ἔςι γὰ ἡ ὕλη ἐπ' ἐνίων καὶ μὴ ὄντων αἰαθητῶν καὶ παντὲς πράγματος, μὴ ὄντος εἴδυς χωριςῦ· ὥςε τῦ καθόλυ κύκλυ τῦ διαςατῦ ὐχ ὑπάρχυσι μέρη ταῦτα τὰ ἡμικύκλια, εἴγε καὶ διαςατὰ αὐτὰ ὑπεθέμεθα, τῶν δὲ καθ' ἕκαςα μέρη ταῦτα ὑπάρχυσιν, ὥσπερ εἴρηται· πρότερον γὰ τῦ λόγυ τῦ κύκλυ· ἐν τύτοις γὰ θεωρῦνται οἱ καθ' ἕκαςα κύκλοι· ἔςι γὰ ὕλη ἡ μὶ αἰαθητή, οἷον χαλκῆ, ξυλίνη, ἡ δὲ νοητή, ἡ τῶν ἡμικυκλίων. Asclep.

151 26. Σωκράτης δὲ καὶ ὁ Κορίσκος εἰ μὶ κὶ τὴν ψυχὴν μόνον χαρακτηρίζονται, διττόν ἐςι, συγκείμενον ἐκ ψυχῆς καὶ σώματος· οἱ μὶ γὰ τὴν ψυχὴν φασι τὸν ἄνθρωπον, οἱ δὲ τὸ σύνθετον. εἰ δὲ ἁπλῶς λέγονται, τυτέςι μοναχῶς, ἡ ψυχὴ καὶ τὸ σῶμα ὡς ἕν, ὥσπερ ἡ βα συλλαβή, καὶ ἁπλῶς καθ' ἕκαςόν, ἡνίκα συνταχθῇ ἐν λέξει ἐν τῇ βάρος· ὕτως ὅν ἐςὶ καὶ ἁπλῶς ἄνθρωπος καὶ ὁ καθ' ἕκαςα θεωρεῖται· ὕτως δέ ἐςιν ὁ λόγος ὁ δημιυργικός. id.

Σωκράτης δὲ καὶ Κορίσκος, φησίν, εἰ μέν ἐςι καὶ ἡ ψυχὴ αὐτῦ εἶδος αὐτῦ καὶ εἰδοποιεῖται κατ' αὐτήν, ἔςαι διττὸν ζῷον ἐκ ψυχῆς καὶ σώματος ἤτοι ἐξ εἴδυς καὶ ὕλης· καὶ οἱ μὶ τῶν ἀνθρώπων ἐρῦσι τὸν Σωκράτην ὡς ψυχήν, τυτέςιν ὡς εἶδος, ἀφορῶντες εἰς τὴν ψυχὴν αὐτῦ μόνην, οἱ δὲ ἐρῦσιν αὐτὸν ὡς τὸ σύνολον, ἤτοι ἐκ
151 28. ψυχῆς καὶ σώματος, ἀποβλέποντες εἰς ἀμφότερα. "εἰ δὲ ἁπλῶς ἡ ψυχὴ ἥδε καὶ σῶμα τόδε," τυτέςιν εἰ δέ τις τὴν τῦ Σωκράτυς ψυχὴν ὐκ εἶδος τῦ Σωκράτυς λέγει ἁπλῶς, ἀλλὰ ἁπλῶς λέγει Σωκράτην ὐ Κορίσκον, ὡς ἔχει ἡ καθόλυ ἀνθρώπειος ψυχὴ πρὸς τὸ καθόλυ ἀνθρώπειον σῶμα, ἔχει καὶ ἡ καθ' ἕκαςα πρὸς τὸν καθ' ἕκαςον. εἰ μὶ ὅν ἐςὶν εἶδος τῦ καθόλυ ἀνθρωπείυ σώματος ἡ καθόλυ ἀνθρώπειος ψυχή, ἔςαι καὶ ἡ τῦ Σωκράτυς ψυχὴ πρὸς τὸ τῦ Σωκράτυς σῶμα εἶδος. εἰ δὲ μή ἐςιν ἡ καθόλυ ἀνθρώπειος ψυχὴ τῦ καθόλυ ἀνθρωπείυ σώματος εἶδος, ὐδ' ἡ καθ' ἕκαςα τῦ καθ' ἕκαςα. ἐπειδὴ τῆς φυσικῆς ἐςὶ τὸ περὶ τῶν ἐνύλων εἰδῶν θεωρεῖν, ἀλλ' ὐ τῆς προκειμένης πραγματείας, αὐτὸς δὲ δι' ὅλυ τῦ βιβλίυ περὶ τῶν ἐνύλων εἰδῶν τὴν σκέψιν ἐποιήσατο, ὥσπερ ἑαυτῷ ἀπολογίαν πορίζόμενός φησι "πότερον ἐςι" κτλ. (p. 1037 a 10). Alex.

λέγει δὲ ἀριθμοὺς τὰς ἰδέας ἤ τι τοιοῦτον, καί φησιν ὅτι ὕστε- 1523.
ρον ἐπισκεψόμεθα περὶ τούτου· καὶ ζητήσει καὶ ἐν τῷ παρόντι βιβλίῳ, ζητήσει δὲ μάλιστα καὶ ἐν τῷ M. id.

διὰ τοῦτο γὰρ καὶ θεολογοῦντες περὶ τῶν αἰθητῶν διαλεγόμεθα, 1524.
5 ἐπειδὴ φιλοσοφίας ἐστὶ τῆς δευτέρας, φημὶ δὴ τῆς φυσικῆς, περὶ τῶν αἰθητῶν οὐσιῶν διαλέγεται, ἐπειδὴ τὰς ἰδέας τούτων τῶν αἰθητῶν λέγουσιν εἶναι. Asclep.

οὐ μόνον γὰρ τοῦ φυσικοῦ ἐστὶ τὸ περὶ τῆς ὕλης θεωρεῖν, ἀλλὰ καὶ 1521 1.
περὶ τοῦ ἐνύλου εἴδους, καὶ μάλιστα, ὡς ἐν τῷ B τῆς Φυσικῆς
10 Ἀκροάσεως (c. 1. 2) ἔγνωμεν. ἀλλὰ καὶ περὶ τῶν ὁρισμῶν φησί, πῶς ἐστὶ μέρη τὰ ἐν τῷ ὁρισμῷ τοῦ ὁριστοῦ, καὶ πῶς εἷς ἐστὶν ὁρισμὸς ἐκ πλειόνων ὑπάρχων· ἐκ γὰρ γένους καὶ διαφορῶν· δῆλον γὰρ ὅτι ἐπειδὴ τὸ πρᾶγμα, οἷον τὸ ὁριστόν, ἕν ἐστι, καὶ αὐτὸς εἷς ἐστίν. πῶς δὲ πρᾶγμα ἔχον μέρη; δῆλον ὡς ἑνοῦν τι αὐτό ἐστιν ἕν. περὶ τού-
15 των δὴ σκεπτέον ὕστερον, καὶ ἐρεῖ περὶ τούτου. πρὸ πάντων ὅσον οὔπω ταῦτα εἰπὼν ἀνακεφαλαιοῦται τὰ διὰ πλειόνων λεχθέντα. Alex.

πανάπορός ἐστιν ὁ λόγος, πῶς μέρη ὑπάρχουσιν ἐπὶ τῶν ὁρισμῶν τὰ ἐν τῷ λόγῳ, καὶ διότι εἷς λόγος γίνεται ὁρισμός; δῆλον ὅτι τὸ πρᾶγμα ἕν ἐστιν, εἷς ὁρισμός, ἐπεὶ οὐκ ἔμελλεν εἶναι εἷς. πῶς δὲ
20 ἓν γίνεται τὸ πρᾶγμα μέρη ἔχον, ὕστερον ἐροῦμεν. καὶ μετ' ὀλίγον περὶ τῶν δύο ἀπορίων ἐρεῖ. Asclep.

οὐδὲ γὰρ εἰσιν ἐκείνης τῆς οὐσίας καὶ τοῦ εἴδους αἱ σάρκες καὶ τὰ 1522 3.
ὀστᾶ μόρια, ἀλλὰ τῆς συνόδου, λέγω δὴ τῆς συνθέτου τῆς ἐξ ὕλης καὶ εἴδους. τῆς δὲ συνθέτου οὐσίας τρόπον μέν τινα ἔστιν ὁρισμός, τρό-
25 πον δέ τινα οὐκ ἔστιν· κατὰ μὲν γὰρ τὴν ὕλην τὴν ἐν αὐτῇ, οἷον σαρκῶν καὶ ὀστῶν καὶ νεύρων, οὐκ ἔστι κτλ. Alex.

"δὶς γὰρ ἐν τούτοις ὑπάρξει ἡ ῥίς," τουτέστιν εἴρηται ἡμῖν καὶ περὶ 1522 5.
τῶν συνθέτων ὅτι εἰ ἔστι τούτων ὁρισμός, συμβαίνει δὶς τὸ αὐτὸ λέγειν· ἐν γὰρ τῇ ῥινὶ τῇ σιμῇ ἢ τῷ Καλλίᾳ ἔνεστι καὶ ὕλη καὶ εἶδος·
30 ἀλλ' εἰ τοῦτο, οὐκ ἂν εἴη ὁρισμὸς αὐτοῖν· συμβήσεται γὰρ δὶς τὸ αὐτὸ λέγειν. οὐ μόνον δὲ περὶ τούτων εἴρηται, ἀλλ' ὅτι καὶ ἕκαστον καὶ τὸ τί ἦν εἶναι αὐτοῦ ἐπί τινων ταὐτόν ἐστιν, ὥσπερ καὶ ἐπὶ τῶν πρώτων οὐσιῶν ἐξηγεῖται τίς ποτέ ἐστιν ἡ πρώτη οὐσία, φάσκων "λέγω δὲ πρώτην ἣ μὴ λέγεται τῷ" κτλ. Alex.

Digitized by Google

1532. ὅσα δὲ ὡς ἐν ὕλῃ θεωρῶν), ταῦτα ἕν τι ὑπάρχουσιν ἀμφότερα, τὸ εἶδος καὶ ἡ ὕλη· τὸ δὲ ἓν τοῦτο οὐσιῶδές ἐστι καὶ οὐ κατὰ συμβεβηκός, ὥσπερ ὁ Σωκράτης καὶ ὁ μουσικὸς Σωκράτης κατὰ συμβεβηκός ἐστιν ἕν. Asclep.

1533. ὡς ἐν ὕλῃ δὲ ἢ ὡς ἐν συνειλημμένῳ τῇ ὕλῃ τῷ Σωκράτει ἐστὶ τὸ μουσικόν· ὡς ὕλη γὰρ ὑπόκειται ὁ Σωκράτης τῷ μουσικῷ. καὶ ἐπὶ τούτῳ ὁ Σωκράτης καὶ τὸ μουσικὸν καθ' αὑτὸ μὴ οὐκ εἰσὶ ταὐτόν, κατὰ συμβεβηκὸς δέ. Alex.

1536. ἐπειδὴ ἐν τῷ δευτέρῳ βιβλίῳ τῶν δευτέρων Ἀναλυτικῶν ἐκίνησε τὸν περὶ ὁρισμῶν λόγον, φησὶν ἐνταῦθα ὅτι εἴ τι ἡμῖν ἐκεῖ παραλέλειπται περὶ ὁρισμῶν, ἐνταῦθα ἀναπληροῦμεν. Asclep.

1539. ἡ δὲ ἀπορία, φησίν, ἔστι, διὰ τί ποτε τὸ ὁριστόν, οὗ τὸν λόγον φαμὲν εἶναι ὁρισμόν, ἐκ πλειόνων ἕν ἐστιν ἀλλ' οὐ πολλά. Alex.

1532 20. αἷς τὸ γένος διαφέρει, τουτέστιν αἷς διαιρεῖται τὸ γένος. ἡ γένος ἐνταῦθα λέγοι ἂν τὸ εἶδος, καὶ εἴη ἂν λέγων ὅτι αἱ διαφοραί, αἷς τὰ εἴδη διαφέρει, ἐναντίαι εἰσίν. πολλαχοῦ δὲ αὐτῷ σύνηθες τὰ εἴδη γένη λέγειν. id.

ἐνστὰς οὖν ὅτι τῶν διαφορῶν ἐναντίων οὐσῶν οὐ μετέχει τὰ γένη, λύει τοῦτο κατὰ ἀντιπαράστασιν, λέγων "εἰ δὲ καὶ μετέχει," ὃ δὴ ἐλλιπῶς λίαν εἴρηται· ἐξ ὧν δὲ ἐπάγει τοῦτο οἶμαι βούλεται λέγειν. εἰ δέ τις φῇ, ἀλλ' οὐ μετέχει τὸ γένος τῶν ἐναντίων διαφορῶν, ἀλλὰ τοῦ πεζοῦ καὶ τοῦ δίποδος καὶ τοῦ ἀπτέρου, ἅπερ οὐκ εἰσὶν ἐναντία, εἰ δὴ τούτων μετέχει, ὁ αὐτὸς πάλιν λόγος, εἴπερ αἱ διαφοραὶ πλείους, διὰ τί ταῦθ' ἓν ἀλλ' οὐ πολλά; εἰ γὰρ εἰκός ἐστι λέγειν ὅτι διὰ τὸ ἐνυπάρχειν τῷ γένει εἰσὶν ἕν, συμβήσεται τῷ λόγῳ τούτῳ πᾶν τὸ ἐν ᾧ ὑπάρχει τινὰ μετὰ τῶν ἐνυπαρχόντων αὐτῷ εἶναι ἕν, καὶ ἔσται ὁ οἶνος καὶ ὁ ἀμφορεὺς ἕν, καὶ ὁ μέδιμνος καὶ οἱ πυροί. οὐ μόνον δὲ τοῦτο, ἀλλ' εἴπερ ἕν ἐστι τὸ ζῷον καὶ τὸ πεζὸν καὶ τὸ δίπουν καὶ τὸ ἄπτερον, διὰ τὸ ἐνυπάρχειν αὐτὰ τῷ ζῴῳ, ἔσται τὸ ζῷον ἓν καὶ μετὰ πάντων τῶν ἄλλων διαφορῶν, καὶ οὕτως ἔσται πάντα ἕν. ἵνα δὲ μή τις εἴπῃ ὅτι ἀλλ' οὐκ ἔσται τὸ ζῷον καὶ πεζὸν καὶ δίπουν ἕν, ἐπήγαγε τὸ "δεῖ λέγειν ἓν εἶναι ὅσα ἐν τῷ ὁρισμῷ." ὁ γὰρ ὁρισμὸς λόγος τίς ἐστιν εἷς καὶ μιᾶς οὐσίας. εἰ δὲ εἷς ὁρισμός ἐστι, καὶ ἕν τί ἐστι καὶ τόδε τι σημαίνει, ὥσπερ λέγομεν· τὸ γὰρ τί ἦν εἶναι καὶ ἡ

συγκατατεταγμένη φύσις ἑκάστοις, ἧς ἐστὶν ὁρισμός, τόδε τί ἐστι καὶ ἕν· εἰ δὲ τοῦτο, καὶ ὁ λόγος αὐτῆς εἷς ἐστίν. ἀλλ' εἰ τοῦτο, δεῖ καὶ τὰ ἐν τῷ λόγῳ ἓν εἶναι. ἀλλὰ δεῖ πάλιν μικρόν τι παρεκβάν- 153 26.
τας ὑπομνῆσαι ἡμᾶς περὶ τοῦ τί ἦν εἶναι καὶ τοῦ καθόλου εἴδους. ἰστέον
5 δὴ ὅτι τὸ τί ἦν εἶναι καὶ τὸ εἶδος ταὐτόν ἐστι, πλὴν οὐχ ὡς νοεῖται καὶ ἔστιν, ἀλλὰ νοεῖται μὴ ἄλλο τι παρὰ τὰ ὑπ' αὐτὸ ἄτομα, ἐν αὐτοῖς δέ ἐστι κατατεταγμένον καὶ οὐδέποτε χωρὶς αὐτῶν ἐστίν, ἢ ὅλως χωρὶς ὕλης· ὁ δὲ ὁρισμός ἐστιν ὁ λόγος τοῦ τί ἦν εἶναι καὶ τοῦ εἴδους. καὶ περὶ μὲν τούτων ταῦτα προϋπομνησθῆναι ἡμᾶς χρή· αὐτὸς δὲ
10 οὕτωσι τὴν ἀπορίαν θεὶς καὶ τὴν λύσιν ἀσαφῶς καὶ λίαν μεμελανωμένως ἐπαγαγών, διὸ τὸ καὶ τῷ δευτέρῳ τῶν περὶ Ψυχῆς (c. 2) ταύτην λελυκέναι, μετὰ πολλὰ σαφῶς λύσας οὐ δοκεῖ λελυκέναι. ὅμως ὅπως καὶ ἐνταῦθα ταύτην λύει, κἂν μὴ δοκῇ, τὴν λέξιν ἐπερχόμενοι λέξομεν. Alex.

15 διὰ τοῦτο γὰρ καὶ ὁρισμὸς λέγεται ὡς διαιρῶν καὶ χωρίζων τὸ ὁρι- 153 25.
στὸν τῶν ἄλλων εἰδῶν. Asclep.

ἐντεῦθεν ἐνίστατο πρὸς τοὺς Πλατωνικούς, ἐγκαλῶν αὐτοῖς ὡς 153 27.
ὅτι ἀμεθόδως τῇ διαιρετικῇ κέχρηνται, καί φησιν ὅτι δεῖ ἡμᾶς ἐπισκοπεῖν περὶ τῶν κατὰ τὰς διαιρέσεις ὁρισμῶν· οὐδὲν γὰρ δεῖ παρα-
20 λαμβάνειν ἐν τῷ ὁρισμῷ πλὴν τὸ πρῶτον γένος καὶ τὴν τελευταίαν διαφοράν, τὰ δὲ ἄλλα πάντα γένη ὑπάρχουσιν, ὡς ἔδειξεν ἡ θεωρία, τουτέστι τὸ πρῶτον καὶ αἱ σὺν αὐτῷ λαμβανόμεναι διαφοραί. id.

"πλ. τὸ πρ. λ. γένος καὶ ἡ διαφορά·" δεῖ δὲ προσυπακούειν 154 3.
τοῦ ἡ τελευταία... οὐδὲν γάρ, φησίν, ἐν τῷ ὁρισμῷ πλὴν τὸ
25 πρῶτον λεγόμενον γένος καὶ ἡ τελευταία διαφορά. οἷον εἰς εἶδος ἄνθρωπος τὸ ζῷόν ἐστι καὶ τὸ νοῦ καὶ ἐπιστήμης δεκτικόν, τὰ δ' ἄλλα τῷ ζῴῳ ἐχόμενα (ἔστι δὲ ταῦτα τὸ λογικὸν ζῷον καὶ τὸ θνητόν) γένεσίν εἰσιν. εἰ δὲ γένη ὕλη εἰσὶν ἢ ἀναλογόν γε ὕλη, τὸ μὲν ζῷον λογικὸν θνητόν εἶσιν ὕλη καὶ γένος, τὸ δὲ νοῦ καὶ ἐπιστήμης δεκτικὸν εἶδος.
30 καὶ ὅρα ὅπως διὰ τούτων αἰνιγματωδῶς τὴν τῆς ἀπορίας εἴρηκε λύσιν. εἰ γὰρ ἡ ὕλη καὶ τὸ εἶδος, ὅτε εἰσὶν ὑφ' αὐτῶν, πεφύκασιν ἑνοῦσθαι καὶ ἓν γίνεσθαι, ἔστι δὲ ὕλη μὲν τὸ ζῷον λογικὸν θνητόν, εἶδος δὲ τὸ νοῦ καὶ ἐπιστήμης δεκτικόν, καὶ τὸ ζῷον πεζὸν δίπουν, ἓν ἂν εἴεν καὶ ταῦτα ἀλλ' οὐ πολλά. καὶ ὅρα τὴν τοῦ Ἀριστοτέλους ἀγχίνοιαν, ὅπως

ἐν ταὐτῷ καὶ τὴν λύσιν ἡμῖν τῆς ἀπορίας σκιωδῶς ἐμφαίνει καὶ τὴν διαίρεσιν τῶν γενῶν καὶ διαφορῶν ὅπως χρὴ ποιεῖσθαι ἐπαγγέλλει καὶ θαυμαστῶς ἀνακαλύπτει. Alex.

154 8. ὁμοίως δὲ κἂν διὰ πλειόνων καὶ δι' ἐλαττόνων λέγηται, ἢ καὶ ὅλως διὰ δυεῖν. id.

ὁμοίως δὲ κἂν πλείονα λέγωνται· ὅλως δὲ οὐδὲν διαφέρει κἂν ἐλάττων λέγηται, πλὴν τῶν δύο. τοῖς δύο ὧν δεῖ χρῆσθαι, τῷ μὲν ἑνὶ γένει, τῷ δὲ διαφορᾷ. Asclep.

154 11. ταῦτα εἰπὼν ἐπαναλαμβάνει τὸν λόγον καί φησιν "εἰ οὖν τὸ γένος ἁπλῶς μή ἐστι παρὰ τὰ ὡς γένους εἴδη," τουτέστιν εἰ τὸ ζῷον μή ἐστι παρὰ τὰ εἴδη αὐτοῦ αὐτὸ καθ' αὑτὸ καὶ χωριστόν, ὡς οἱ τὰς ἰδέας τιθέμενοι ἔλεγον, ἀλλ' ἐν αὐτοῖς ἐστίν, ὡς οὗτος καὶ ἡ ἀλήθεια βούλεται· ἢ κἂν εἰ χωριστόν ἐστιν, ὅμως ὡς ὕλη ἐστίν. καὶ σαφηνίζει αὐτὸ ἐπὶ παραδείγματος, ὅπως ὡς ὕλη τὸ γένος ἔστιν. ἡ μὲν γὰρ φωνὴ γένος ἐστὶ καὶ ὕλη, αἱ δὲ διαφοραὶ μετ' αὐτῆς εἰσὶ τὰ εἴδη, εἴδη δὲ φωνῆς τὰ ὀνόματα καὶ τὰ ῥήματα καὶ τὰ στοιχεῖα, τό τε ἄλφα καὶ βῆτα καὶ τὰ ἑξῆς· καὶ γὰρ αὐτὰ εἴδη τῆς φωνῆς ὡς ἐξ ὕλης αὐτῆς καὶ διαφορᾶς ὄντα· καὶ διαφορὰς γάρ τινας καὶ αὐτὰ ἐκφωνεῖται. εἰ δὴ τὸ γένος ὡς ὕλη ἐστίν, εἶδος δὲ ἡ διαφορά, φανερὸν ἄρα ὅτι ὁ ὁρισμός ἐστιν ὁ ἐκ τῶν διαφορῶν λόγος. εἰ δὲ ἡ ὕλη καὶ τὸ εἶδος αὐτοφυῶς ἔνεισιν, ἔστι δ' ὁ λόγος καὶ ὁ ὁρισμὸς γένος καὶ διαφορὰ ἤτοι ὕλη καὶ εἶδος, δῆλα ἄρα ἡμῖν ἐστὶν ὅπως τὸ ζῷον πεζὸν δίπουν ἔν ἐστι καὶ οὐ πολλά. οὕτως δὴ τὴν ἀπορίαν λύσας, καὶ ὡς συμπέρασμα, ὡς οἶμαι, τῆς λύσεως ἐπαγαγὼν τὸ "φανερὸν ὅτι ὁ ὁρισμός ἐστιν ὁ ἐκ τῶν διαφορῶν λόγος," ὡς εἰ ἔλεγεν ὅτι φανερόν ἐστιν ὅπως τὸ ζῷον πεζὸν δίπουν ἔν ἐστιν, ὅτι γένος ἐστὶ καὶ διαφορὰ ἤτοι ὕλη καὶ εἶδος, τρέπεται καὶ ἐπὶ τὴν διδασκαλίαν τοῦ ὅπως δεῖ τὰς τῶν γενῶν καὶ διαφορῶν ποιεῖσθαι διαιρέσεις, λέγων "καὶ δεῖ διαιρεῖσθαι τὴν τῆς διαφορᾶς διαφοράν," ἴσον λέγων τῷ ὅτι εἰ μέλλοιμεν μετὰ τοῦ πρώτου γένους καὶ τῆς τελευταίας διαφορᾶς τοὺς ὅρους ποιεῖσθαι, δεῖ διαιρεῖν τὰς διαφορὰς εἰς τὰς οἰκείας αὐτῶν διαφοράς, ἃς διαφοραί εἰσιν· οἷον εἰ τὸ ζῷον διαιρεῖται εἰς ὑπόπουν καὶ ἄπουν, τὸ ζῷον ὑπόπουν δεῖ διαιρεῖν εἰς τὴν οἰκείαν διαφοράν, ἣ ὑπόπουν

154 19. ἐστί, καὶ μὴ λέγειν ὡς τοῦ ὑποποδος τὸ μὲν πτερωτόν ἐστι τὸ δὲ ἄπτε-

ρον, εἰ μέλλομεν καλῶς διαιρεῖν. . . ὅμως διὰ τὸ ἀδυνατεῖν ἐνίους καὶ μὴ δυναμένους συνορᾶν τὰς ἑκάστου διαφοράς, ποιοῦσι τοῦτο, λέγω δὴ τὸ διαιρεῖν αὐτὰ εἰς τὰς μὴ οἰκείας. δεῖ δὴ τὸ ὑπόπτων, κἂν εἴ τι ἄλλο ἐστί, διαιρεῖν εἰς τὰς οἰκείας, μέχρις ἂν ἔλθῃ εἴς τινα ἀδιά-
5 φορα, ἅπερ μηκέτι δύναται τέμνεσθαι εἰς ἑτέρας διαφοράς. Alex.

καὶ τούτων μάλιστα κατά γε τὸ ὀρθὸν τῆς τελευταίας διαφο- 155 8.
ρᾶς. Asclep.

"τὴν πρώτην·" ἐρεῖ γὰρ πάλιν περὶ αὐτῶν ὁποῖοί τινές εἰσιν. 155 15.
Alex.

10 "ὅτι διχῶς ὑπόκειται, ἢ τόδε τι ὄν," τουτέστι τὸ γένος ταῖς δια- 155 21.
φοραῖς· διὸ καὶ εἶπεν αὐτὸ τόδε τι ὄν. οὐ γὰρ οὕτως ἐστὶ τὸ ζῷον ἀνεί-δεον ὡς ἡ ὕλη, ἥτις ἐξ ἀποφάσεως γίνεται, ἀλλὰ κατ' ἀναλογίαν τῆς πρὸς τὸ περιορίζεσθαι ὑπὸ τῆς τελευταίας διαφορᾶς, ὥσπερ τὸ εἶδος περιορίζει τὴν ὕλην, ὡς ἡ κυρίως ὕλη ὑπόκειται τῇ ἐντελεχείᾳ,
15 τουτέστι τῷ εἴδει. δυνατὸν δὲ λέγειν τὸ ζῷον ὑποκεῖσθαι τοῖς πάθεσι περὶ τοῦ ἁπλῶς ζῴου δῆλον, ἢ ὡς ὕλη ἐντελεχείᾳ, περὶ τοῦ καθ' ἕκαστα ζῴου. Asclep.

εἶτα λοιπὸν τίθησι τὸ πρῶτον ἐπιχείρημα, λέγων ὅτι εἰ οὐσία 155 27.
ἡ ἑκάστου ἴδιος ἑκάστου ὑπῆρχεν, οὐκ ἄν ποτε θεωρηθήσεται ἐν ἄλλῳ.
20 Asclep.

καὶ συλλογίζεται λέγων, ἡ ἑκάστου οὐσία ἰδιός ἐστιν ἑκάστῳ, καὶ ἄλλῳ οὐκ ὑπάρχει. Alex.

ἔτι οὐσία λέγεται ὃ μὴ καθ' ὑποκειμένου τινὸς λέγεται, ὡς ἐν 156 2.
ταῖς Κατηγορίαις (c. 5) δέδεικται. id.

25 τρίτον ἐπιχείρημα ὅτι ἢ εἶδός ἐστι τὸ καθόλου τῆς ἀτόμου οὐσίας 156 5.
ἢ μέρος ἢ ἐνυπάρχον ἁπλῶς. ἀλλ' εἰ μὴ ὑποθώμεθα εἶδος αὐτὸ εἶναι, ἄτοπόν τι ἕψεται· τὸ γὰρ εἶδος ἑκάστου ἰδιόν τί ἐστιν ἑκάστου τε καὶ οὕτως πάλιν τὸ καθόλου ἔσται μερικόν. εἰ δὲ ὡς μέρος αὐτὸ ὑποθώμεθα, ἔσται τὸ μέρος κατηγορούμενον τοῦ ὅλου· ὅπερ ἐστὶν ἄτοπον.
30 εἰ δὲν ἐνυπάρχον ἕψονται οἱ πρότεροι λόγοι τοῦ πρώτου ἐπιχειρήματος, ὅτι ἢ γὰρ πάντων ἢ οὐδενός· ἀπάντων δὲ οὐκ οἷόν τε, ἐπειδὴ διαφέρουσιν ἀλλήλων τὰ πράγματα, οὕτως δὲ οὐδὲν διοίσουσιν. εἰ δὲ ἑνός, ἔσται πάντα ἕν. Asclepius in θεωρίᾳ.

ἐντεῦθεν τὸ τρίτον ἐπιχείρημα. φησὶν οὖν ὅτι εἰ καὶ μὴ ἐνδέχεται οὕτως εἶναι τὸ καθόλου ὡς τὸ εἶδος τοῦ πράγματος, ἵνα μὴ γένηται μερικόν, ἐν δὲ τῷ μερικῷ ἐνυπάρχει μὴ ὂν αὐτοῦ εἶδος, ὥσπερ τὸ ζῷον ἐν τῷ ἀνθρώπῳ καὶ τῷ ἵππῳ. εἶτά φησιν ὁ Ἀριστοτέλης, εἰ ταῦθ' οὕτως ἔχει, ἐξ ἀνάγκης τούτου ὄντος ἐν τῷ ἀνθρώπῳ ἔστιν ὁ ὁρισμός. ἐπειδὴ δὲ τῶν γενικωτάτων γενῶν οὐκ ὑπάρχουσιν ὁρισμοί, φησίν, ὅτι διαφέρει δὲ οὐδὲν οὐδὲ εἰ μὴ πάντων ἐστὶν ὁρισμὸς τῶν ἐν τῇ οὐσίᾳ ὑπαρχόντων· οὐδὲν γὰρ ἧττον τοῦτο τὸ ἐνυπάρχον οὐσίᾳ ἐστί τινος, ὡς ἄνθρωπος τοῦ ἀνθρώπου, ἐν ᾧ ὑπάρχει ἀνθρώπῳ. ὥστε τὸ αὐτὸ συμβήσεται πάλιν τὸ εἰρημένον κἀν τῷ πρώτῳ ἐπιχειρήματι· ἢ πάντων ἐστὶν ἢ οὐδενός, καὶ τὰ αὐτὰ ἕψονται ἄτοπα· ἔσται γὰρ ἐκείνου οὐσία, οἷον τὸ ζῷον, ἐν ᾧ ἰδίως ἴδιον ὑπάρχει, καὶ οὕτω πάλιν ἔσται μερικόν. id.

156 12. ἔτι δὲ καὶ ἀδύνατον καὶ ἄτοπον τὸ τόδε καὶ τὴν οὐσίαν, ὥσπερ λέγουσιν οἱ λέγοντες τὸν καθόλου ἄνθρωπον, εἰ ἔστιν ἐκ ζῴου, μὴ εἶναι τὸ ζῷον οὐσίαν καὶ τόδε τι, ἀλλὰ ποιόν. Alex.

156 22. εἰ γὰρ μή ἐστιν οὐσία αὐτὸ καθ' αὑτὸ τὸ ζῷον, μηδὲ τὸ πεζὸν μηδὲ τὸ δίπουν, δηλονότι οὐκ εἰσὶ χωρὶς τῶν ἀτόμων, οὔτε μὴν ἐν ἄλλῳ ἤτοι τῇ ἰδέᾳ, ἀλλ' ἐν τοῖς ἀτόμοις. ἐξηγούμενος δὲ τὸ μηδὲν χωρὶς ὑπάρχειν αὐτῶν ἐπήγαγε "λέγω δὴ οὐκ εἶναί τι ζῷον παρὰ τά τινα," ὡς ἂν εἰ ἔλεγεν, τοῦτο λέγω τὸ μηδὲν χωρὶς ὑπάρχειν αὐτῶν τὸ μὴ εἶναί τι ζῷον παρὰ τά τινα καὶ καθ' ἕκαστα ζῷα, οὐδὲ
156 23. δίπουν παρὰ τά τινα, οὐδ' ἄλλο τῶν ἐν τοῖς λόγοις εἰλημμένων οὐδέν· δέδεικται γὰρ ὡς οὐδὲν τῶν καθόλου ὑπαρχόντων οὐσία ἐστίν. Alex.

156 27. ἑβδόμη ἐπιχείρησις ὅτι εἰ μὴ δηλοῖ ποιότητα τὸ καθόλου ἀλλὰ τόδε τι, τυτέστι μερικὴν οὐσίαν, ἔσονται τρεῖς ἄνθρωποι, οἱ δύο ἄτομοι καὶ ὁ ἄλλος ὁ ἐξῃρημένος καὶ συνοδεύων αὐτούς. id.

εἰ γάρ ἐστιν οὐσία τις ὁ ἄνθρωπος, ἔστι δὲ καὶ ὁ Σωκράτης οὐσία καὶ οἱ καθ' ἕκαστον, ἐπὶ τῶν πολλῶν δέ ἐστι τὸ κοινῶς κατ' αὐτῶν λεγόμενον, ἔσται ἄρα τρίτος τις πάλιν ἄνθρωπος, ὃς κατηγορηθήσεται τοῦ καθόλου ἀνθρώπου οὐσίας ὄντος καὶ τῶν λοιπῶν. ἔτι δέ, φησί, καὶ ὧδε δῆλον ὡς ἀδύνατόν ἐστιν οὐσίαν ἐξ οὐσιῶν εἶναι ἐνεργείᾳ ὑπαρχουσῶν καὶ τόδε τι. Alex.

ἐπεὶ καὶ ἡ διπλασία γραμμὴ ἐκ δύο ἡμίσεων ἐστὶ δυνάμει. 157 1.
εἰ γὰρ γένοιτο τὰ ἡμίση ἐντελεχείᾳ, χωρίζει καὶ οὐκ ἐᾷ αὐτὴν εἶναι.
ἅμα γὰρ ταῦτα ἡμίση ἐνεργείᾳ γενέσθαι ἡμίση, εὐθὺς διήρηται τὸ διπλάσιον καὶ οὐκέτι μένει ἐνί. Alex.

ὡς γὰρ ὁ Δημόκριτος ἔλεγεν ὅτι ἀδύνατον ἐκ δύο ἀτόμων 157 4.
μίαν γενέσθαι (ἀπαθεῖς γὰρ αὐτὰς ὑπετίθετο) ἢ ἐκ μιᾶς δύο (ἀτμήτους γὰρ αὐτὰς ἔλεγεν), οὕτως καὶ ἡμεῖς φαμὲν ὡς ἀδύνατον ἐκ δύο ἐνεργείᾳ ὑσῶν ὑσιῶν μίαν γενέσθαι, ἀλλ' ἐκ δυνάμει μόνον. id.

καὶ κατ' τοῦτο τὸν ἀριθμόν φησιν ὀρθῶς λέγειν Δημόκριτον·
ἀδύνατον γάρ φησιν ἐκ δύο ἓν γενέσθαι ἢ ἐξ ἑνὸς δύο· τὰ γὰρ μεγέθη τὰ ἄτομα, τουτέστι τὰς ἀτόμους, ὑσίας ποιεῖ, καὶ ὑδέποτε, φησίν, ἡ μία ἄτομος δύο· διὰ τοῦτο γὰρ καὶ ἀτόμους αὐτάς φησιν. οὔτε γὰρ δύο μία γίνεται· ἐστὶ διειργόμενα ὑπὸ τοῦ κενοῦ. Asclep.

αἱ μονάδες ἐν τῇ δυάδι οὐκ εἰσὶν ἐνεργείᾳ μονάδες ἀλλὰ δυ- 1577.
νάμει, ἕως δὴ ὑπόκειται ἡ δυάς, ἀριθμός τις εἷς· ἢ εἴπερ ἐστὶν ὅλως ἀριθμός, οὐκ εἰσὶν ἐν αὐτῷ αἱ μονάδες ἐναργῶς ἀλλὰ δυνάμει. Alex.

εἰ γὰρ μήτε, φησίν, ἐκ τῶν καθόλου οἷόν τε μηδεμίαν εἶναι 157 14.
ὑσίαν... μήτε πάλιν ἐξ ὑσιῶν ἐνεργείᾳ αὐτῶν καθ' αὐτὰς ὑσῶν, ὥσπερ ὁ μερικὸς ἄνθρωπος, δυνατόν ἐστιν ὑσίαν σύνθετον εἶναι (δέδεικται γὰρ καὶ τοῦτο), συμβαῖνον μηδεμίαν ὑσίαν σύνθετον εἶναι. id.

καὶ πῶς τοῦτο συμβαίνει, ἐρεῖ καὶ ἐν τῷ παρόντι βιβλίῳ καὶ ἐν 157 19.
τῷ μετ' τοῦτον. id.

δείξας ὅτι μὴ οἷόν τε ἐξ ὑσιῶν ἐνεργείᾳ ὑσῶν συγκεῖσθαι τὴν 157 21.
ὑσίαν, καὶ ὅτι τῆς ἀτόμου ἀνάγκη καὶ τὰ μέρη ἄτομα εἶναι, ἐκ τῶν εἰρημένων φησὶ φανερὸν καὶ τὸ συμβαῖνον ἄτοπον τοῖς τὰς ἰδέας ὑποτιθεμένοις καὶ λέγουσιν αὐτὰς ὑσίας τε εἶναι καὶ χωριστὰς αὐτὰς καθ' αὐτὰς καὶ ἀτόμους καὶ ὁριστάς· ἐκείνων γὰρ τῶν ἰδεῶν ἔλεγον εἶναι τοὺς ὁρισμούς, βουλόμενοι τοὺς ὁρισμοὺς εἶναι τῶν καθόλου. καὶ ταῦτα ἔλεγον ὡς τὰ ἀφ' ἑνὸς μετέχειν αὐτὰ τῆδε ἐκείνων, ὥστε οὐχ ἁρμόσουσιν οἱ ὁρισμοὶ τοῖς ἐνταῦθα, οὐδὲ ἔσονται αὐτῶν ὁρισμοί. φησὶν οὖν πρὸς αὐτοὺς ὅτι ἡ ἰδέα αὕτη μία ἐστὶ πάντων ἡ ἑκάστου χωρίς· εἰ μὲν οὖν μία ἐστὶ τῷ ἀριθμῷ πάντων, διασπασθήσεται ἡ ἰδέα μία οὖσα καὶ θεωρουμένη ἐν πλείοσι διαφοραῖς· εἰ δὲ πολλαί,

ἀπείρων ἔσονται ἰδέαι, ἑκάστου εἶδος μίαν ἔχοντος ἰδέαν, τοῦ ζῴου τοῦ ἐν ἀνθρώπῳ καὶ τοῦ ἐν ἵππῳ καὶ ταῖς ἄλλαις πάλιν τοῦ λογικοῦ καὶ τοῦ γελαστικοῦ καὶ τῶν ἄλλων ὁμοίως, ὅπερ οὐ βούλονται· μίαν γὰρ ἰδέαν λέγουσι τοῦ ζῴου τῶν ἄλλων. Asclep.

157 23. εἰ οὖν ἔστι τις ἄνθρωπος, τουτέστιν ἰδέα ἀνθρώπου αὐτὴ καθ' αὐτὴν κεχωρισμένη, ἀνάγκη εἶναι καὶ τὴν ἰδέαν, ἐξ ὧν ἐστὶν ἡ ἰδέα τοῦ ἀνθρώπου, τουτέστιν ἰδέαν ζῴου καὶ λογικοῦ, καὶ εἶναι τούτων χωριστὰς οὐσίας· ὥστε καὶ τὸ ζῷον χωριστόν ἐστιν αὐτὸ καθ' αὐτὸ ὑπάρχον. εἰ μὴ οὖν τὸ αὐτό ἐστι ζῷον τὸ ἐν τῷ ἵππῳ καὶ τὸ ἐν τῷ Σωκράτει, ὥσπερ Σωκράτης ἐστὶν αὐτὸς ἐν αὐτῷ, πῶς δυνατὸν ἓν εἶναι τὸ ζῷον, κεχωρισμένων τούτων ἀπ' ἀλλήλων, φημὶ δὴ τοῦ Σωκράτους καὶ τοῦ ἵππου; ἢ διὰ τί οὐ χωρίζει τὸ ζῷον τοῦτο καὶ διασπᾷ ἓν ὑπάρχον τῷ ἀριθμῷ, διαφόρων ὄντων ἐκείνων ἐν οἷς θεωρεῖται; id.

157 23. "οὐσίας τε καὶ χ." ἐκ τούτων, φησί, φανερόν ἐστι τὸ συμβαῖνον τοῖς τὰς ἰδέας λέγουσι χωριστάς τε οὐσίας εἶναι καὶ ἅμα ποιοῦσι τὸ εἶδος, λέγων εἶδος τὴν ἰδέαν, ἐκ τοῦ γένους καὶ τῶν διαφορῶν. Alex.

εἰ οὖν ὑπάρχει τὰ εἴδη, τουτέστιν ἡ ἰδέα τοῦ εἴδους καὶ τοῦ ζῴου ἐν τῷ ἀνθρώπῳ καὶ ἐν τῷ ἵππῳ κτλ. Asclep.

158 2. εἰ δὲ τοῦτο, ἔσται οὐσία τις ἐξ οὐσιῶν ἐνεργείᾳ καὶ καθ' αὐτὰς οὐσῶν, ὅπερ δέδεικται ἀδύνατον. καὶ οὐ τοῦτο μόνον ἀλλ' ἔσται καὶ ἰδέα ἐξ ἰδεῶν, καὶ ἔσονται ἰδέαι τό τε αὐτοπεζὸν καὶ αὐτοζῷον καὶ αὐτοδίπουν πρότεραι τοῦ αὐτοανθρώπου, τουτέστιν ἔσονται ἄλλαι ἰδέαι ἄλλων πρότεραι· ὅπερ οὐ φασιν οἱ ταύτας τιθέμενοι. οὕτως οὖν τὸ ἀδύνατον τοῦτο αἰνιξάμενος ἐπανατρέχει εἰς τὴν τῆς ἀντιφράσεως ἐρώτησιν, καὶ λέγει· εἰ μὴ τὸ ἐν τῷ αὐτοίππῳ καὶ ἐν τῷ αὐτοανθρώπῳ ζῷον τὸ αὐτὸ καὶ ἕν ἐστι τῷ ἀριθμῷ, ὥσπερ αὐτὸς σαυτῷ εἷς εἶ τῷ ἀριθμῷ, πῶς τὸ ὂν ἐν τοῖς οὖσι χωρὶς ἀπ' ἀλλήλων ἓν ἔσται τῷ ἀριθμῷ; καὶ διὰ τί, εἰ τὰ χωρὶς ὄντα ἕν εἰσι τῷ ἀριθμῷ, οὐκ ἔσται αὐτὸ τὸ ζῷον καὶ χωρὶς αὐτοῦ; εἰ γὰρ ἕν εἰσι τῷ ἀριθμῷ τὰ ἐν ἄλλῳ καὶ ἄλλῳ ὄντα ζῷα, δηλονότι δυνήσεται τὸ ζῷον καὶ χωρὶς αὐτοῦ εἶναι. id.

158 10. ἀλλ' ἴσως ἐρεῖ τις ὅτι ἐν τῷ αὐτοανθρώπῳ ὄντα σύγκειται καὶ μέμικται ὥσπερ σωρὸς τὸ ζῷον καὶ αἱ διαφοραί. ἀλλὰ πάντα ταῦτα

ἄτοπα· ὁρῶμεν γὰρ ἐνταῦθα ὅτι τὰ ζῷα οὐ κατὰ σύνθεσιν καὶ ἁφὴν εἰσιν, ἀλλὰ συνεχῆ καὶ ὡς εἰπεῖν κατὰ ἀνάκρασιν. id.

τὰ γὰρ τοιαῦτα δύνανται καὶ χωρισθῆναι ἀπ' ἀλλήλων, καὶ οὐκέτι 158 11.
κυρίως ἔσται τὸ ζῷον εἶπεν ἐν ἀλλὰ πολλά, ὥστε οὐδὲ ὁρισμὸς αὐτοῦ
εἷς, ὅπερ ἐστὶ παρὰ τὴν ἐνάργειαν. ἡμεῖς δέ, ὅτε ἐλέγετο τὸ γένος
ὕλης τόπον ἐπέχειν, εἶδος δὲ τὴν τελευταίαν διαφοράν, οὐδὲν ἐλέ-
γομεν ἄτοπον· τὸ γὰρ εἶδος τῇ ὕλῃ ὅτε κατὰ θέσιν ὑπάρχει ὅτε κατὰ
παράθεσιν, ἀλλ' ἔστιν ἕν τι καὶ μία οὐσία. εἰ δὲ πάλιν εἴπωσιν ὅτι
διάφορα τὰ ζῷα ὑπάρχουσιν ἐν ἑκάστῳ, καὶ ἄλλη ἰδέα τοῦ ἀνθρώπου
ζῴου καὶ ἄλλη τοῦ ἵππου καὶ ἐπὶ τῶν ἄλλων ὁμοίως, ἔσονται ὅτως ἄπειροι ἰδέαι· διό φησιν "ὧν ἡ οὐσία ζῷον." Asclep.

εἰ γὰρ μὴ τοῦτο ὑποθώμεθα εἶναι τὸ ζῷον τὴν οὐσίαν τοῦ ἀν- 158 14.
θρώπου, ἐξ ἐκείνου ἔσται ὁ ἄνθρωπος, τουτέστιν ἡ ποιότης ὑπάρχει. id.

ὥστε αὕτη ἡ ἰδέα τοῦ ζῴου ἔσται ἑκάστου τῶν ζῴων. τὸ γοῦν 158 18.
ζῷον τὸ ἐν τῷ ἀνθρώπῳ καὶ τὸ ἐν τῷ ἵππῳ, εἴγε ἰδέα ἐστίν, ἐκ
τίνος γέγονε καὶ πῶς ἐξ αὐτοῦ τοῦ ζῴου ζῷον γέγονεν, εἴγε ἀμφότερα ἰδέα ἐστίν; καὶ πῶς δυνατόν ἐστι τὸ ζῷον, ὅπερ οὐσία ἐστί, τοῦτο παρ' αὐτὸ τὸ ζῷον ὑπάρχειν, εἴγε ἀμφότερα οὐσία ἐστὶ καὶ
ἐπ' ἄπειρον δὲ ὁ λόγος προέρχεται; ἀντειπὼν ὁ Ἀριστοτέλης πρὸς τὰ καθ'. ἐντεῦθεν ἀποτείνεται καὶ πρὸς τὰς ἰδέας ὡς καθόλου καὶ αὐτὰς οὐσίας· καθόλου δ' ὑπάρχουσιν ὡς ποιητικὰ καὶ παρακτικὰ τῶν τῆδε. ἀντιλέγει οὖν καὶ πρῶτον ἐπιχείρημα τοῦτον τὸν τρόπον, ὅτι ἡ ἰδέα ἢ μία ἐστὶ τῷ ἀριθμῷ ἢ πολλά... "ἔτι δὲ ἐπὶ τῶν
αἰσθητῶν." ἔτι πρὸς τοὺς τὰς ἰδέας πρεσβεύοντας ἐνίσταται, καί φησιν ὅτι τὸ εἶδος αὐτὸ καθ' αὐτὸ ὅτε γίνεται ὅτε φθείρεται· οὐ γὰρ γίνεται τὸ εἶδος τῆς οἰκίας αὐτὸ καθ' αὐτὸ ὅτε φθείρεται, ἀλλὰ τὸ σύνθετόν ἐστι τὸ γινόμενον καὶ φθειρόμενον, τὸ ἔνυλον εἶδος· διὰ γοῦν ταύτην τὴν αἰτίαν τῶν καθ' ἕκαστα καὶ φθαρτῶν οὐχ ὑπάρχουσιν ὁρισμοί...
Συριανὸς ὁ φιλόσοφος βοηθῶν τῷ Πλάτωνι ἀντιλέγει τοῖς ὑπ' Ἀριστοτέλους λεγομένοις δέκα ἐπιχειρήμασι, καί φησιν ὅτι εἰ μὲ τὰ καθόλου ἀναιρεῖ ὁ Ἀριστοτέλης, τὰ συγκεχυμένα καὶ ὑστερογενῆ τὰ ἐν τῇ φαντασίᾳ τῇ ἡμετέρᾳ τὸ εἶναι ἔχοντα κατορθοῖ, οἷον τὴν ἔννοιαν τὴν περὶ τοῦ ἁπλῶς ἀνθρώπου· ταῦτα γὰρ τῷ ὄντι οὐχ ὑπάρ-

χυσιν ὑσίαι, ἀλλ' ἐν τῇ ἡμετέρᾳ χέσει τὲ εἶναι ἔχυσιν. εἰ δέ, φησί, τὰ καθόλυ ἀναιρεῖ τὰ ἐπὶ τοῖς πολλοῖς, ὑ πάνυ τι δεόντως λέγει· ὕτε γὰρ αὐτὰ ἀναιρεῖ ὁ Ἀριςοτέλης, ἀλλὰ καὶ τίθεῖ αὐτοῖς. φησὶν ὧν ὕτος. τὲ πρῶτον τῶν προβλημάτων ἔλεγεν ὕτως, ὅτι ἡ ὑσία ἑκάςυ ἴδιός ἐςιν ἑκάςυ καὶ χωριςὴ αὐτῦ ἐςίν... εἶτα λοιπὸν τὲ δεύτερον πρόβλημα ἔλεγεν ὕτως· ἡ ὑσία καθ' ὑποκειμένυ, τὲ καθόλυ καθ' ὑποκειμένυ, τὲ καθόλυ ἄρα ὑκ ὑσία. ἐνταῦθα, φησίν, ὁ παραλογισμὸς ἐγένετο παρὰ τὴν ὁμωνυμίαν. id.

158 16. εἰ αὐτὲ ἑαυτῷ τὲ ζῷον καὶ ὑσία ἐςὶ καὶ ἰδέα, δῆλον ὅτι ἕκαςον τῶν ἐν τοῖς ζῴοις ἤτοι ἐν τῷ αὐτοανθρώπῳ καὶ τοῖς λοιποῖς αὐτοζῷόν ἐςι καὶ ἰδέα. τὰ δὲ εἴδη ἑτέρων εἰσὶ φύσεων, ὥσπερ καὶ ὁ ἄνθρωπος καὶ ὁ ἵππος· καὶ τὰ αὐτοζῷα ἄρα τὰ ἐν τοῖς εἴδεσιν ἑτέρων εἰσὶ φύσεων· ὅπερ ἄτοπον. ἔτι εἰ τῶν πολλῶν καὶ διαφερόντων τῷ ἀριθμῷ ἐςὶν ἰδέα, τῷ δ' ἀριθμῷ διαφέρει, ὡς δέδεικται, τὲ ἐν τῷ αὐτοἵππῳ ζῷον καὶ αὐτοανθρώπῳ καὶ τοῖς λοιποῖς· πᾶσα γὰρ ἰδέα μία τῷ ἀριθμῷ ἔςαι καὶ ἐκείνων ἰδέα· ὥςε ὥσπερ ἐςὶν ἄλλος ἄνθρωπος καθ' αὑτὲν παρὰ τὺς καθ' ἕκαςα καὶ αἰθητύς, ὕτως ἔςαι καὶ τῶν αὐτοζῴων καὶ τῶν ἰδεῶν ἄλλη τις ἰδέα καὶ ἄλλο αὐτοζῷον. καὶ πῶς ἐκ τῦ τοιύτυ αὐτοζῷυ ἔςαι τὲ ἐν τῷ αὐτοανθρώπῳ αὐτοζῷον; Alex.

158 25. λέγει δὴ ὅτι ἐπειδὴ ἡ ὑσία ἑτέρα ἐςί, τό τε σύνολον καὶ ὁ λόγος· ὁ διασαφῶν ἐπιφέρει, λέγω δὴ ὅτι ἡ μὲ ὕτως ἐςὶν ὑσία ὁ λόγος συνειλημμένος τῇ ὕλῃ, ἡ δὲ λόγος ὅλως καὶ τί ἦν εἶναι. ὅσαι μὲ ὧν εἰσὶν ὑσίαι συνειλημμέναι τῇ ὕλῃ καὶ ὅλως σύνθετοι, τύτων ἐςὶ φθορὰ καὶ γένεσις. id.

εἶτά φησιν ὅτι ἐπεὶ διαφέρει ἡ σύνθετος ὑσία τῆς κῷ τὲ εἶδος ὑσίας· ἡ γὰρ σύνθετος ὑσία σὺν τῇ ὕλῃ, ἡ δὲ κῷ τὲ εἶδος αὐτὴ καθ' αὐτὴν ὑπάρχει. Asclep.

159 20. διὸ δεῖ τῶν πρὸς ὅρον, τυτέςι τῶν πρὸς ὅρον τινὸς ἀτόμυ πράγματος σκοπύντων καὶ ζητύντων ἀποδῦναι αὐτῦ τὲ τί ἔςι, μὴ ἀγνοεῖν ὅτι ἀεὶ ἀναιρεῖν ἔςιν ἤτοι ἀναιρεθήσεται ἀεὶ ὁ τοιῦτος ὁρισμός· παντὲς γὰρ ἀναιρεῖν ἔςι τὲν ὁρισμὲν τῦ καθ' ἕκαςα. Alex.

159 27. οἷον, ὡς φησὶν αὐτός, εἴ τις ὁρίσαιτο ζῷον ἰχνὲν λευκόν, ταῦτα δὲ καὶ ἄλλοις ὑπάρξυσιν. Asclep.

οἷον εἰ τις ὁριζόμενος τὸν Ἀλέξανδρον λέγει Ἀλέξανδρός ἐςι ζῷον ἰχνὸν λευκόν... ἔςαι δὲ τὸ λεγόμενον ἐκδηλότερον ἐπὶ τοῦ Ἀλεξάνδρου· ἐπειδὴ γὰρ ὁ Ἀλέξανδρός ἐςιν ἰχνὸς φιλόσοφος λευκὸς Ἀφροδισιεύς, τὸ ἰχνὸν καὶ φιλόσοφον καὶ λευκὸν ἕτερα ὄντα τοῦ
5 Ἀφροδισίεως, ἅπαντα γάρ εἰσιν ὁ Ἀλέξανδρος, οὐ μὴν τὰ τρία μόνα ὑπάρξουσι τῷ Ἀφροδισιεῖ Ἀλεξάνδρῳ. Alex.

αὕτη δὲ ἡ ἐπιχείρησις ἔνδοξός ἐςι καὶ οὐ πραγματώδης, ὡς 1602.
αἱ λοιπαί· ἐκεῖναι γὰρ ἀναγκαῖαι καὶ ἀληθεῖς. εἰπὼν δ' ὅτι τὸ ζῷον δίπουν ὑπάρξει καὶ ἀμφοῖν, τῷ τε ζῴῳ καὶ τῷ δίποδι, ἐπήγαγε καὶ
10 τοῦτο, "ἐπὶ μ. τ. ἀΐδ. κ. ἀν. εἶν. — συνθ.," τουτέςιν ἀναγκαῖόν ἐςιν ὑπάρχειν τὸ ζῷον δίπουν ἔν τε τῷ δίποδι χωρὶς καὶ ἐν τῷ ζῴῳ πάλιν ἰδίως· ἐπειδὴ γὰρ καθ' αὑτά εἰσι τό τε αὐτοζῷον καὶ τὸ αὐτοδίπουν, εἶτα συνελθόντα γεγόνασι μέρη τοῦ συνθέτου, οἷον τοῦ ἀνθρώπου, ἀνάγκη καὶ τὸ ζῷον δίπουν κατηγορεῖν τοῦ δίποδος τοῦ καθ'
15 αὑτὸ ὄντος καὶ πάλιν τὸ ζῷον· καὶ αὐτὸ γὰρ καθ' αὑτό ἐςιν. δύναται τὸ καὶ "τοῦτο — ἀΐδ. ἀν. γε εἶν. — συνθέτου" συντάττεται τῷ "ἀνάγκη ἄρα ὑπάρχειν καὶ ἄλλῳ ταῦτα," τουτέςιν ἀνάγκη τὸ ζῷον καὶ τὸ δίπουν ἀΐδια ὄντα καὶ κοινὰ καὶ ἄλλοις ὑπάρχειν. οὐ μόνον δὲ τὸ ζῷον καὶ τὸ δίπουν πρότερά ἐςι τοῦ αὐτοανθρώπου, ἀλλὰ καὶ χωριςὰ αὐτὰ
20 καθ' αὑτά, εἴπερ καὶ ὁ αὐτοάνθρωπος· ἢ γὰρ οὐδὲν ἔςαι χωριςόν, ἢ εἴπερ ἔςιν ὁ αὐτοάνθρωπος, ἀνάγκη εἶναι καὶ τὸ ζῷον χωριςὸν καὶ καθ' αὑτό. εἰπὼν δὲ "ἢ γὰρ οὐδὲν ἢ ἄμφω," πάλιν ἐπανέλαβε τὸν λόγον, καί φησιν· εἰ μὴ οὖν μηδέν ἐςι χωριςόν, οὐκ ἔςαι τὸ ζῷον παρὰ τὰ εἴδη, ἀλλ' ἐν αὐτοῖς· εἰ δέ ἐςι καὶ τὸ εἶδος καὶ τὸ γένος χω-
25 ριςόν, δῆλον ὡς καὶ ἡ διαφορά, καὶ ἔσται πρότερα τοῦ αὐτοανθρώπου καὶ συναναιρήσουσιν. ἀλλ' οὐκ ἂν συναναιρεθῶσι τῷ αὐτοανθρώπῳ· τούτου γάρ ἐςι δηλωτικὸν τὸ "ταῦτα δ' οὐκ ἀνταναιρεῖ." ἔσται ἄρα πρότερα τῶν ἰδεῶν ἰδέαι. εἰπὼν δὲ ἀνωτέρω ὅτι εἰ δέ τις λέγοι ὅτι χωρὶς μὲ πολλοῖς ὑπάρξει, ἅμα δὲ μόνῳ τούτῳ, καὶ εἰπὼν
30 "λεκτέον πρῶτον μὲ ὅτι καὶ ἀμφοῖν," οὐκ ἐποιήσατο τὴν ἀπόδοσιν τοῦ μέν συνδέσμου, εἰπὼν ὅτι ἔπειτα δέ, ἀλλ' εἶπεν ὅτι ἐξ ἰδεῶν ἰδέαι· συνθετώτεραι γάρ. ὡς εἶναι τὸ "ἔτι" ἀντὶ τοῦ ἔπειτα. id.

ἀλλὰ μὴν καὶ χωριςὰ ὑπάρχουσιν, εἴπερ τὴν αὐτὴν ἀχω- 1604.
ριςον εἶναι βούλονται, τουτέςιν οὔτε ζῷον οὔτε δίπουν, εἰ ἀμφότερα

αὐτῷ ὑπάρχουσι τῷ ἀνθρώπῳ τὸ ζῷον δίπουν. εἰ μὴ οὖν μηδέν, οὐκ ἔσται τὸ γένος ἕτερόν τι παρὰ τὰ εἴδη. Asclep.

160 18. ἐὰν γὰρ καθ' ὑπόθεσιν στήσω τὸν ἥλιον, ὅτε ὑπὸ γῆν ἀπέρχεται ὅτε νυκτικρυφὲς γίνεται, καὶ οὐδὲν ἧττον καὶ τότε ἐστὶν ἥλιος· οὐσίαν γάρ τινα δηλοῖ. (θεωρία)... οὐ μόνον γὰρ διαμαρτάνουσι τῷ ἐπάγειν τοιούτους ὁρισμοὺς ὧν ἀφαιρουμένων ἔτι ἔσται ἥλιος, τὸ ὑπὸ γῆν ἰὸν ἤγουν ἄστρον νυκτικρυφές. ἐὰν οὖν καθ' ὑπόθεσιν στῇ ὁ ἥλιος ἤγουν ἀεὶ φαίνῃ, οὐκέτι κατ' αὐτοὺς ἔσται ἥλιος. Alex.

160 15. "λανθάνει" ἀΐδια διὰ τὸ μοναδικὰ εἶναι, καὶ μάλιστα φησὶν ὅσα ἐστὶ μοναχά, οἷόν ἐστιν ὁ ἥλιος, ἡ σελήνη, ἡ γῆ. id.

160 18. ἐὰν γὰρ καθ' ὑπόθεσιν στήσω τὸν ἥλιον, ὅτε ὑπὸ γῆν ἀπέρχεται ὅτε νυκτικρυφὲς γίνεται, καὶ οὐδὲν ἧττον καὶ τότε ἐστὶν ἥλιος· οὐσίαν γάρ τινα δηλοῖ (θεωρία)... οὐ μόνον γὰρ διαμαρτάνουσι τῷ ἐπάγειν τοιούτους ὁρισμοὺς ὧν ἀφαιρουμένων ἔτι ἔσται ἥλιος, τὸ ὑπὸ γῆν ἰόν, ἤγουν ἄστρον νυκτικρυφές· ἐὰν οὖν καθ' ὑπόθεσιν στῇ ὁ ἥλιος ἤγουν ἀεὶ φαίνῃ, οὐκέτι κατ' αὐτοὺς ἔσται ἥλιος. Asclep.

καὶ τίθησι τίνα ἔστι τὰ εἰς τὸν τοῦ ἡλίου ὁρισμὸν παραλαμβανόμενα μὴ καλῶς, τό τε περὶ γῆν ἰὸν καὶ τὸ νυκτικρυφές· ἐπειδὴ γὰρ τὸ περὶ γῆν ἰέναι ἢ τὸ ἐν νυκτὶ κρύπτεσθαι εἰς ὁρισμὸν τοῦ ἡλίου παραλαμβάνουσι, δῆλον ὅτι συστατικά εἰσι τῆς τοῦ ἡλίου οὐσίας, ὥστε ἄν τις ἀφέλῃ τοῦ ἡλίου τὸ περὶ γῆν ἰέναι ἢ τὸ νυκτικρυφές, οὐκέτι ἔσται ὁ ἥλιος· ἢ ὅλως ἐὰν στῇ ὁ ἥλιος, οὔτε περὶ γῆν διελεύσεται οὔτε τῇ νυκτὶ κρυφήσεται. εἰ δὲ τοῦτο, οὐκ ἔσται. ἀλλ' ἄτοπον εἰ μὴ ἔστι διὰ τὸ ἵστασθαι ἢ διὰ τὸ μὴ ὑπὸ γῆν διιέναι ἢ ἐν νυκτὶ κρύπτεσθαι· οὐσία γάρ τίς ἐστιν ὁ ἥλιος, τὸ δὲ κρύπτεσθαι συμβεβηκός· πῶς οὖν τοῦ συμβεβηκότος ἀναιρουμένου ἀναιρεθήσεται οὐσία; ἄλλως τέ εἰσί τινες τόποι κατὰ τὸν βόρειον πόλον, καθ' οὓς ὁ ἥλιος οὐ κρύπτεται καὶ ὅμως ἔστιν. "ἔτι," φησίν, "ὅσα — ἐνδ.," τουτέστιν, ἔτι εἴπερ ἦσαν ἐκτὸς τοῦδε τοῦ κόσμου ἄλλοι κόσμοι, ὡς ὁ Δημόκριτος ἔφασκε, δῆλον ὅτι καὶ οἱ ἐν ἐκείνοις τοῖς κόσμοις ἥλιοι περὶ γῆν ἂν διήρχοντο ἢ τῇ νυκτὶ ἐκρύπτοντο, ὥστε ὁ λόγος ὁ τοῦδε τοῦ ἡλίου κοινὸς ἂν ἦν καὶ ἥρμοζε κἀκείνοις. ἀλλ' ὑπέκειτο εἷς εἶναι ὁ ἥλιος, ὥσπερ Κλέων καὶ Καλλίας... ὅτως δὴ δείξας ὅτι τῶν καθ' ἕκαστα ὁρισμοὺς οὐκ ἔστιν ἀποδιδόναι, μαρτύρεται καὶ τοὺς τὰς ἰδέας τιθεμέ-

νυς, λέγων διὰ τί ὐδεὶς αὐτῶν ὅρον λέγει τινὸς ἰδέας, ἀλλὰ πάσας ἀορίςυς καταλιμπάνυσι καί φασι μὴ εἶναι ὁρισμὸν τῶν ἰδεῶν; Alex.

ἀλλ' ὡς τὸ πῦρ πρὸς αὐτὰ τὰ μόρια (ὕλη γὰρ αὐτῶν τὸ πῦρ), 160 29.
ὕτω ταῦτα πρὸς τὸν Σωκράτην... ὅταν ὦν, φησί, τὰ μόρια χωριθῇ τοῦ ὅλυ καὶ ὦσι καθ' αὑτά, ὡς ὕλη πάντως εἰσί, καὶ ὡς γῆ καὶ πῦρ καὶ ἀήρ. καὶ τὴν αἰτίαν τοῦ ὅπως καὶ μὴ τὸ χωριθῆναι ὐκ εἰσὶν ὐσίαι, προσέθηκεν εἰπὼν "ὐδὲν γὰρ αὐτῶν ἐςὶν ἕν," ἴσον λέγων τῷ ὅτι ἡ ὐσία συν τῷ τὸ οἰκεῖον ἔργον ἐκπληροῦν καὶ ἓν εἶναι ὀφείλει ἐνεργείᾳ· τὰ δὲ μόρια ἐπειδὰν χωριθέντα σωρηδὸν κείθ, ὐκ εἰσὶν ἐνεργείᾳ ἓν ἀλλὰ δυνάμει. ὥσπερ γὰρ ὁ σωρὸς τῶν χρυσίνων ἢ τῶν καττιτερίνων ψηγμάτων δυνάμει ἐςὶν ἕν, ὅταν δὲ τὸ πῦρ τήξῃ πάντα καὶ ὡς εἰπεῖν πέψῃ καὶ ἓν γένηθ, τότε εἰσὶν ἐνεργείᾳ ἕν, ὕτω καὶ τὰ μόρια σωρηδὸν καὶ τὰ παρὰ θέσιν κείμενα δυνάμει εἰσὶν ἕν, ἀλλ' ὐκ ἐνεργείᾳ. τινὰ τῶν ἀντιγράφων ἔχει "ὁ ὀρρός·" καὶ εἴη ἂν λέγων ὅτι ὥσπερ ὁ ὀρρὸς πρὶν ἢ πεφθῇ, τυτέςι πρὶν ἢ παγῇ καὶ ὅλως τυρωθῇ, ὐ λέγεθ ἓν ἐνεργείᾳ ἀλλὰ δυνάμει. id.

εἰ ὦν, φησίν, ἐδείχθη τὰ καθόλυ ὡς μέρη, ὅτι ὐκ εἰσὶν 161 9.
ὐσίαι, δῆλον ὅτι ὔτε τὸ ἓν ὔτε τὸ ὂν ἐνδέχεθ εἶναι ὐσίαν, ὥσπερ ὐδὲ τὰ ςοιχεῖα ἢ τὴν ἀρχήν, ἐπειδὴ κᾷ πολλῶν λέγεθ, τοιαῦτα δὲ τὰ καθόλυ. Asclep.

δείξας ὅτι ὁ καθόλυ ἄνθρωπος καὶ ἁπλῶς πᾶν εἶδος ὐκ ἔςιν ὐσία, δείκνυσιν ὅτι ὐδὲ τὸ ἓν ἢ τὸ ὄν, ὥσπερ ἔλεγον οἱ τὰ εἴδη τιθέμενοι τὸ αὐτοέν καὶ αὐτοόν, ἐςὶν ὐσία. λέγει δὴ ὅτι ἐπειδὴ τὸ ὂν λέγεθ ὥσπερ καὶ τὸ ἕν (ἔδειξε γὰρ ἐν τῷ Γ (c. 2) τῆσδε τῆς πραγματείας ὡς ἀκολυθεῖ ἀλλήλοις τό τε ἓν καὶ τὸ ὄν, καὶ εἴ τι ἓν τοῦτο καὶ ὄν ἐςι, καὶ ἔμπαλιν εἴ τι ὂν τοῦτο καὶ ἕν), ἐπειδὴ τοίνυν λέγεθ τὸ ἓν ὥσπερ καὶ τὸ ὄν, καὶ ἡ ὐσία ἡ τοῦ ἑνὸς μία... καὶ ἔμπαλιν ὧν μία τῷ ἀριθμῷ ἡ ὐσία, ἐκεῖνα ἕν εἰσι τῷ ἀριθμῷ, δῆλον ὡς ὔτε τὸ ὂν ὔτε τὸ ἕν ἐςιν ὐσία τῶν πραγμάτων. Alex.

ὅμως δὲ εἰ καὶ μᾶλλον ὐσίας δηλωτικά ἐςιν, ἀλλ' ὦν ὐκ εἰσὶν 161 16.
ὐσίαι, εἴπερ μηδ' ἄλλο μηδὲν τῶν κοινῶν ὐσία... καὶ ἄλλως ὐδεμία ὐσία ὐδενὶ ἑτέρῳ ὄντι παρ' αὐτὴν ὑπάρχει, ἀλλ' αὐτὴ ἐν

αὐτῇ ἐςὶ καὶ τῷ ἔχοντι αὐτήν, καὶ τὸ ἓν καὶ τὸ ὂν ἑτέροις ὑπάρχει. τὸ ἓν ἄρα καὶ τὸ ὂν οὐκ εἰσὶν οὐσίαι. ὅτι δὲ ἡ οὐσία οὐκ ἐνυπάρχει ἑτέρῳ ἀλλ' ἐν αὐτῇ ἐςί, δῆλον. id.

161 19. τὸ οὖν ἓν φησὶ τὸ δηλοῦν οὐσίαν καὶ ἓν τῷ ἀριθμῷ οὐ λέγε) πολλαχῇ καὶ ἅμα, καὶ τὸ αὐτὸ οὐκ ἔςιν οὐσία· ὥςε οὐδὲν τῶν καθόλου 5 ὑπάρχει παρὰ τὰ καθ' ἕκαςα χωρίς, ἀλλ' ἐν αὐτοῖς τὸ εἶναι ἔχει. Asclep.

"ἔτι τὸ ἕν," φησί, "πολλαχῇ οὐκ ἂν εἴη ἅμα," τουτέςιν ἡ μία οὐσία, ὁ Σωκράτης φημὶ ἢ ὁ Καλλίας, οὐ δύνα) ἅμα εἶναι καὶ ἐν Λυκείῳ καὶ ἐν ἀγορᾷ, τὸ δὲ κοινὸν ἓν... ἅμα πολλαχῇ ἐςίν... 10 γράφε) δὲ καὶ "ἔτι τὸ ὄν," καὶ εἴη ἂν διὰ ταύτης τῆς γραφῆς λέγων ὅτι τὸ ὄν, τουτέςι τὸ ὑπάρχον οὐσίᾳ, πολλαχῇ ἅμα οὐ δύνα) εἶναι· τὸ δὲ κοινὸν ἓν καὶ ὂν ἅμα πολλαχῇ εἰσίν· τὸ ἓν ἄρα καὶ ὂν οὐκ εἰσὶν οὐσίαι. Alex.

161 27. ποιοῦσιν ταύτας τὰς ἰδέας, τὸν αὐτοάνθρωπον καὶ αὐτοίππον, 15 τὰς αὐτὰς τῷ εἴδει τοῖς φθαρτοῖς· προςιθέντες γὰρ τῷ αἰθητῷ ἀνθρώπῳ τὸ αὐτό (τοῦτο γὰρ εἶπε ῥῆμα καταχρηςικῶς), χειροτονοῦσι καὶ ποιοῦσι καθόλου ἄνθρωπον, λέγοντες αὐτοάνθρωπον καὶ αὐτοίππον. id.

162 1. καίτοι κἂν κατ' ἀλήθειαν ἦσαν αἱ ἰδέαι καὶ ἐν ὑπάρξει ὑπῆρχον, 20 κἂν ἡμεῖς μὴ ἑωράκειμεν, ἦσαν ἄν. τίς οὖν ἀνάγκη ἦν δεικνύναι αὐτὰς ἐν τοῖς αἰθητοῖς; ἔδει γὰρ αὐτοὺς ἐρωτωμένους τίνες εἰσὶν αὗ) αἱ οὐσίαι, πρὸς τὸν πυνθανόμενον ἀποκρίνε) ὅτι νοοῦμεν μὲ αὐτοάνθρωπον, ἀλλ' ὧν ἐν τῷ νοητῷ κόσμῳ ὄντα οὐ δυνάμεθα αὐτὸν δεῖξαι, οὐ μὴν παράγειν τοὺς καθ' ἕκαςα καὶ λέγειν ὡς ὁ 25 αὐτοάνθρωπος οὗτοί εἰσιν· ἐν τούτοις γάρ ἐςι, καὶ τῇ μετουσίᾳ ἐκείνου οὗτοι εἰσίν. ἀλλ' ὡς ἔοικε, τοῦτο ἐκεῖνοι ἐποίουν δεδιότες, ὡς εἰ μὴ θεασάμενοι τύχοιμεν αὐτό, οὐδὲ δύνα) εἶναι, καίτοι καὶ τῶν ἀςέρων πολλούς, οἷον τὸν Κάνωβον, οὐχ ὁρῶμεν. ὥςε καὶ νῦν εἰ μὴ ἔχομεν ἰδεῖν τὰ εἴδη, ἀλλ' ὦν, φησίν, εἶναί τινας οὐσίας, οὐχ οἵας οἱ 30 τὰς ἰδέας τιθέμενοι ἔλεγον ἀλλ' ἀσωμάτους καὶ νοεράς, ἀναγκαῖον.

162 4. τὸ δὲ "ἴσως" πρόσκει) διὰ τὸ μήπω τοῦτο δεῖξαι, λέγω δὴ τὸ εἶναί τινας οὐσίας παρὰ τὰς αἰθητάς, κἂν μὴ ἡμεῖς ταύτας ἰδεῖν δυνώμεθα. id.

ζητεῖ) ὅν, φησί, τὸ διὰ τί, ὅτι διὰ τί ἄλλο ἐν ἄλλῳ ὑπάρ- 162 13.
χει· τὸ γὰρ ζητεῖν ὅτι διὰ τί ὁ μουσικὸς ἄνθρωπος μουσικὸς ἄνθρω-
πός ἐστιν; ἢ τὸ αὐτὸ ζητεῖν ἐστι, τουτέστι τὸ αὐτὸ ἐν αὐτῷ, ἢ ἄλλο.
Alex.

"εἷς — πάντων." ἐρεῖ γὰρ ὁ προσδιαλεγόμενος διότι ὁ ἄν- 162 18.
θρωπος ἐστι καὶ διότι ὁ ἵππος καὶ διότι ὁ βοῦς. ὧν δὲ ἡ αἰτία μία, καὶ
ἐκεῖνα ἕν· ὥστε ἔσται ὁ βοῦς καὶ ὁ ἄνθρωπος ἓν τῷ ἀριθμῷ. εἰ δέ γε
τοῦτο ἄλογον καὶ ἀδύνατον, οὐ χρὴ ζητεῖν διὰ τί ὁ ἄνθρωπος ἄνθρω-
πός ἐστιν. ἴσως δέ, φησίν, ἐρωτηθείς τις διὰ τί ὁ ἄνθρωπος ἄν-
θρωπός ἐστι καὶ ὁ ἵππος ἵππος, οὐκ ἐρεῖ διότι ἄνθρωπός ἐστι καὶ διότι
ἵππος, ἀλλ' ὅτι διὰ τοῦτο ὁ ἄνθρωπος ἄνθρωπός ἐστι καὶ ὁ ἵππος ἵπ-
πος, ὅτι ἀδιαίρετός ἐστιν ἕκαστος πρὸς ἑαυτόν. τὸ δὲ λέγειν ὅτι
διὰ τοῦτο ἄνθρωπός ἐστιν ὅτι ἀδιαίρετός ἐστιν ἕκαστος πρὸς ἑαυτόν,
οὐδὲν ἄλλο ἐστὶν ἢ τὸ λέγειν ὅτι διότι εἷς ἐστίν. ἀλλ' αὕτη ἡ αἰτία
κοινὴ κατὰ πάντων καὶ σύντομος τυγχάνει καὶ ὀδεμίαν ἔχει δυσχέ-
ρειαν· εὔκολον γάρ ἐστιν ἐρωτωμένων ἡμῶν, διὰ τί τὸ λευκὸν λευ-
κόν ἐστι, λέγειν διότι ἕν ἐστι, καὶ διὰ τί ὁ βοῦς βοῦς ἐστί, διότι εἷς
ἐστίν· ὧν δὲ ὁ λόγος, ὥσπερ εἴρηται, εἷς, καὶ αὐτὰ ἕν. εἰ δὲ ταῦτα
ἄτοπα καὶ ἀδύνατα, οὐ χρὴ οὕτω προτείνειν τὰς ἐρωτήσεις καὶ ζητή-
σεις, ἀλλὰ ζητεῖν διὰ τί ὁ ἄνθρωπός ἐστι ζῷον τοιονδί, τουτέστι διὰ
τί ὁ ἄνθρωπος φέρε εἰπεῖν ἐστὶ ζῷον λευκὸν ἢ δίπουν. ὁ δὴ τοῦτο
ζητῶν φανερὸν ὡς οὐ ζητεῖ διὰ τί ὁ ἄνθρωπος ἔστιν, ἀλλὰ ζητεῖ,
ὅτι τὸ δίπουν καὶ τὸ λευκὸν ἕτερον τοῦ ἀνθρώπου, διὰ τί ὑπάρχει τῷ
ἀνθρώπῳ. id.

καὶ οἶμαι τὸ "ἴσως" διὰ τοῦτο πρόσκειται τῷ "οἷον ἴσως ἐπὶ 163 4.
οἰκίας," ὡς εἰ ἔλεγε ποτὲ μὲν ἴσως ζητηθήσεται τὸ τίνος ἕνεκα, ποτὲ
δὲ τὸ κινήσαν. τὸ δὲ "τοῦτο δ' ἐστὶ τὸ τί ἦν εἶναι, ὡς εἰπεῖν λογι-
κῶς," παρέλκον ἐστὶ καὶ ὑπό τινος ἐνταῦθα παραρριφθέν· περὶ γὰρ
τούτου μετ' ὀλίγον ἐρεῖ. id.

ἀλλὰ τοιοῦτον μέν, λέγων τὸ ποιητικόν, ἐπὶ τῶν γιγνομένων 163 6.
καὶ φθειρομένων ζητεῖ)... θάτερον δέ, οἷον τὸ εἰδικόν, καὶ ἐπὶ τῶν
γιγνομένων καὶ ἐπὶ τῶν ἤδη ὄντων. id.

φησὶν ὅτι ὑπὸ ἀπορίας παραλογίζονται ἑαυτούς· δυνατὸν γάρ 163 7.
ἐστι καὶ ἐπὶ τῶν ἁπλῶν εἰδῶν ζητεῖσθαι τὸ διότι, ἐὰν τὸ εἶδος ὡς ἐν

ὕλῃ θεωρήσωμεν, καθάπερ ἐν τῇ θεωρίᾳ εἰρήκαμεν, ὥςε ταῦτα κοινὰ γίνεται τοῦ ζητεῖν καὶ τοῦ μὴ ζητεῖν. Asclep.

ὁ δὲ Συριανός φησιν ὅτι διὰ τοῦτο ἐσιώπησε τὸ ποιητικόν (ὁ Ἀριςοτέλης), ἐπειδὴ ἐπὶ τῶν ἀϊδίων ὁμολογεῖται τὸ ποιητικόν, ὅτι θεός, ἐπὶ δὲ τῶν ἐν γενέσει καὶ μάλιςα τῶν τεχνητῶν οὐ κεχωρισμένον· δυνατὸν γὰρ τὸν οἶκον ὑπὸ διαφόρων ἀνθρώπων γενέσθαι. ἡμεῖς δὲ εἰρήκαμεν πρὸς αὐτοὺς ὅτι καὶ τὸ τελικὸν ὥριςαι ἐπὶ τῶν ἀϊδίων, τἀγαθόν, οὗ πάντα ἐφίεται. καὶ εἶπεν ὅτι τὸ καθόλου ἀγαθόν, οὐ μέντοι γέ φησι τὸ μερικόν, οἷον διὰ τί κύκλῳ κινεῖται; ὅτι νοῦν μιμεῖται. Asclep.

1638. εἰπὼν ὅτι ἡ τοῦ διὰ τί ζήτησις αἰτίου ζήτησίς ἐςιν, ὅτι τὸ κινῆσαν τὴν ὕλην εἰς τὸ γεγονέναι τόδε τι καὶ ὅπερ ἐςί, λέγει ὅτι ἐν τοῖς μὴ καλῶς καὶ καταλλήλως λεγομένοις λανθάνει τοῦτο καὶ δοκεῖ ὅτι ἡ τοῦ διὰ τί ζήτησις οὐκ ἔςιν αἰτίου ζήτησις, οἷον ὅταν ζητῇ τί ἐςιν ἄνθρωπος, τουτέςι διὰ τί ἐςιν ἄνθρωπος; τὸ γὰρ τί ἀντὶ τοῦ διὰ τί νῦν εἴληπται. φησὶ διὰ τὸ ἁπλῶς λέγεσθαι οὐ δοκεῖ ὅτι τοῦτο ζητεῖται, λέγω δὴ ὅτι τί ἐςι τὸ τὴν ὕλην κινῆσαν ὡς ἄνθρωπος γένηται; διὰ οὖν τὸ ἁπλῶς λέγεσθαι καὶ μὴ διορίζειν ὅτι διὰ τόδε, οὐ δοκεῖ· δεῖ δὲ διαρθρώσαντας ζητεῖν, οἷον λέγειν ὅτι διὰ τί τάδε, αἱ χεῖρες φημὶ καὶ πόδες καὶ σάρκες, τόδε εἰσίν, ἤτοι ἄνθρωπος... εἰ δὲ μὴ διορίζει... ζητεῖν καὶ μὴ ζητεῖν ἔςιν. ἢ μὴ γὰρ ὅλως ζητεῖ, ζητεῖ· ἢ δὲ μὴ καλῶς, οὐ ζητεῖ. γράφεται δὲ καὶ "λανθάνει δὲ μάλιςα τὸ ζητούμενον ἐν τοῖς κατ' ἄλλων λεγομένοις," τουτέςιν ἐν τοῖς κατ' ἄλλων κατηγορουμένοις. ὅταν μὴ καλῶς κατηγορηθῇ, λανθάνει ὅτι τὸ αἴτιον ζητεῖται. Alex.

γρ. "ἐν τοῖς μὴ καταλλήλως," καὶ ἔτι "ἐν τοῖς μὴ κατ' ἄλλων." cod. Reg.

1639 12. ἐπειδὴ δὲ δεῖ τὸν ζητοῦντα περί τινος ἔχειν καὶ γινώσκειν ὅτι ὑπάρχει τόδε τῷδε, ἐςὶ δῆλον ὡς ὅταν ζητῇ τὸ διὰ τί, τὴν ὕλην ζητεῖ, πῶς καὶ ὑπὸ τίνος κινηθεῖσα γέγονεν ὅπερ ἔςιν. οἷον ὅταν λέγῃ, διὰ τί ὁ ἄνθρωπος τοδί ἐςιν, ἢ μὴ τοῦτο, ἀλλ' ὅτι διὰ τί τὸ σῶμα τουτὶ οὑτωὶ ἔχον ἐςίν; τοῦτο ζητεῖ, τί τὸ αἴτιον τὸ κινῆσαν τοδὶ σῶμα οὕτως ἔχειν; καὶ πάλιν ὅταν λέγῃ ὅτι διὰ τί ἡ οἰκία τοδί, ἤτοι διὰ τί τὰ ξύλα καὶ οἱ λίθοι οἰκία ἐςίν; τοῦτο ζητεῖ ὅτι διὰ τί

ταδὶ ὑπάρχει ὃ ἦν οἰκία, τυτέςι τί τὲ κινῆσαν ταδὶ καὶ ποιῆσαν αὐτὰ οἰκίαν; ὥςε δῆλον ὅτι ἡ διὰ τί ζήτησις ἐξαιρέτως ἐπὶ τῶν φυσικῶν αἰτίᾳ ἐςὶ ζήτησις. τῦτο δὲ τὲ αἴτιόν ἐςι τὲ εἶδος ᾧ τι 163 17.
ἔςι, τυτέςιν ἐν ᾧ ἡ ὕλη ἐςίν. δῆλον ἄρα γέγονε τί ποτε ἐςὶν ἡ
5 ὐσία... εἰ δή, ὥσπερ εἴρηται, τὲ εἶδός ἐςι τὲ τάττον καὶ ποιῶν, φανερὸν ὅτι ἔςι τὲ εἶδος κοσμῶν καὶ ποιῶν ἔχειν τὸν κόσμον, ὥσπερ ἔχει. ἐπειδὴ ὖν τὲ διὰ τί ζήτησίς ἐςιν ἄλλυ ἐν ἄλλῳ ὑπάρχοντος, 163 18.
δηλονότι ἐπὶ τῶν ἁπλῶν καὶ μόνως εἰδῶν ὐκ ἔςι ζήτησις, ὐδὲ τὲ διὰ τί, ἀλλ' ἕτερος τρόπος ζητήσεως. καὶ ἐρεῖ, ὅταν περὶ ἐκείνων
10 λέγῃ, τίς ὁ τρόπος τῆς τῶν ἁπλῶν ζητήσεως. Alex.

τὲ προκείμενόν ἐςι δεῖξαι ὅτι τὲ εἶδος ἕτερόν ἐςι τῆς ὕλης, καὶ 163 20.
ὅλως τὲ σύνθετον. id.

εἰ μὴ ὖν ςοιχεῖον ἐπειδὴ ςοιχεῖόν ἐςιν αὐτό τε καὶ ἡ σάρξ 163 27.
καὶ τὲ πῦρ, κινηθήσονται ὑπ' ἄλλυ εἴδυς καὶ γενήσονταί τι· πάλιν
15 ὖν ἐκεῖνο ἢ ςοιχεῖον ἢ ἐκ τῶν ςοιχείων, καὶ τῦτο εἰς ἄπειρον. ἐκ τύτυ ὖν φησί, "τύτυ" λέγων τῦ κινηθέντος, καὶ πυρὸς καὶ γῆς, ἔςαι ἡ σάρξ· καὶ πάλιν ἐξ ἐκείνυ καὶ τῆς σαρκὸς καὶ εἴ τινος ἄλλυ ἔςαι ἄλλο. ὥςε δῆλον ὅτι τὲ εἶδος ὐκ ἔςι ςοιχεῖον. εἰ δέ τις, φησίν, ἐκ ςοιχείων, τὲ δὲ ἐκ ςοιχείων ὐχ ἁπλῶν ἐςὶν ἀλλὰ
20 σύνθετον, ὥςε ὐκ ἐξ ἑνὸς ἀλλ' ἐκ πλειόνων ἐςὶν ἢ ἐκεῖνο· ἐκεῖνο γάρ ἐςιν ἕν· ὥςε παρ' ἐκεῖνο εἰσὶ τὰ ἐξ ὧν ἐςίν. τὲ δὲ παρὰ τὲ ἓν δῆλον ὅτι ἢ δύο ἐςὶν ἢ τρία ἢ ἄλλος τις ἀριθμός. ὥςε εἴπερ ἐςὶν ἐκ ςοιχείων, ἐπειδὴ τὲ ἐκ ςοιχείων ὑπό τινος γίνεται, τῦτο εἴπερ ἐςὶν ἐκεῖνο τὲ ποιῆσαν αὐτό, ςοιχεῖον ὐκ ἔςαι· δέδεικται γὰρ ὅτι τὲ
25 ποιῶν τὲ εἶδός ἐςιν, τὲ δὲ εἶδος ςοιχεῖον ὐκ ἔςιν· καὶ τῦτο γὰρ δέδεικται· ἔςαι ἄρα κἀκεῖνο ἐκ ςοιχείων, καὶ τῦτο εἰς ἄπειρον. ὃ δὲ ἐπὶ τῆς σαρκὸς εἴρηται, τῦτο ἐπὶ τῆς συλλαβῆς καὶ ἐπὶ πάντων ῥηθήσεται. ὐκ ἄρα ὔτε ςοιχεῖόν ἐςι τὲ εἶδος ὔτε ἐκ ςοιχείων· ὥςε ἔςι τι τῦτο τὲ τὴν ὕλην κινῦν καὶ ποιῦν σάρκα καὶ συλλαβήν· τῦτο
30 δέ ἐςι τὲ εἶδος καὶ ἡ ἑκάςυ ὐσία. id.

ὥςε ἐςὶ καὶ τὲ εἶδος τῆς συλλαβῆς ὐ μόνον τὰ ςοιχεῖα τὲ φω- 163 28.
νῆεν καὶ τὲ ἄφωνον "καὶ ἕτερόν τι," τυτέςι τὲ εἶδος τῆς σαρκός, ὐ μόνον πῦρ καὶ γῆ. Asclep.

164 7. ὥςε αἴτιόν τί ἐςι τὸ εἶδος καὶ οὐ ςοιχεῖον, καὶ αἴτιον τοῦ εἶναι τοῦδε μὲν σάρκα τὸ δὲ συλλαβήν. ὁμοίως δὲ καὶ ἐπὶ τῶν ἄλλων· ὥςε ἑκάςου οὐσία κυρίως ἐςὶ τοῦτο τὸ εἶδος. id.

164 13. ἐπειδὴ οὖν ἔνιαι οὐκ εἰσὶν οὐσίαι τῶν πραγμάτων, ἀλλ' οὐσίαι αἱ κατὰ φύσιν καὶ φυσικαί (τὰ γὰρ τεχνητὰ εἴδη οὐκ ὑπάρχουσιν οὐσίαι)· ὥςε οὐσία ἐςὶ τὸ εἶδος τὸ ἐν τοῖς φυσικοῖς πράγμασι, ςοιχεῖον δέ ἐςιν εἰς ὃ διαιρεῖται τὸ εἶδος ἐνυπάρχον ὡς ὕλην, οἷον τὴν βα συλλαβὴν τὸ α καὶ τὸ β. ὥςε κυρίως βούλεται ὁ Ἀριςοτέλης οὐσίαν εἶναι τὸ εἶδος τὸ καθόλου τὸ χωριςὸν καὶ ἐν τοῖς πολλοῖς θεωρούμενον· τὸ γὰρ εἶδος τῆς βα συλλαβῆς θεωρεῖται καὶ ἐν κηρῷ καὶ ἐν ξύλῳ καὶ σιδήρῳ καὶ χαλκῷ καὶ ἀργύρῳ καὶ χρυσῷ. id.

164 14. ἀλλ' ἐκεῖνά εἰσι τῶν πραγμάτων οὐσίαι, ὅσα κατὰ φύσιν καὶ ὑπὸ φύσεως καὶ εἰς τὸ τί ἦν εἶναι αὐτοῖς συμβάλλεται. φανερὸν ἄρα ὅτι αὕτη ἡ φύσις (λέγοι δ' ἂν φύσιν τὸ εἶδος) ἐςὶν οὐσία. Alex.

164 19. Τὰ ἐν τῷ πρὸ τούτου βιβλίῳ καὶ τῷ πρὸ ἐκείνου λεχθέντα, οὐχὶ πάντα (ἢ γὰρ ἂν πάλιν τὰ αὐτὰ συνέβη λέγειν) ἀλλὰ τὰ κυριώτατα (ταῦτα γὰρ καὶ κεφαλὴν εἶπεν), ἀνακεφαλαιοῦται, καὶ τὴν αἰτίαν τοῦ τίνος ἕνεκεν ἐκεῖνα εἶπε λέγει.

164 20. καλῶς δὲ τὸ τέλος εἶπεν· ἀπὸ γὰρ τοῦ μετὰ τοῦτο βιβλίου ἀρχὴν ποιεῖται λέγειν περὶ δυνάμεώς τε καὶ ἐνεργείας καὶ τῶν λοιπῶν, περὶ ὧν τὸν λόγον ποιήσεται.

165 5. δεῖ ὑποςίζειν εἰς τὸ "τῷ γένει." καὶ εἴη λέγων ὅτι καὶ αἱ ἰδέαι συνάπτουσιν ἤτοι κοινωνοῦσι τῷ καθόλου καὶ τῷ γένει· ὥσπερ γὰρ τὸ καθόλου καὶ τὸ γένος ἓν ὂν ἐπὶ πολλῶν θεωρεῖται, οὕτω καὶ οἱ τὰς ἰδέας τιθέμενοι περὶ αὐτῶν λέγουσιν· ὁ γὰρ αὐτοάνθρωπος, φασίν, ἐν τοῖς κατὰ μέρος ἐςίν. τοῦτο γὰρ δηλοῖ τὸ "κατὰ τὸν αὐτὸν λόγον οὐσίαι δοκοῦσιν εἶναι," ἤτοι ἐπίσης γὰρ καὶ ὁ καθόλου ἐπὶ πολλῶν θεωρεῖται καὶ ἡ ἰδέα. ἀλλὰ μὴν τὰ καθόλου οὐ καθ' αὑτὰ οὐδ' οὐσίαι· οὐδ' ἄρα αἱ ἰδέαι.

165 22. καὶ χωριςὸν κυρίως καὶ καθ' αὑτὸ ὄν, ἀλλ' οὐ τῷ λόγῳ μόνῳ, ὥσπερ τὸ εἶδος. εἰπὼν δὲ ὅτι τὸ εἶδος τῷ λόγῳ μόνον ἐςὶ χωριςόν, λέγει ὅτι τῶν κατὰ τὸν λόγον οὐσιῶν (κατὰ λόγον οὐσίας, ὡς πολλάκις εἴρηται), λέγων τὰ εἴδη) αἱ μὲν αἱ δ' οὔ, τουτέςιν αἱ μέν εἰσι τῷ λόγῳ χωριςαί, αἱ δὲ καὶ ἁπλῶς. ἐπειδὴ γὰρ τὸ ἑκάςου εἶδος ἡ

ἑκάςῳ ψυχὴ τυγχάνει (ἡ μὴ γὰρ τοιάδε μορφὴ ὐδέποτε χωρὶς ἐςι τῆς ὕλης), ἡ δὲ ψυχὴ ὐ πᾶσα ἀλλ' ἡ λογικὴ χωρίζεται, διὰ τοῦτο τὰς μέν φησι χωρίζεσθαι τὰς δ' ὔ. μήποτε δὲ ὐ περὶ τῆς μορφῆς τοῦτο εἴρηται (καίτοι καὶ τούτου ἀληθοῦς ὄντος· ὐδέποτε γὰρ ἡ βρότειος μορφὴ ἄνευ ὕλης εἶναι δύναται), ἀλλὰ περὶ τῶν ἀλόγων ψυχῶν, ὅτι αὐταὶ μὴ ὐ χωρίζονται, ἀλλὰ μόναι αἱ λογικαί.

εἶπε γὰρ καὶ ἐν τῇ Φυσικῇ Ἀκροάσει (5 1), μάλιςα δὲ ἐν τῇ περὶ Γενέσεως (1 3), ὅτι ἡ ἀπὸ τῶν χειρόνων εἰδῶν μεταβολή, οἷον ἡ ἀπὸ ἀέρος εἰς πῦρ, ἐπὶ τὰ κρείττω ἁπλῆ μέν ἐςι γένεσις τὶς δὲ φθορά, ἡ δὲ ἀπὸ τοῦ κρείττονος εἴδους ἐπὶ τὸ χεῖρον ἁπλῆ μὴ φθορὰ τὶς δὲ γένεσις. 1667.

ὥςε, φησί, δῆλον ὅτι καὶ τὸ ἔςιν ἤτοι καὶ τὸ εἶναι ἑκάςῳ καὶ τὸ εἶδος αὐτῶν τοσαυταχῶς λεχθήσεται. 16627.

καὶ τὸ κρυςάλλῳ εἶναι τὸ ὕτω πεπυκνῶσθαί ἐςι, καὶ ἁπλῶς πᾶσι τούτοις ὁρισθήσεται τὸ εἶναι. 16630.

οἷον τοῖς μὴ ἀρχὴ ἔςαι εἰδοποιὸς τὸ μᾶλλον καὶ ἧττον, ὥσπερ Θαλῆς ἔλεγεν ὅτι τὸ ὕδωρ μᾶλλον μανωθὲν γίνεται ἀὴρ καὶ ἔτι μᾶλλον πῦρ. 1675.

ὃ δὲ λέγει, τοιοῦτον ἂν εἴη. ὐδὲν τούτων ὐσία ἐςὶν ὐδὲ συνδυαζόμενον τῇ ὕλῃ· ὅμως ἐν ἑκάςῳ τούτων ἤτοι τοῦ ὐδοῦ καὶ τῶν ἄλλων τὸ ἀνάλογόν ἐςι, τουτέςιν ἔχουσιν ἀναλογίαν πρὸς τὴν ὐσίαν. καὶ ὥσπερ ἐν ταῖς ὐσίαις τὸ κατηγορούμενον τῆς ὕλης ὐδὲν ἕτερόν ἐςιν ἢ αὐτὴ ἡ ἐνέργεια, τουτέςιν αὐτὸ τὸ εἶδος, ὃ δὴ καὶ ὁριζόμεθα (τοῦτο γὰρ προσυπακούειν δεῖ), ὕτω καὶ ἐν τοῖς ἄλλοις ὁρισμοῖς, τοῖς μὴ ὐσιῶν ὄσιν ἀλλὰ τεχνητῶν, τὰ εἴδη ὁριςέον. 16713.

ὕτω μὴ ὂν ζητήσας ὐ λύει, ὡς δῆλον ὄντος ὅτι τὰ ὀνόματα τῶν εἰδῶν εἰσὶ σημαντικά, ἀλλ' ὐ τῶν συνθέτων. 16820.

εἰ μέν, φησί, λέγοι τις τὴν ψυχὴν ἄνθρωπον καὶ κατηγορεῖται τὸ ἄνθρωπος κατὰ τῆς ψυχῆς, ἐπειδὴ ψυχὴ καὶ τὸ ψυχῇ εἶναι ταὐτὸν σημαίνει, εἴη ἄνθρωπος καὶ ἀνθρώπῳ εἶναι ταὐτόν· εἰ δὲ μή, ὐκ ἔςαι. καὶ ὕτω, φησί, "τινὶ μὲν τινὶ δ' ὔ," τουτέςιν εἰ λέγει τις ἄνθρωπον τὴν ψυχήν, ἔςαι ταὐτὸν ὁ ἄνθρωπος καὶ τὸ ἀνθρώπῳ εἶναι· εἰ δὲ ἄνθρωπον λαμβάνει τὸν σύνθετον ἐκ ψυχῆς καὶ σώματος ἤτοι τὸν ἐξ ὕλης καὶ εἴδους, ὐκ ἔςαι ταὐτὸν ἄνθρωπος καὶ 16825.

ἀνθρώπῳ εἶναι, ἀλλὰ τινὶ μέν, οἷον ἐπὶ τῆς ψυχῆς, τινὶ δέ, οἷον ἐπὶ τοῦ ἀνθρώπου τοῦ συνθέτου, οὐκ ἔςαι.

168 29. "σύνθεσις — μῖξις." ὃ δὴ ἀσαφῶς ἑρμηνεύει καὶ ἐλλιπῶς· δεῖ γὰρ ὑπακούειν τὸ τινός. τὸ δὲ "ἐκ τούτων" ἀντὶ τοῦ μετὰ τούτων, ὧν ἐςὶ σύνθεσις ἡ μῖξις. καὶ εἴη ἂν τὸ λεγόμενον τοιοῦτον. εἰ ἔςιν ἡ σύνθεσις ὕδατος, εἰ τύχοι, καὶ μέλιτος, ὁ συνῆλθεν ἡ μῖξις τινὶ τούτων, ἢ τῷ ὕδατι ἢ τῷ μέλιτι ἢ καὶ ἀμφοῖν, καὶ ἀπετέλεσαν τὸ μελίκρατον· εἰ μὴ γὰρ ἦν ἡ μῖξις πρᾶγμά τι τῶν δυναμένων καθ' αὑτὸ εἶναι, εἰκὸς ἦν λέγειν ὅτι μετά τινος τούτων τοῦ τε ὕδατος καὶ τοῦ μέλιτος ἢ καὶ ἀμφοῖν συνελθοῦσα ἀπετέλεσε τὸ μελίκρατον· ἐπεὶ δὲ οὐκ ἔςιν, ὃ λέγει τοῦτο, ἀλλὰ τὸ μελίκρατόν ἐςιν αὕτη ἡ μῖξις.

169 5. οὐδὲ δή, φησίν, ὁ ἄνθρωπός ἐςι τὸ ζῷον καὶ τὸ δίπουν, ἀλλὰ τὸ ἐκ τούτων ἀποτέλεσμα, ὃ παρὰ ταῦτά ἐςιν· ταῦτα μὲν γὰρ ὕλη, τὸ δ' ἐκ τούτων ὁ ἄνθρωπος. ὅπερ, λέγω δὴ τὸ παρὰ τὸ ζῷον καὶ τὸ δίπουν, ἡ οὐσία, οὔτε στοιχεῖόν ἐςιν οὔτε ἐκ στοιχείων, τὶ δέ ἐςι παρὰ τὸ ζῷον καὶ τὸ δίπουν ἡ οὐσία ἤτοι τὸ εἶδος, ὃ καὶ κυρίως οὐσίαν λέγουσιν ἐξαιροῦντες τῷ λόγῳ καὶ χωρίζοντες τὴν ὕλην. μήποτε δὲ τὸ "ὃ ἐξαιροῦντες τὴν ὕλην λ." περὶ τῶν τὰς ἰδέας λεγόντων εἴρηται, ὅτι ὅπερ εἶδος τῆς ὕλης χωρίζοντες καὶ καθ' αὑτὸ εἶναι λέγοντες οὐσίαν αὐτό φασιν. εἰ δή, ὡς πολλάκις δέδεικται, τὸ εἶδός ἐςι τὸ αἴτιον τὸ κινοῦν τὴν ὕλην καὶ ποιοῦν ὅπερ ἔςι, δῆλον ὡς εἴ τις ὅλως οὐσίαν λέγοι, οὐδὲν ἄλλο ἀλλ' ἢ τὸ εἶδός φησιν.

169 10. δέδεικται γὰρ ἐν τῷ πρὸ τούτου βιβλίῳ ὅτι τὸ εἶδος οὐδεὶς ποιεῖ οὐδὲ γεννᾷ, ἀλλὰ ποιεῖται τοῦδε τὸ εἶδος κτλ.

ἐν τῷ πρὸ τούτου βιβλίῳ. ἐν τῷ περὶ Γενέσεως καὶ Φθορᾶς (1 7). cod. Reg.

169 19. δεῖ προσυπακούειν τοῦ ἐξ ὧν εἴπομεν λυθῆναι, ἵνα ᾖ τὸ λεγόμενον τοιοῦτον· ὥςε ἡ ἀπορία καιρὸν ἔχει, ἣν οἱ Ἀντιθένειοι ἠπόρουν, λυθῆναι ἐξ ὧν εἴπομεν. ἐπειδὴ γὰρ δέδεικται ὅτι ἄλλα ἐςὶ τὰ ὡς εἴδους μέρη καὶ ἄλλα τὰ ὡς ὕλης, ἐκ τούτων λυθήσεται ἡ τῶν Ἀντιθενείων ἀπορία. ἔςι δ' αὐτῶν ἡ ἀπορία, ὅτι οὐκ ἔςιν ὁρίσασθαι, οὐδ' ἔςιν ὁρισμός τινος. τοῦτο δὲ κατασκευάζουσιν οὑτοι. ἐπειδὴ γὰρ ὁ ὁρισμὸς οὐκ ἔςιν ὄνομα, ἀλλ' ἐκ πλειόνων (τοῦτο γὰρ

εἶπε λόγον μακρόν· τὸ γὰρ ζῷον λογικὸν θνητὸν οὐ καὶ ἐπιστήμης δεκτικόν λόγος μακρός ἐστιν, ἀλλ' οὐχ ὡς τὸ ἄνθρωπος ὄνομα), ἐπειδὴ οὗν ὁ ὁρισμὸς οὐκ ἔστιν ὄνομα, οὐκ ἔστιν ὁρίσασθαι. λέγουσι δὲ ὅτι, ὅταν εἴπωμεν ζῷον λογικόν, σύνθετόν τι λέγομεν ἐξ ὕλης καὶ
5 εἴδους, ὕλης μὲν τοῦ ζῴου, εἴδους δὲ τοῦ λογικοῦ, καὶ ἔτι προσεθὲν τὸ θνητὸν σύνθετον. εἰ δὲ τοῦτο, τὰ μὲν σύνθετα ἐπεξερχόμεθα· καὶ οἱονεὶ ἀριθμοῦμεν πόσα τινὰ τυγχάνει, ζῷον λογικόν λέγοντες, καὶ πάλιν ζῷον λογικὸν θνητόν, ὁρισμὸν δὲ οὐ φαμεν. λέγει δὲ ὁ Ἀριστοτέλης ὅτι ἡ ἀπορία αὕτη λύεται ἐξ ὧν εἴπομεν· ἐπειδὴ γὰρ
10 δέδεικται ὅτι τὸ ζῷον πεζὸν οἷπον τοῦ εἴδους ἐστὶ μέρη, οὐ τῆς ὕλης, πῶς ἐστὶ δυνατὸν λέγειν ὅτι τὸ ζῷόν ἐστιν ὕλη τὸ δὲ λογικὸν εἶδος, ἢ πάλιν τὸ ζῷον λογικὸν ὕλη τὸ δὲ θνητὸν εἶδος; εἰ μὲν γὰρ ἦσαν τῆς ὕλης μέρη τὸ ζῷον, τὸ θνητόν, τὸ λογικόν, ἐχρῆν ταῦτα λέγειν, ὅτι τὸ ζῷον καὶ τὸ λογικὸν ὕλη ἐστί, τὸ δὲ θνητὸν εἶδος, καὶ λέγοντες ζῷον
15 θνητόν λέγουσι τὸ σύνθετον τὸ ἐξ ὕλης καὶ εἴδους. ἐπεὶ δὲ οὐκ εἰσὶν ὑλικά, οὐ τὸ σύνθετον λέγουσιν, ἀλλὰ τὰ μέρη τοῦ εἴδους· ὥστε ἔστιν ὁρισμός. οὐκ ἔστιν οὖν, φασίν, ὁρίσασθαι, ἀλλὰ ὁποῖον μέν ἐστιν ἄνθρωπος ἢ βοῦς ἐνδέχεται διδάξαι, ὁρίσασθαι δὲ οὔ· οἷον ὁρίσασθαι μὲν καὶ εἰπεῖν τί ἐστιν ἄργυρος οὐχ οἷόν τε, ὁποῖον δέ, δυνατόν, οἷον ἐρω-
20 τηθέντα ὁποῖόν ἐστιν ἄργυρος, εἰπεῖν ὅτι οἷον κατατίτερος. ὥστε φασί, λόγον μὲν ἔστιν εἰπεῖν οὐσίας συνθέτου τῆς ἐξ ὕλης καὶ εἴδους, εἴδους δὲ ὅρον ἢ ὕλης ἐξ ὧν ἡ σύνθετός ἐστιν οὐσία οὐκ ἔστιν ἀποδοῦναι. εἰπὼν δὲ ὅτι συνθέτου ἐστὶν οὐσίας ἀποδοῦναι ὁρισμόν, προσέθηκε τὸ "ἐάν τε αἰσθητὴ ἐάν τε νοητὴ ᾖ." ἀλλ' ὅτι μὲν αἰσθηταὶ
25 οὐσίαι σύνθετοί εἰσι, φανερόν· ὅτι δέ εἰσι καὶ νοηταὶ σύνθετοι, δῆλον· τὰ γὰρ μαθηματικὰ ἐξ ὕλης καὶ εἴδους εἰσίν· ὁ γὰρ νοητὸς κύκλος ἐξ ὕλης μὲν τοῦ διαστήματος, εἴδους δὲ τοῦ τοιουδὶ σχήματος. οὐχ ὡς ἀρεσκόμενος δὲ καὶ τὰ μαθηματικὰ οὐσίας εἶπεν, ἀλλ' ἴσως καὶ τοῦτο τῶν Ἀντιθενείων λεγόντων εἴρηκεν αὐτὰ οὐσίας. τῆς μὲν οὖν συν-
30 θέτου φασὶν οὐσίας, εἴτε αἰσθητή ἐστιν εἴτε νοητή, ἔστιν ὁρισμὸν ἀποδοῦναι, ἐξ ὧν δ' αὕτη, οὐκ ἔστιν, εἴπερ τὸ ζῷον λογικὸν καὶ ὅλως ὁ ὅρος τὶ κατά τινος σημαίνει, καὶ τὸ μέν ἐστιν εἶδος τὸ δὲ ὕλη. "φανερὸν — εἰσίν." δείξας ὅτι τὸ εἶδός ἐστιν ἡ κυρίως οὐσία, καὶ εἰπὼν ὅτι εἴπερ ὅλως λέγομεν οὐσίαν, τὸ εἶδος ἂν λέγοιμεν, ἐπειδὴ

ὁμοιότητάς τινας ἔχουσιν οἱ ἀριθμοὶ πρός τε τὸ εἶδος καὶ τὴν οὐσίαν, λέγει ὅτι ἐὰν διὰ τὸ ὁμοιότητα ἔχειν τοὺς ἀριθμοὺς καὶ τὰ εἴδη, λέγουσι τὰ εἴδη ἀριθμοὺς καὶ ἐπὶ τούτῳ καὶ τὰς οὐσίας, ἔχει τινὰ λόγον τὸ ὑπ' αὐτῶν λεγόμενον, καὶ καλῶς τοῦτο λέγει· εἰ δ' ἄλλως, ὅτι ὁ ἀριθμός ἐστι μονάδων πλῆθος, οὐ καλῶς. καὶ λέγει τὰς ὁμοιότη- 5 τας τοῦ ἀριθμοῦ καὶ τοῦ ὁρισμοῦ, τοῦ δὲ ὁρισμοῦ λέγων φανερὸν ὅτι καὶ τοῦ ὁριστοῦ λέγει. ὁ ὁρισμός, φησίν, ἀριθμός τίς ἐστιν. ὥσπερ γάρ, φησίν, ὁ ἀριθμὸς εἰς μονάδας ἀδιαιρέτους διαιρεῖται, οὕτω καὶ ὁ ὁρισμὸς διαιρεῖται εἰς ἀδιαίρετα. εἰ γὰρ διαιρεῖται τὸ ζῷον εἰς τοὺς λόγους τοῦ ἐμψύχου καὶ αἰσθητοῦ, ἀλλ' οὐκ ἄπειρον τοῦτο γενήσεται, 10 ἀλλὰ καταντήσομεν εἴς τι μὴ διαιρούμενον, εἰς λόγους· καὶ ὥσπερ ἀπὸ τοῦ ἀριθμοῦ, κἂν τοὐλάχιστον ἀφαιρεθῇ ἢ προστεθῇ, οὐκέτι μένει ἀριθμός (ἂν γὰρ ἀπὸ τοῦ ὀκτὼ μονάδα ἀφέλῃς ἢ προσθῇς, οὐκέτι ὀκτὼ μένει), οὕτω καὶ ἀπὸ τοῦ ὁρισμοῦ ἢ τοῦ τί ἦν εἶναι, ὅ ἐστιν ὁρισ- 1708 μός, ἂν ἀφέλῃς τι ἢ προσθῇς, οὐκέτι μένει τὸ αὐτό. καὶ ὥσπερ 15 δεῖ εἶναί τι τὸ τὸν ἀριθμὸν ἑνοῦν καὶ δι' ὅ ἐστιν εἷς, οὕτω καὶ ἐπὶ τοῦ ὁρισμοῦ καὶ τοῦ τί ἦν εἶναι· ὅπερ, φημὶ δὴ τὸ τὸν ἀριθμὸν ἑνοῦν καὶ ἕνα ποιοῦν, τί ποτε ἔστιν, οὐκ ἔχουσιν εἰπεῖν, οὐσίαν αὐτὸ λέγοντες. ἢ γάρ, φησίν, οὐκ ἔστιν εἷς ἀριθμός, ἀλλ' οἷον σωρός ἐστιν, ἢ εἴπερ ἔστι, λεκτέον τί τὸ ποιοῦν ἓν ἐκ πολλῶν. ἀλλ' οὔτε τὸ τὸν ἀριθμὸν ἕνα 20 ποιοῦν ἔχουσι λέγειν τί ποτέ ἐστιν, οὔτε τὸν ὁρισμόν. καὶ τοῦτο εἰκότως συμβαίνει. "τοῦ γὰρ αὐτοῦ λόγου·" ἐξ οὗ γὰρ λόγου καὶ αἰτίου συμβαίνει αὐτοῖς μὴ ἔχειν λέγειν τίνι εἷς ὁ ἀριθμός, ἐκ τοῦ αὐτοῦ τούτου καὶ τὸ περὶ τοῦ ὁρισμοῦ προσγίνεται. ἀλλὰ καὶ ὅτι μὴ ἡ οὐσία καὶ τὸ τί ἦν εἶναι ἔν ἐστι δῆλον, ἀλλ' οὐχ ὡς λέγουσί τινες, ὅτι μονάς τίς 25 ἐστιν ἢ στιγμή (μονάδα γὰρ τὸ εἶδος, δυάδα δὲ τὴν ὕλην ὁ Πλάτων ἔλεγεν)· ἀλλ' ἔστιν ἓν ἐνεργείᾳ καὶ φύσει τις ἑκάστη οὐσία, ἀλλ' οὐ δυνάμει. ["φύσις τις ἑκάστη" γέγραπται, σὺ δὲ ὑποσυγκεχυμένως λέγεις. marg. cod. Reg.] καὶ ὥσπερ οὐδ' ὁ ἀριθμὸς ἔχει τὸ μᾶλλον καὶ ἧττον, οὐδὲ εἶδος μᾶλλον οὐσία, ἀλλ' εἴπερ ἐστὶν μᾶλ- 30 λον οὐσία τὸ εἶδος τῆς κατὰ τὴν ὕλην οὐσίας, εἴη ἂν μᾶλλον οὐσία, ἀλλ' οὐχὶ τῆς κατὰ τὸ εἶδος. ταῦτα εἰπὼν συμπεραίνεται ὅτι περὶ μὲν γενέσεως καὶ φθορᾶς τῶν λεγομένων οὐσιῶν, πῶς ἐνδέχεται ὅτι σύνθετος γίνεται. τὸ δὲ εἶδος οὐ γίνεται. καὶ περὶ τῆς τῶν ὁρισμῶν ἀνα-

γωγῆς (εἰπε γὰρ προσεχῶς ὅπως χρὴ τοὺς ὁρισμοὺς εἰς τοὺς ἀριθμοὺς ἀνάγειν) ἔςω μέχρι τούτων διωρισμένον· τίνι δὲ ὁ ἀριθμὸς εἷς ἐςὶ καὶ ὁ ὁρισμὸς καὶ τὸ τί ἦν εἶναι, νῦν μ' οὔ φησιν, ἐρεῖ δὲ πρὸς τῷ τέλει τοῦδε τοῦ βιβλίου, ὅταν λέγῃ "περὶ δὲ τῆς ἀπορίας τῆς εἰρη-
5 μένης περί τε τοὺς ὁρισμοὺς καὶ τοὺς ἀριθμούς" (c. 6).

λέγει ὅτι δεῖ μὴ λανθάνειν ὡς εἰ ἐκ τῆς ἀνειδέου ὕλης, ὡς 170 22.
πρώτης πάντα γίνεται, καὶ αὕτη ἐςὶν ὡς ἀρχὴ ὑλικὴ τῶν γινομένων, ἢ προσεχέςερον ἐκ τῶν αὐτῶν ὡς πρώτων, λέγων τὰ τέσσαρα ςοιχεῖα, εἰ δὴ ἐκ τούτων τὰ γινόμενα ὡς πρώτων γίνονται,
10 ὅμως ἔςι τις ἑκάςου οἰκεία καὶ προσεχὴς ὕλη.

τὸ δὲ "ἴσως" πρόσκειται ἢ διὰ τὴν πρώτην ὕλην (ἐξ ἐκεί- 170 26.
νης γὰρ καὶ τὰ τέσσαρα), ἢ διὰ τὸ μὴ νῦν περὶ αὐτῶν, εἴτε ἐκ τῶν ςοιχείων εἰσὶ τὰ γλυκέα καὶ πικρὰ εἴτε μή, προκείμενος λέγειν αὐτῷ.

15 πρὸ ὁδοῦ λέγει τὴν ἀπὸ τοῦ χείρονος εἴδους καὶ ςερήσει ἀνα- 171 1.
λογοῦντος ὡς πρὸς τὸ κρεῖττον εἶδος, ἀνάλυσιν δὲ τὴν εἰς τὸ χεῖρον.

ἀλλ' ἐνίων ἑτέρων ὄντων καὶ ἡ ὕλη ἑτέρα ἐξ ἀνάγκης ἐςίν. 171 4.

ἐπειδὴ τετραχῶς λέγεται (τὰ αἴτια), ὅταν τις ζητῇ τὸ αἴτιον, 171 11.
20 πάσας δεῖ λέγειν τὰς ἐνδεχομένας αἰτίας, οὐ τὰς πόρρω δὲ ἀλλὰ τὰς προσεχεῖς.

ἰςέον δὲ ὅτι τὸ οὗ ἕνεκα καὶ τὸ εἶδος ἐπὶ τῶν φυσικῶν τὸ αὐτό 171 14.
ἐςιν, ἐπὶ δὲ τῶν τεχνητῶν οὐ τὸ αὐτό.

οὐδὲ δὴ τῶν φύσει μ' μὴ οὐσιῶν δὲ ἀλλὰ παθῶν ἔςιν ὕλη, 171 23.
25 ἀλλ' ὑποκείμενον αὐτοῖς ἔςιν, ὕλη δὲ οὐκ ἔςιν.

ὕπνου δὲ πάλιν ἄδηλόν ἐςι τί τὸ πρῶτον πάσχον. ἀλλ' εἰπάτω 172 3.
καὶ τοῦτο τὸ ζῷον, καὶ τί παθὸν ὑπνώττει, ἢ τί τῶν ἐν αὐτῷ τὸ πρῶτον πεπονθὸς ὕπνωσε; πότερον γὰρ ἄλλο τι παθὸν τὸ ζῷον ὑπνώττει. πότερον οὖν τοῦτο καρδία ἐςίν, ὡς αὐτὸς οὗτός φησιν, ἢ ὁ ἐγ-
30 κέφαλος, ὡς ὁ Πλάτων; οὗτος μ' γὰρ ἀρχὴν τῶν ζῴων τὴν καρδίαν λέγων φησὶν ὅτι, ὥσπερ ἐπὶ τοῦ κόσμου αἱ ἀναχθεῖσαι ἀτμίδες καὶ ψυχθεῖσαι εἰς ὕδωρ συνίςανται καὶ πάλιν κατέρχονται, οὕτω καὶ ἐπὶ τῶν ζῴων τῶν ἐκ τοῦ πέττειν ἀνιεσῶν εἰς τὸν ἐγκέφαλον ἀτμίδων, ἐπειδήπερ φύσει τυγχάνει ὢν ψυχρὸς ὁ ἐγκέφαλος, ψυχομένων

Digitized by Google

ὑπ' ἐκείνου κατέρχεσθαι καὶ ἐπιπίπτειν τῇ καρδίᾳ, καὶ σβεννυμένου τοῦ ἐν αὐτῇ οὐ παντελῶς δὲ θερμοῦ ὑπνώττειν τὸ ζῷον, μέχρις ἂν διαλυθῶσι πάλιν καὶ ἀναχθῶσι, καὶ οὕτως δὴ ἀνίσταται τὸ ζῷον. ἄδηλον οὖν, φησίν, ἐστὶν ἐπὶ τοῦ ὕπνου τί τὸ πρῶτον πάσχον καὶ ὑπό τινος, καὶ τί τὸ πάθος τὸ ἐκείνου, τουτέστι τί ἐστι τὸ τοῦ πάσχοντος πάθος καὶ μὴ τοῦ 5 ὅλου ζώου; ὅτι ἀκινησία τοιαδί, δυνάμει λέγων ὡς εἴ τις ὁρισμὸν ἀποδοῦναι τοῦ ὕπνου βούλοιτο, μὴ λεγέτω ὅτι ὕπνος ἐστὶν ἀκινησία τῶν τοῦ ζώου αἰσθήσεων· τοῦτο γὰρ κοινὸν τῆς ὅλης τοῦ ὅλου ζώου ἠρεμίας εἴρηται καὶ ὅλῳ τῷ ζώῳ ἐφαρμόττει ἀλλ' οὐ τῷ ὕπνῳ μόνῳ· δεῖ δὲ τὸν τοῦ ὕπνου ὁρισμὸν μόνῳ τῷ ὕπνῳ ἐφαρμόττειν. μήποτε δὲ τὸ 10 "ἀκινησία τοιαδὶ" ἐπὶ τοῦ ὕπνου εἴρηται, ἵνα ᾖ λέγων ὅτι τί δεῖ τὸ τοῦ ὕπνου πάθος ἀποδιδόναι, ὅτι ὕπνος ἐστὶν ἀκινησία τοιαδί, καὶ αὕτη τῷ τί πάσχειν τὸ πρῶτον; τουτέστι καὶ αὕτη ἡ ἀκινησία δηλούτω καὶ ἐν τῷ τί πάσχειν τὸ πρῶτον, ὁ ὕπνος γίνεται, ἤτοι δηλούτω καὶ τί πρῶτον πεπονθὸς ὁ ὕπνος γέγονε, πότερον ἡ καρδία 15 ἢ ἄλλο τι ἐστίν;

172 7. "ἐπειδὴ — εἶδη." τὸ γὰρ εἶδος ἀχρόνως καὶ ἐν ἀτόμῳ νῦν γίνεται, ὡς ἔδειξεν ἐν τῷ Η τῆς Φυσικῆς Ἀκροάσεως (c. 3?). καὶ κατασκευάζει αὐτὸ τοῦτο τὸ μὴ γίνεσθαι τὸ εἶδος λέγων "οὐ γ. τ. λ. γ.". . . ἐπεὶ τοίνυν ἔνια ἄνευ γενέσεως εἰσί τε καὶ αὖ πάλιν οὐκ 20 εἰσί, πᾶν δὲ τὸ γινόμενον ἔκ τινος γίνεται καί τι γίνεται, λευκὸν ἢ ἄνθρωπος, οὐ πάντα ἂν τἀναντία γίνοιντο ἐξ ἀλλήλων.

172 19. ἐπειδὴ ἡ ὑγίεια καὶ ἡ νόσος ἐναντία, ἔστι δὲ τὸ σῶμα δυνάμει, ὑγιεινὸν ἄρα, φησί, καὶ δυνάμει νοσῶδές ἐστι, καὶ τὸ ὕδωρ δυνάμει οἶνος καὶ ὄξος. καὶ ἐρωτήσας ἐπικρίνει λέγων "ἡ τοῦ μὴ — ὕλη," 25 τουτέστι τῆς μὴ ὑγιείας ἐστὶ τὸ σῶμα ὕλη ὡς ἕξεως καὶ εἴδους, τῆς δὲ νόσου ὡς στερήσεως καὶ φθορᾶς τῆς παρὰ φύσιν.

172 28. εἰ δέ, φησί, καὶ ἐκ νεκροῦ δεῖ ζῷον γενέσθαι, εἰς τὰ τέσσαρα στοιχεῖα ἀναλυθήσεται πρῶτον ὁ νεκρός, καὶ οὕτως ἐξ αὐτῶν γενήσεται ζῷον. 30

173 1. "περὶ — ἓν εἶναι." καὶ ἐν τῷ πρὸ τούτου βιβλίῳ ζητήσας περὶ τούτου καὶ τὴν λύσιν μὴ ἐπενεγκών, καὶ ἐν τούτῳ πάλιν ταύτης μνησθεὶς καὶ ὁμοίως τὴν λύσιν ὑπερθέμενος, νῦν λύει τὴν δὶς ζητηθεῖσαν ζήτησιν καὶ τῆς λύσεως μὴ τετυχηκυῖαν. ἣν δὲ ἡ ἀπορία ὅτι

ἐπειδὴ ἐκ πλειόνων οἱ ὁρισμοὶ τυγχάνυσι, τί ποτέ ἐςι τὰ ταῦτα ἑνῶν καὶ ποιῶν ἕν; τί γάρ ἐςι τὸ τὸ ζῷον καὶ πεζὸν καὶ δίπυν ἓν ποιῶν, εἰκότως ἄν τις ζητήσειε. πάντων γάρ, φησίν, ὅσα πλείω μέρη ἔχει καὶ μὴ ἔςι τὸ πᾶν οἷον σωρός, ἀλλὰ συνεχές τε καὶ ἕτερον τὸ ὅλον
5 παρὰ τὰ μόρια (τὸ γὰρ ὅλον ἕτερόν ἐςιν ἑκάςυ τῶν ἐν αὐτῷ μερῶν ἢ μορίων)... ἔςι τι αἴτιον τοῦ ἓν εἶναι· τοῦτο γὰρ ἐλλείπει τῇ λέξει. ὥσπερ γὰρ ἐν τοῖς σώμασι τοῖς μέν ἐςιν ἀφή κτλ.

καὶ εἴη ἂν λέγων ὅτι εἴ τις τῇ χαλκῇ σφαίρᾳ θεῖτο ὄνομα 173 22.
ἱμάτιον, εἶτα ὁριζόμενος λέγοι ὅτι ἱμάτιον ὄνομα δηλωτικὸν τοῦ
10 ςρογγύλυ χαλκοῦ κτλ.

καὶ ὁ φαίνεται ἔχυσα δυςχερές τι (ἡ ἀπορία), ἐπειδὴ τὸ μέν 173 25.
ἐςιν ὕλη, τὸ ζῷον πεζόν, τὸ δ' εἶδος, τὸ δίπυν.

ὑπερβατῶς ἀναγνωςέον ὧδε, "ὅσα δὲ μὴ ἔχ — τὸ ποσόν," 174 4.
εἶτα τὸ "οὐχ ὡς ἐν γένει τῷ ὄντι κ. τ. ε." εἶθ' οὕτως, "διὸ οὐκ ἔςιν
15 ἐν τοῖς ὁρισμοῖς οὔτε τὸ ὂν οὔτε τὸ ἓν" καὶ τὰ ἑξῆς ἕως τοῦ "εὐθὺς γ. ἔκ. ε. ο. τ. κ. ἕν τι," καὶ οὕτως τὸ "οὐδ' ὡς χωρις. ο. πρ. τ. κ. ἔκ." λέγει δὲ ὅτι εἰ καὶ ὅπερ ὄν τι καὶ ὅπερ ἕν τι ἐςὶ τὸ τόδε, τὸ ποσόν, τὸ ποιόν, ἀλλ' ὧν οὐκ ἔςι γένος αὐτῶν οὔτε τὸ ὂν οὔτε τὸ ἕν· γενικώτατα γάρ εἰσι γένη, κατηγορεῖται δ' αὐτῶν, ὡς πολλάκις εἴρηται,
20 τὸ ὂν καὶ τὸ ἕν, ὡς τὰ ἀφ' ἑνὸς καὶ πρὸς ἕν. καὶ διὰ τὸ μηδὲ εἶναι αὐτῶν γένος τὸ ὂν καὶ τὸ ἕν, οὐδὲ λαμβάνεται ἐν τοῖς ὁρισμοῖς αὐτῶν, ὁρισμὸς λέγων τὰς ὑπογραφάς· οἱ γὰρ ὁρισμοι ἐκ γενῶν καὶ διαφορῶν εἰσί, τούτων δ' οὐκ ἔςι γένη. εἰ δὴ τοῦτο, οὐδὲ ὁρισμοὶ αὐτῶν εἰσίν, καὶ ἔςι τοῦ τόδε καὶ τοῦ ποσοῦ καὶ τῶν λοιπῶν εὐθὺς τὸ τί ἦν εἶναι
25 τὸ ἕν τι εἶναι καὶ ὄν τι· καὶ διὰ τοῦτο, λέγω δὴ διὰ τὸ εἶναι αὐτοῖς τὸ τί ἦν εἶναι τὸ ὅπερ ἕν τι καὶ ὅπερ ὄν τι, οὐδ' ἔςιν ἕτερόν τι αἴτιον οὐδενὶ τούτων τοῦ ἓν εἶναι καὶ ὄν· εἰ μὴ γὰρ ἦν γένος ἢ τὸ ὂν ἢ τὸ ἕν, τοῦτο δὲ καὶ τοῦ ποσοῦ, ὥσπερ ἀνθρώπυ τὸ ζῷον, ἦν ἂν οὕτως αἴτιόν τι τοῦ ἓν εἶναι αὐτὰ καὶ ὄν. ἀλλ' εἰ καὶ τοιαῦτά ἐςιν ἥ τε οὐσία καὶ τὸ
30 ποιὸν καὶ τὸ ποσόν, ὅμως οὐκ εἰσὶ χωριςὰ τῶν καθ' ἕκαςα ἀλλ' ἐν αὐτοῖς. ταῦτα δὲ εἰπὼν πάλιν ἐπανατρέχει ἐπὶ τὰ πρότερα, λέγων "διὰ ταύτην δὲ τὴν ἀπ."

ὥσπερ ὁ Πλάτων μεθέξει τῶν ἰδεῶν εἶναι τὰ τῇδε (φησί), 174 14.
τί δὲ τὸ αἴτιον τῆς μεθέξεώς ἐςι, καὶ ὅλως τί τὸ μετέχειν καὶ ὅπως

τοῦτο δυνατὸν συμβαίνειν, ἀπορῶσι καὶ οὐκ ἔχουσιν εἰπεῖν. οἱ δέ φασι συνουσίαν ψυχῆς, ὥσπερ Λυκόφρων ὁ σοφιστὴς τὴν ἐπιστήμην λέγων συνουσίαν τοῦ ἐπίστασθαι καὶ ψυχῆς. κάλλιον δ' ἂν καὶ σαφέστερον ἦν, εἰ οὕτω πως εἶχεν ἡ γραφή "τὴν ἐπιστήμην τοῦ ἐπίστασθαι συνουσίαν καὶ ψυχῆς." ἐρωτώμενος γὰρ ὁ Λυκόφρων, τί τὸ αἴτιον τοῦ τὴν ἐπι- 5 στήμην καὶ τὴν ψυχὴν ἓν εἶναι, ἔλεγεν ὅτι ἡ συνουσία. οἱ δὲ τὸ ζῷον ἔλεγον ὡς ἔστι σύνδεσμος ψυχῆς ἐν τῷ σώματι.

174 24. αἴτιον δέ, φησίν, αὐτοῖς τοῦ ταῦτα λέγειν, ὅτι ζητοῦντες τί τὸ αἴτιον τοῦ τὸν χαλκὸν τὸν δυνάμει ὄντα τρίγωνον ποιῆσαι αὐτὸν ἐνεργείᾳ τρίγωνον, καὶ μὴ δυνάμενοι λόγον ἑνοποιὸν ἤτοι αἰτίαν καὶ 10 διαφορὰν ἀποδοῦναι τοῦ πῶς ἕν εἰσι, ταῦτα ἔλεγον· εἰ γὰρ ἠδυνήθησαν εὑρεῖν καὶ ἀποδοῦναι λόγον καὶ αἰτίαν ἑνοποιὸν τοῦ τί τὸ ἑνοῦν τὸ δυνάμει ἤτοι τὴν ὕλην καὶ τὴν ἐνέργειαν, τοτέστι τὸ εἶδος, οὐκ ἂν εἰς τοιαῦτα ἐξετράπησαν. ὥσπερ δὲ πολλάκις εἴρηται ὅτι ἡ ὕλη ἡ ἐχάτη (αὕτη δ' ἐστὶν ἡ προσεχής· νῦν γὰρ ἐχάτην αὐτὴν εἶπε) καὶ 15 τὸ εἶδος ἕν ἐστιν· ὥστε τοῦ ταῦτα ἓν εἶναι οὐκ ἄλλο τι τὸ αἴτιον ἢ τὸ κινοῦν τὴν ὕλην ἐκ δυνάμεως εἰς ἐνέργειαν. ὅσα δέ, ὥσπερ εἴρηται, μὴ ἔχει ὕλην, πάντα ἁπλῶς καὶ κυρίως ὅπερ ἕν τι εἰσὶ καὶ ὅπερ ὄν. καὶ ὅρα δὴ τὸ διδασκαλικὸν καὶ δαιμόνιον τοῦδε τοῦ ἀνδρός, ὅπως ἐκ τῶν ὑστέρων (οὐ γὰρ ἄλλως ἐνοῦν τοῦτο ποιῆσαι) καὶ ἡμῖν γνωρίμων ἐπὶ 20 τὸν πολυτίμητον πατέρα καὶ ποιητὴν πάντων θεὸν ἀγαγεῖν ἡμᾶς μεθοδεύει, καὶ δείξαι ὅτι ὡς ὁ χαλκεὺς αἴτιός ἐστι τοῦ τὸν χαλκὸν καὶ τὴν σφαῖραν ἓν εἶναι, οὕτως καὶ ἡ ἑνοποιὸς αὐτοῦ καὶ δημιουργικὴ δύναμις πάντων τῶν ὄντων αἰτία ἐστὶ τοῦ ἔχειν ὥσπερ ἔχει.

175 12. ἐκ παραλλήλου δὲ τὸ ἐνεργείᾳ καὶ τὸ κατὰ τὸ ἔργον κεῖται. 25

175 14. λέγοι δὲ ἂν κυρίως δύναμιν τὴν πρώτην καὶ ἀνείδεον ὕλην· δυνάμει γάρ πώς ἐστιν, ἥτις κἂν πρώτη δύναμις ᾖ, ἀλλ' οὐν οὐκ ἔστι χρησιμωτάτη πρὸς ὃ βουλόμεθα νῦν· ἄυλον γάρ τι καὶ ἁπλοῦν καὶ ἀσώματον ζητοῦμεν, ἀλλ' οὐκ ἔνυλόν τι καὶ σύνθετον.

176 4. πάλιν τῶν δυνάμεων αἱ μέν εἰσι τοῦ μόνον παθεῖν αἱ δὲ τοῦ καλῶς. πῶς δὲ ταῦτα λέγεται, εἴρηται ἡμῖν ἐν τῷ Δ ταύτης τῆς πραγματείας πλατύτερον, ὅτε περὶ τῶν τῆς δυνάμεως σημαινομένων ἔλεγεν (c. 12).

διὰ γὰρ τὸ ἔχειν τινὰ δύναμιν καὶ ἀρχήν, καὶ ὅλως διὰ τὸ εἶναι 176 10.
τὴν ὕλην ἀρχήν τινα, πάσχει τὸ πάσχον καὶ ἄλλο ὑπ' ἄλλου· καυστὸν
γάρ ἐστι τὸ λιπαρὸν καὶ θλαστὸν καὶ ὑπεῖκον ὠδί.

καὶ τῶν δυνάμεων ἡ μέν ἐστιν ἐν τῷ πάσχοντι ἡ δὲ ἐν τῷ ποιοῦντι. 176 13.
ὥστε εἰ τὸ ποιοῦν ἕτερόν ἐστι τοῦ πάσχοντος, δῆλον ὅτι τὸ συμ- 176 16.
πεφυκὸς καὶ ἓν ὂν καὶ συνεχὲς ὑ πείσει ὑφ' ἑαυτοῦ· τὸ γὰρ πάσχον
ἕτερον εἶναι δεῖ τοῦ ποιοῦντος. ὥσπερ δὲ ἡ δύναμις καὶ τὸ δυνατὸν
ἕξις ἐστίν, οὕτως ἡ ἀδυναμία ἡ τῇ τοιαύτῃ δυνάμει ἐναντία στέρησίς
ἐστιν· ὥστε τοῦ αὐτοῦ καὶ κατὰ τὸ αὐτὸ πᾶσα δύναμις ἀδυναμία.

διὸ πᾶσαι αἱ τέχναι αἵ τε ποιητικαί, ἥ τε οἰκοδομικὴ καὶ ἡ 176 29.
ναυπηγική, καὶ αἱ ἐπιστῆμαι (κοινότερον δὲ τέχνας εἶπε τὰς ἐπιστή-
μας) δυνάμεις εἰσίν.

"ἀποφάσει γὰρ καὶ ἀποφορᾷ," τουτέστι στερήσει (τὸ γὰρ ἀποφορᾷ 177 11.
τοῦ στερήσει ἐστὶ δηλωτικόν) οἷόν τὸ ἐναντίον . . . λέγει δὲ ἐνεργείας
στέρησιν πρώτην, εἰ ὅτε πέφυκεν ἔχειν καὶ ὡς πέφυκεν ἔχειν καὶ ὁ
πέφυκεν ἔχειν μὴ ἔχει, δευτέραν δὲ στέρησιν τὸ ὅλως μὴ ἔχειν.

αὕτη δ' ἐστὶν ἀποφορὰ τῆς ἕξεως· ταύτην γὰρ εἶπε θάτερον. 177 12.
ἡ πρώτην στέρησιν ἐνταῦθα λέγει τὴν ἐν τῷ δεκτικῷ, πρὸς
ἀντιδιαστολὴν τῶν ἄλλων στερήσεων τῶν ἁπλῶς λαμβανομένων καὶ
μὴ ἐν τοῖς δεκτικοῖς· οὕτω γὰρ ὁ ἡμέτερος καθηγητὴς ἐξηγήσατο.
ἤγουν, ὡς εἴρηται, τὴν ἐν τῷ δεκτικῷ στέρησιν καὶ πρώτην ὀνομάζει
στέρησιν. cod. Reg.

"τῷ λόγ. ἔχ.," τουτέστιν ἐν τῷ λόγον ἔχοντι. ἢ ἡ ἐπιστήμη 177 14.
ἐστὶ δύναμις τῷ λόγον ἔχειν, ἀντὶ τοῦ, ἡ ἐπιστήμη δύναμίς ἐστιν ἐν
τῷ ἔχειν λόγον καὶ αἰτίαν τοῦ ἐπιστητοῦ ὅπερ ἔχει. καὶ ἔχει ἡ ψυχὴ
ἀρχὴν κινήσεως τὴν ἐπιστήμην· κινεῖ γὰρ αὐτήν, ὡς ἔφαμεν, εἰς θεω-
ρήματά τινα καὶ εὑρέσεις.

"ὁ δ' ἐπιστήμων ἄμφω," διὰ τὸν λόγον τὸν ἐν τῷ ἐπιστήμονι 177 17.
ἀμφότερα γινώσκειν, εἰ καὶ μὴ ὁμοίως. ἔστι δ' ὁ τοιοῦτος λόγος ἤτοι
ἡ ἐπιστήμη ἡ ἐν ψυχῇ, ἥτις ψυχὴ ἔχει τὸν λόγον ἢ τὴν ἐπιστήμην
ἀρχὴν κινήσεως.

"πρ. τὸ αὐτὸ σ." τὸ αὐτὸ λέγει τὸ λογικόν . . . "πρὸς τὸ αὐτό," 177 20.
τουτέστι τὸ λογικόν . . . ἐπεὶ καὶ ἡ στέρησις καὶ ἡ ἕξις ἐν μιᾷ εἰσὶν
ἀρχῇ, τῷ λόγῳ ἤτοι τῷ λογιστικῷ, ἀμφότερα ποιήσει ἡ ψυχή.

17723. "τῦ μόνον ποιῆσαι δύναμις"· τῷ γὰρ εὖ γράφοντι ἀκολυθεῖ καὶ τὲ μόνον γράφειν, τῷ δὲ μόνον γράφοντι ὑκ ἀκολυθεῖ τὲ εὖ γράφειν· διότι ἐκείνῳ μὲν πάρεςιν ἀμφοῖν δύναμις, τῷ δὲ μόνον γράφοντι ὑδαμῶς.

17727. Μεγαρικὺς λέγοι ἂν τὺς περὶ Εὐκλείδην (Ζήνωνα A)· ὗτος γὰρ εἰς τὰ Μέγαρα τὲ διδασκαλεῖον εἶχε. λέγει δὲ ὅτι οἱ Μεγαρικοὶ δύναμιν καὶ ἐνέργειαν ταὐτὲν ποιῦσιν. 5

1789. τὲ δὲ "ἀεὶ γάρ ἐςιν" ἴσον ἐςὶ τῷ, εἰ ἀληθῆ ἐςὶν ἅπερ εἴπομεν, καὶ ἀδύνατόν ἐςι τὲ μὴ μαθόντα ἔχειν, καὶ ἔμπαλιν ἀδύνατόν ἐςι μὴ ἔχειν τὲν μὴ ἀποβαλόντα, καὶ ὅτι ὑκ ἀνάγκη τῆς ὑποκειμένης ἑκάςῃ τέχνῃ ὕλης φθαρείσης εὐθὺς τὴν τέχνην ἀποβάλλειν, ἀλλὰ καὶ ταύτης μὴ ὄσης ὑδὲν ἧττον ἐνδέχεται πάλιν τὴν τέχνην ἔχειν, πῶς, ὅταν παύσηται ὁ οἰκοδόμος τῦ οἰκοδομεῖν, κατὰ τὴν τῶν Μεγαρικῶν δόξαν τε καὶ ἀπόφασιν, ὑχ ἕξει τὴν οἰκοδομικήν; εἰ δὲ τῦτο, πῶς λαβὼν πάλιν εὐθὺς οἰκοδομήσει; κεῖται γὰρ ὅτι ἀδύνατόν ἐςι τὴν τοιαύτην ἔχειν τέχνην μὴ μαθόντα, αὐτὲς δὲ ἅμα τῷ παυσθῆναι τῦ οἰκοδομεῖν μὴ μαθὼν πάλιν εὐθὺς οἰκοδομήσει. εἰ δὲ ἅμα τῷ παύσασθαι τῦ οἰκοδομεῖν εὐθὺς πάλιν οἰκοδομεῖ, δῆλον ὅτι εἶχε καὶ μὴ οἰκοδομῶν τὴν οἰκοδομικὴν καὶ ἠδύνατο οἰκοδομῆσαι. εἰ γάρ, ὡς αὐτοί φασιν, ἅμα τῷ οἰκοδομεῖν ἀπέβαλε τὴν τῦ οἰκοδομεῖν δύναμιν, πῶς πάλιν μὴ μαθὼν μήτε διὰ μαθήσεως λαβὼν αὐτὴν (τῦτο γὰρ εἴληπται) οἰκοδομεῖ; ἄλλως τε ἐπεὶ ὑπόκειται τότε μὴ ἔχειν τὴν τέχνην, ὅταν ἢ λήθῃ ἢ χρόνῳ ἢ πάθει τινὶ ταύτην ἀποβάλλῃ, ὑδὲν δὲ γέγονε τοιῦτον περὶ τὲν οἰκοδόμον, πῶς οἱόντε λέγειν, ὅταν μὴ οἰκοδομῇ, τὴν τοιαύτην ὑκ ἔχειν δύναμιν;

17813. ὁ γὰρ Πρωταγόρας ἔφασκε μὴ εἶναι μήτε γλυκὺ μήτε ἄλλο μηδέν, ἀλλ' οἷα ἂν αὐτὰ κρίνῃ ἡ αἴσθησις, τοιαῦτα καὶ ἔςιν. εἰ δὲ ἐκεῖνος ἐλήλεγκται πρότερον ἐν ταύτῃ τῇ πραγματείᾳ καὶ δέδεικται ψευδόμενος, δηλονότι καὶ ὗτοι ψεύδονται.

17816. ὥσπερ τυφλόν ἐςι τὲ πεφυκὸς ὄψιν καὶ μὴ ἔχειν, ὅτε πέφυκε, καὶ ἔτι ὂν μὴ φθαρὲν οἱ αὐτοί τ. ἔσ. π. τ. ἡ μ.

17818. ἔτι εἰ τὲ ἐςερημένον δυνάμεως, οἷον τῦ ὁρᾶν, ἀδύνατόν ἐςι βλέψαι, καὶ τὲ μὴ γινόμενον κατ' αὐτὺς ἀδύνατόν ἐςι γενέσθαι·

ἐπειδὴ γὰρ ὅταν μὴ ἐνεργῇ τι οὐκ ἔχει δύναμιν, τὸ δὲ μὴ ἔχον δύναμιν οὐ δύναται τοῦτο ποιῆσαι οὗ τὴν δύναμιν οὐκ ἔχει, τὸ δὲ μὴ δυνάμενον ἀδύνατόν ἐστιν, ὃ δὲ ἀδύνατον γενέσθαι, οὐ γενήσεταί ποτε· εἰ οὖν τοῦτο, εἴπερ τις ἵσταται καὶ μὴ ἐνεργεῖ περὶ τὸ καθῆσθαι, οὐκ ἔχει
5 τὴν δύναμιν τοῦ καθίσαι· εἰ δὲ μὴ δύναται, ἀδύνατόν ἐστι καθίσαι. εἰ δ' ἀδύνατόν ἐστι τοῦτο γενέσθαι, ὁ λέγων ἢ εἶναι ἢ ἔσεσθαι, τουτέστιν ἢ καθῆται ἢ καθεδεῖται, ψεύσεται· τὸ γὰρ ἀδύνατον τοῦτο σημαίνει τὸ μὴ δυνατὸν γενέσθαι· ὥστε ἀεὶ τὸ ἑστηκὸς ἑστήξεται· οὐκ ἔχει γὰρ τὴν τοῦ καθίσαι δύναμιν· καὶ τὸ καθήμενον ἀεὶ καθεδεῖται· ἀναστῆναι γὰρ
10 οὐ δύναται· ὃ δὲ μὴ δύναται ἀναστῆναι, οὐκ ἀναστήσεται· ἀεὶ ἄρα καθεδεῖται. οὐ μόνον δὲ ταῦτα συμβαίνει λέγειν αὐτοὺς τὰ ἄτοπα (ὁρῶμεν γὰρ ὅτι καὶ ὁ καθήμενος ἀνίσταται καὶ ὁ ἀνιστάμενος πάλιν κάθηται), ἀλλ' ἐξαιροῦσι καὶ κίνησιν καὶ γένεσιν· οὕτω γὰρ δεῖ τὸ ῥηθὲν ὑπερβατῶς ἀναγινώσκειν. ὅτι δὲ γένεσιν ἀναιροῦσιν δῆλον· πᾶσα
15 γὰρ γένεσις ἐκ τοῦ δυνάμει προέισι· δύναμιν γὰρ ἔχον τόδε τι γενέσθαι τὸ καταμήνιον γίνεται· οὗτοι δὲ τὴν δύναμιν ἀναιροῦντες ἀναιροῦσι γένεσιν. εἰ δὲ γένεσιν, δηλονότι καὶ κίνησιν· τὰ γὰρ κινούμενα δυνάμει πρὸ τοῦ ἄρξασθαι κινεῖσθαι κινηθῆναι δύνανται.

"ἐλήλυθε — μαλισα." ἐπειδὴ ἡ ἐνέργεια διχῶς λέγεται, 1798.
20 ἕνα μὲν τρόπον αὐτὰ τὰ τέλη· τὸ γὰρ τῆς λευκάνσεως τέλος, τοῦτο δ' ἐστὶ τὸ λευκόν, ἐν ᾧ πέπαυται καὶ ἔστη ἡ λεύκανσις, ἐνέργεια λέγεται· ὡσαύτως δὲ καὶ τὰ τῶν ἄλλων κινήσεων τέλη ἐνέργειαι λέγονται, ἃ δὴ καὶ κυρίως αὐτὰς ἐντελεχείας καλεῖ. ἕνα μὲν οὖν δὴ τρόπον ἡ ἐνέργεια οὕτω λέγεται, ἄλλον δὲ πάλιν ἐνέργεια λέγεται αὐτὴ
25 ἡ κίνησις.

διχῶς οὖν τῆς ἐνεργείας λεγομένης λέγει ὅτι ἡ ἐνέργεια ἡ πρὸς τὴν ἐντελέχειαν καὶ τὸ τέλος συντεθειμένη, τουτέστι τὸ τὴν ἐντελέχειαν ἐνέργειαν λέγεσθαι, ἐκ τῶν κινήσεων ἐλήλυθεν.

εἰ καὶ δυνάμει ἐστὶν ἔνια τῶν μὴ ὄντων, τὸ ἔστιν αὐτῶν κατη- 1791 5.
30 γορεῖται οὐχ ὅτι ἔστιν (οὐκ ἔστι γὰρ ὅτι οὐκ ἐντελεχείᾳ ἐστίν· ἐκεῖνα γάρ φαμεν εἶναι τὰ ἐντελεχείᾳ ὄντα), ἀλλὰ κατηγορεῖται αὐτῆς τὸ ἔστιν, ὅτι δύναται γενέσθαι καὶ ἔσεσθαι.

"εἰ — ἢ ἀκολουθεῖ." τουτέστιν εἰ δυνατὸν λέγεταί τι, καθὸ 1791 7.
δύναται γενέσθαι, καὶ ἀκολουθεῖ αὐτῷ τὸ ἐνεργῆσαι, οὐκ ἔστιν ἀληθὲς τὸ

λέγειν ὅτι ἔςι μέν τι δυνατόν, ὐκ ἔςαι δὲ ὐδὲ δυνήσεται εἰς ἐνέργειαν ἐλθεῖν.

179 22. ὁ μὴ λογιζόμενος ὧν, φησί, μηδὲ νοῶν τὸ ἀδύνατον τί ποτέ ἐςι, καὶ τὴν διαφορὰν ἣν ἔχει πρὸς τὸ δυνατόν, ἐκεῖνος ἂν εἴποι ὡς ὐδὲν κωλύει τι δυνατὸν εἶναι ἢ γενέσθαι μὴ εἶναι μηδ' ἔσεσθαι. εἰ δ' ἐγίνωσκε τὴν τοῦ ἀδυνάτου φύσιν, ὐκ ἂν ὕτως ἀπερισκέπτως καὶ ἑτοίμως ἔλεγε τὴν διάμετρον καὶ τὸ ξύλον, ὅτι ἡ μὴ δυνατή ἐςι μετρηθῆναι καὶ ὐ μετρηθήσεται, τὸ δὲ καυθῆναι καὶ ὐ καυθήσεται, ἀλλ' ἐκείνην μὴ ἀνεκήρυττεν ἂν ὡς ἀδύνατός ἐςι μετρηθῆναι καὶ ὐ μετρηθήσεται, τοῦτο δὲ διεχωρίζετο ὅτι δυνατόν ἐςι καυθῆναι καὶ καυθήσεται. ἀλλὰ ταῦτα εἴποι ἂν ὁ ἀγνοῶν τὸ ἀδύνατον, ἐκεῖνο δέ ἐςι φανερὸν ἐκ τῶν κειμένων. κεῖται δὲ ὅτι τὸ δυνάμενον γενέσθαι καὶ γενήσεται, ὅτι εἰ ὑποθώμεθα τὸ μὴ ὂν μὴ δυνάμενον δὲ γενέσθαι ὅτι ἔςιν, ὐδὲν ἀδύνατον συμβήσεται. εἰ δέ γε τὸ μὴ ὂν μὴ ἀδύνατον δὲ γενέσθαι ὑποθοίμεθα, ἕψεται ἐκ τῆς τοιαύτης ὑποθέσεως ἀδύνατόν τι. εἰ γάρ σε καθημένε καὶ δυναμένε περιπατῆσαι ὅτε κάθησαι, ἀληθῶς λέγοι τις ὡς δύναται μὴ ὕτος ὁ καθήμενος περιπατῆσαι, ὐ μὴν περιπατήσει, ὁμοίως καὶ ἡ διάμετρος δύναται μετρηθῆναι καὶ ὐ μετρηθήσεται, ὑποτεθείη δὲ ταῦτα ἄμφω ὡς δυνατά, τό τε περιπατεῖν τὸν καθήμενον καὶ τὸ μετρεῖσθαι, τὴν διάμετρον, ἐκ μὴ τοῦ περιπατεῖν τὸν καθήμενον ὐδὲν ἀδύνατον συμβήσεται, ἐκ δὲ τοῦ μετρεῖσθαι τὴν διάμετρον συμβήσεταί τι ἀδύνατον, τὸ τὰ περιττὰ ἴσα εἶναι τοῖς ἀρτίοις. εἰ ὧν ὐδὲν τοῦτο ἐκείνε διαφέρει, ὥσπερ ἐπ' ἐκείνε ὐδὲν συνέπιπτεν ἀδύνατον, ὕτως ὐδὲ ἐπὶ ταύτης. ἀλλὰ μὴν δοθέντος τοῦ τὴν διάμετρον μετρηθῆναι, συμβαίνει τὸ τὰ περιττὰ ἴσα εἶναι τοῖς ἀρτίοις, ὅπερ ἐςὶν ἀδυνατώτατον. τοῦτο δὲ συμβαίνει ἐκ τοῦ μὴ συνορᾶν τήν τε φύσιν καὶ τὴν διαφορὰν τοῦ ἀδυνάτου πρὸς τὸ δυνατόν, ἀλλ' ὥσπερ ἐπὶ τοῦ δυνατοῦ, ὕτω καὶ ἐπὶ τοῦ ἀδυνάτου λέγειν ὅτι δυνατὸν μέν ἐςιν, ὐ μέντοι ἔςαι· ὥςε δῆλον ὅτι εἴ τι δυνατόν ἐςι, καὶ ἔςαι. συμβαίνει δὲ τὸ ἀδύνατον τοῦτο, λέγω δὴ τὸ τὰ ἄρτια ἴσα εἶναι τοῖς περιττοῖς, ὐ παρὰ τὴν ὑπόθεσιν τὴν λέγουσάν ὅτι δεδόσθω ὅτι μετρεῖται ἡ διάμετρος· εἰ γὰρ παρὰ τὴν ὑπόθεσιν ἦν, συνέβαινειν ἂν ἀδύνατόν τι καὶ ἐπὶ τοῦ καθημένου λεγομένου δὲ περιπατεῖν· ἐκεῖ μὴ γὰρ τὸ συναγόμενον ψεῦδος, ἀλλ' ὐκ ἀδύνατον, τὸ

δὲ ἐνταῦθα καὶ ψεῦδος καὶ ἀδύνατον. ὥςε εἰ ταὐτὸν ἦν τὸ ψεῦδος καὶ τὸ ἀδύνατον, οὐδὲν ἂν διέφερον αἱ ὑποθέσεις ἥ τε τὸν οὐ καθήμενον περιπατεῖν ὑποθεμένη καὶ ἡ τὴν διάμετρον μετρεῖσθαι λέγουσα· ἐπεὶ δὲ ἕτερα ταῦτα, ἕτεραι καὶ αἱ ὑποθέσεις. "ἅμα δὲ δῆλον ὅτι εἰ τοῦ α 1801.
5 ὄντος ἀνάγκη καὶ τὸ β εἶναι." δείξας ὅτι ὁ δυνατὸν εἶναι μόνον οἰόμενος ὅταν ἐνεργῇ, οὗτος τὸ ἀδύνατον καὶ τὸ δυνατὸν παιεῖ ταὐτὸν καὶ διαφεύγει καὶ ἄγνωςον ἡμῖν γίνεται τὸ ἀδύνατον, καὶ ποῖόν ἐςι τοῦτο τὸ ἀδύνατον δείξας, λέγει ὅτι ἐκ τούτου δῆλόν ἐςιν ὡς εἰ τοῦ α ὄντος ἔπεται αὐτῷ ἐξ ἀνάγκης τὸ β, οὐ μὴν δυνατοῦ ὄντος τοῦ α ἔςαι καὶ τὸ
10 β δυνατόν, καὶ τοῦ α δυνατοῦ ὄντος καὶ τὸ β δυνατὸν ἔςαι, καὶ ἀναγκαίου ἀναγκαῖον, καὶ ὑπάρχοντος τοῦ α ὑπάρχει καὶ τὸ β. εἰ δέ τις 1802.
ἐνίςαται λέγων ὅτι τοῦ α ὄντος ἕπεται αὐτῷ ἐξ ἀνάγκης τὸ β, οὐ μὴν δυνατοῦ ὄντος τοῦ α ἔςαι καὶ τὸ β δυνατόν, οὐδὲν κωλύει, φησίν, εἶναι τὸ β μὴ δυνατόν, δυνάμει λέγων ὡς εἰ τοῦ α δυνατοῦ ὄντος τὸ β οὐκ
15 ἔςι δυνατόν, ἔςαι ἀδύνατον· τοῦτο γὰρ ἀντίκειται τῷ δυνατῷ. ἔςω, φησί, τὸ α δυνατόν. οὐκοῦν ἐπειδὴ δυνατόν ἐςιν, ὑπάρχει. ψεῦδος μέν, οὐ μέντοι ἀδύνατος ἡ ὑπόθεσις. ἔςω οὖν ὑπάρχειν τὸ α, ὑπόκειται δὲ ὅτι τοῦ α ὄντος ἔςι καὶ τὸ β· ὥςε ἐπειδὴ τὸ α ἔςιν, ἔςαι καὶ τὸ β διὰ τὴν ἐξ ἀρχῆς ὑπόθεσιν. ἀλλὰ καὶ οὐκ ἔςαι· τὸ γὰρ ἀδύνα-
20 τον οὐκ ἂν γένοιτό ποτε. εἰ δὲ τὸ εἶναι τὸ β μὴ ἦν ἀδύνατον, ψευδὴς ἡ ὑπόθεσις ἐξ ἧς τοῦτο συνέβη· αὕτη δέ ἐςιν ἡ λέγουσα ὅτι τοῦ α ὄντος δυνατοῦ οὐκ ἔςαι τὸ β τὸ ἑπόμενον τῷ α δυνατόν. δῆλον ἄρα ὅτι τοῦ α ὄντος δυνατοῦ ἔςαι καὶ τὸ β δυνατόν, εἴπερ οὕτως εἶχον τό τε α καὶ τὸ β. πῶς δὲ εἶχον, ἐπάγει, "ὥςε τοῦ α ὄντος ἀνάγκη
25 καὶ τὸ β εἶναι". δείξας οὖν ὅτι εἰ τὸ α εἴη δυνατόν, καὶ τοῦτῳ ἐξ ἀνάγκης ἑπόμενον β δυνατόν ἐςι, δείκνυσιν ὅτι καὶ ὄντος τοῦ α ἔςαι καὶ τὸ β, λέγων "ἐὰν δὴ οὕτως ἐχόντων . . . τὸ αβ ἕξει ὡς ἐτέθη", ἤτοι ἂν τὸ αβ ἕξει ὡς ἐτέθη. ταῦτα δὲ εἰπὼν ἐπάγει "καὶ εἰ τοῦ α δυνατοῦ ὄντος ἀνάγκη καὶ τὸ β εἶναι," ὃ ἴσον ἂν εἴη τῷ οὕτω κεῖται
30 καὶ δέδεικται, ὡς εἰ τὸ α εἴη δυνατόν, καὶ τὸ β ἔςαι δυνατόν. εἰ δὲ οὕτως ἔχει, λέγομεν, φησίν, ὅτι εἰ καὶ εἴη τὸ α, ἀνάγκη εἶναι καὶ τὸ β· τὸ γὰρ λέγειν ὅτι εἰ τὸ α δυνατὸν εἴη, ἐξ ἀνάγκης ἕπεται τὸ εἶναι δυνατὸν καὶ τὸ β (τοῦτο γὰρ ἐδήλωσε διὰ τοῦ "τὸ γὰρ δυνατὸν εἶναι δυνατὸν καὶ τὸ β· τοῦτο γὰρ ἐξ ἀνάγκης τὸ β εἶναι, εἰ τὸ α δυνατόν"),

τὸ ὂν λέγειν, εἰ τὸ α δυνατόν, ἐξ ἀνάγκης καὶ τὸ εἶναι τὸ β δυνατὸν συμβαίνει, τοῦτο σημαίνει ὅτι ἐὰν ᾖ τὸ α καὶ ὅταν ᾖ, τότε εἶναι καὶ τὸ β. τὸ δὲ "καὶ ὡς ἦν δυνατὸν εἶναι" ἴσον ἂν εἴη τῷ καὶ εἰ ἔστιν ἀναγκαῖον τὸ α, ἔσται καὶ τὸ β ἀναγκαῖον, καὶ εἰ δυνατόν, δυνατόν. 5

181 1. καὶ τὰς μὴ ἀλόγους δυνάμεις ἀνάγκη, ὅταν πλησιάζῃ τό τε δυνάμενον ποιεῖν καὶ δυνάμενον πάσχειν, τὸ μὴ ποιεῖν ὡς δύναται ποιεῖν, τὸ δὲ πάσχειν ὡς δύναται πάσχειν.

181 3. καὶ αἱ μὴ ἄλογοι δυνάμεις κυρίως ἑνός εἰσι ποιητικαί, οἷον ἡ τοῦ πυρὸς τοῦ θερμαίνειν. τὸ δὲ κυρίως προσκείσθαί μοι, ὅτι ψύχει καὶ 10 τὸ πῦρ κτὶ συμβεβηκὸς, γραφέν πως καὶ ἀπελθόν.

181 5. ὥστε ἔστι τὸ κύριον ἐν ταῖς μετὰ λόγου δυνάμεσι τὸ μὴ ἐῶν τὰ ἐναντία ποιεῖν, ἀλλὰ θάτερον, ὃ ἂν ὀρέγηται· τοῦτο δ' ἔστιν ἡ ὄρεξις ἢ προαίρεσις· ὁποτέρου οὖν ἂν κυρίως ὀρέγηται, τοῦτο καὶ ποιήσει.

181 10. ὡς γὰρ ἔστιν ἡ δύναμις τοῦ ποιεῖν, οὕτως ἔχει αὐτήν· ἔχει 15 δ' οὐχ ὡς ἔτυχε καὶ πάντως, ἀλλ' ὡδί πως ἔχον. ἐν οἷς, τῷ τε δυνατῶς ἔχειν καὶ τῷ ὡδί πως ἔχειν, συμπεριείληπται καὶ τὸ μηδενὸς τῶν ἔξωθεν κωλύοντος.

181 27. τὸ δὲ "ἢ ἁπλῶς ἢ τρόπον τινά" προσκείσθαι ὅτι εἴρηκεν ἐν τῷ Δ (c. 12) τῆσδε τῆς πραγματείας, ὅτε περὶ τοῦ δυνατοῦ διώ- 20 ριζεν, ὁσαχῶς λέγεται ὅτι δυνατὰ κινεῖσθαι, ἢ ὅταν ἁπλῶς καὶ ὡς ἔτυχεν εἴτε ἐπὶ τὸ χεῖρον καὶ τὴν φθορὰν εἴτε ἐπὶ τὸ κρεῖττον, λέγεται δυνατά, ἢ ὅταν μὴ ἐπὶ τὸ χεῖρον κινῇ, οὐ λέγεται δυνατά, ὅταν δὲ ἐπὶ τὸ κρεῖττον, λέγεται. τὸ ὂν ἁπλῶς εἴρηται ἀντὶ τοῦ ὡς ἔτυχε καὶ ἀδιορίστως, τὸ δὲ "τρόπον τινά" διωρισμένως. 25

181 28. ταῦτα εἰπὼν τὰ περὶ τῆς ἐνεργείας διορίζεται, ἔστι λέγων ἐνέργεια ὅτε ὑπάρχει τὸ πρᾶγμα οὐχ ὥστε μὴ ἐνεργεῖν, δυνάμενον δὲ ἐνεργῆσαι. "τὸ δὲ ἐνεργείᾳ," τουτέστιν, ἀλλ' ἐκεῖνό ἐστιν ἐνέργεια τὸ οὕτως ἐνεργείᾳ ὂν καὶ ἐνεργοῦν, καθ' ὃ πρότερον μὴ ἐνεργοῦν, δυνάμενον δὲ ἐνεργῆσαι, ἤδη ἐνεργεῖ. οὕτω μὴ ὂν τὰ ἑξῆς ἐστὶ τῶν λε- 30 γομένων καὶ οὕτως ἀναγνωστέον. εἶτα τὸ "λέγομεν δὲ δυνάμει οἷον ἐν τῷ ξύλῳ Ἑρμῆν." καὶ εἰσὶ ταῦτα ἐξηγητικὰ τοῦ "μὴ οὕτως ὥσπερ λέγομεν δυνάμει." πῶς δὲ λέγομεν τὸ δυνάμει, ἐπάγει, "οἷον ἐν τῷ ξύλῳ."

ϗ ἐν τῇ διαμέτρῳ λέγομεν εἶναι τὴν ἡμίσειαν, ὅτι δύνα- 182 1.
ἀπ' αὐτῆς ἀφαιρεθῆναι ϗ εἶναι καθ' ἑαυτὴν ἐνεργείᾳ· ϗ ἐπιςήμονα
τὸν μὴ θεωροῦντα, δυνάμενον δὲ θεωρῆσαι.

ὁ γὰρ πάντα τοῖς ὅροις γινώσκομεν, ἐπεὶ μηδὲ πάντων εἰσὶν 182 4.
ὅροι, ὡς δέδειχ- ἐν τῷ Z τῆσδε τῆς πραγματείας, ἀλλ' ἔνια ϗ
διὰ ἐπαγωγῆς ϗ διὰ ἀναλογίας συνορῶμεν ϗ γινώσκομεν.

τὸ "ἀλλ' ἢ τῷ ἀνάλογον ὡς τοῦτο ἐν τούτῳ"... ὑπόμνησίς 182 12.
ἐςι τῆς ἀναλογίας, ὡς εἰ ἔλεγεν ὅτι τὰ ἀνάλογον λεγόμενα. πῶς
δὲ λεγόμενα; ὅτι "ὡς τοῦτο ἐν τούτῳ."

ἐπειδὴ οἱ τὸ ἄπειρον εἶναι λέγοντες ἔν τισι δυνάμει ἔλεγον 182 15.
εἶναι (ἐν μὲν γὰρ τοῖς κύφοις σώμασιν ἐνεργείᾳ, ἐν δὲ τοῖς βαρέσι
δυνάμει), λέγει ὅτι τὸ δυνάμει ϗ ἐνεργείᾳ ἄλλως λέγε- ὑπάρχειν
πολλοῖς τῶν ὄντων.

"τὸ μὲν γὰρ ὁρ... δυνατόν·" τουτέςι τὸ μὲν γὰρ ὁρώμενον λέγε- 182 19.
μὴ ὁρᾶν, ὅτι ὁρώμενον δύνα- μὴ ὁρᾶν (οὕτω γὰρ δεῖ τοῦ ῥητοῦ
ἀκούειν)· τὸ δὲ μὴ ὁρώμενον λέγε- ὁρᾶν, ὅτι δυνατόν ἐςιν
ὁρᾶν.

"ἐπεὶ δ' τ. πρ." τοῦτο τὸ κεφάλαιον ἐν πολλοῖς λείπει, τέως 182 25.
φησί "ἐπ. τ. πρ. ὧν ε. πέρας·" ϗ τοῦτο λέγει ἢ διὰ τὴν ματαιο-
πονίαν ἢ διὰ τὴν τοῦ οὐρανοῦ φοράν, οὐδεμία λέγε- τέλος, ἀλλ' ἐκεῖνο
τὸ ἔσχατον, οἷον ἡ περὶ τὸ ἰσχναίνειν πρᾶξις οὐκ ἔςι τέλος, ἀλλ' ἡ
ἰσχνανσία. τὰ ἰσχναίνοντα δὲ ὅταν ἰσχναίνῃ, οὐ τέλος ἐςὶν ἐν κινή-
σει· ὥςε μὴ ὑπάρχοντος τοῦ τέλους, οὗ ἕνεκα ἡ κίνησις, οὐκ ἔςι κατ'
τοῦτο ἡ πρᾶξις. ἢ πρᾶξις μὲν λέγε- ϗ αὐτή, ἀλλ' οὐ τελεία γε
οὐδὲ τέλος· οὐδὲ γὰρ ὑγιάζε- ϗ ὑγίασαι τὸ αὐτό, ἀλλὰ τὸ ὑγιάζε-
κίνησις ἀτελής, τὸ δὲ ὑγίασαι τέλος ϗ πρᾶξις. ὁμοίως ϗ τὸ
εὐδαιμονεῖ ϗ εὐδαιμόνηκε, ϗ τὸ εὖ ζῇ ϗ τὸ εὖ ἐζηκὼς τῆς
εὐζωΐας· ἀλλ' οὐκ ἔςιν ἧπερ ϗ ἐπὶ τοῦ ἑώρακε ϗ ὁρᾷ ϗ τοῦ νε-
νόηκε ϗ νοεῖ. τὰ γὰρ τοιαῦτα ἐνέργειαν λέγω, ἐκεῖνα δὲ τὸ ὑγιά-
ζε- ϗ τὸ ἰσχναίνει κινήσεις ἀτελεῖς.

"ὅταν — τούτῳ." τί δὲ σημαίνει τοῦτο, ἐπήγαγε "ϗ τῇ 183 27.
ὕλῃ," ἴσον λέγων τῷ ὅτι τότε τοδὶ λέγε- οἰκία δυνάμει, ὅταν
μηδὲν κωλύῃ τῶν ἐν τῇ ὕλῃ, οὐδ' ἔςι τῶν ἐν τῇ ὕλῃ, ὃ δεῖ προσ-
γενέσθαι ἢ μεταβαλεῖν.

1344. "οἷον τὸ σπέρμα·" ἔςω δὲ ὁ σῖτος ὅταν ἐν τῷ ἀγγείῳ εἴη, ὃ λέγεται δυνάμει ὁ ςάχυς· δεῖ γὰρ ἐν ἄλλῳ ἤτοι ἐν τῇ γῇ πεσεῖν καὶ μεταβάλλειν. ὅταν δὲ ἐν τῇ γῇ πέσῃ καὶ ἤδη διὰ τῆς ἐν αὐτῷ φυσικῆς ἀρχῆς ἢ τοιοῦτον, τυτέςι δυνάμενον βλαςάνειν, τότε λέγεται δυνάμει ὁ ςάχυς. 5

1344 10. καὶ ὅ τι βούλεται διὰ τούτων λέγειν, δῆλον πεποίηκεν εἰπὼν "πάλιν ἡ γῆ εἰ οὕτως μὴ ἄλλο," τυτέςιν εἰ παρωνύμως λέγεται, οἷον ἀέρινον, καὶ οὐ λέγεται ἄλλο, οἷον ἡ γῆ ἁπλῶς, ὃ ἄλλο λέγεται καὶ οὐκ ἐκείνινον, τὸ ὕςερον ἁπλῶς καὶ κυρίως ἐκεῖνό ἐςιν. οἷον πρῶτον μὲν ὡς πρὸς τὸ κιβώτιον τὸ ξύλον, ὕςερον δὲ ἡ γῆ· ἀλλ' οὐχὶ καὶ τὸ ἁπλῶς ὕςερον 10 αὕτη ἐςίν, ἀλλ' ἡ ἐσχάτη ὕλη. εἰ δή, ὥσπερ εἴρηται, ἔςι τι πρῶτον (ὃ γὰρ πρότερον ὕςερον εἶπε, τοῦτο νῦν πρῶτον ἐκάλεσεν ἄλλον τρόπον· κάτωθεν γὰρ ἀρχομένοις πρῶτόν ἐςιν), εἰ ἔςιν ὅν πρῶτόν τι καὶ οὐ κατ' ἄλλο λέγεται οὐδ' ἀπό τινος παρονομάζεται, τοῦτό ἐςιν ἡ πρώτη ὕλη· οἷον ἡ γῆ ἀερίνη, ὅτος δὲ πύρινος, τὸ δὲ πῦρ μὴ κατ' 15 ἄλλο, τὸ πῦρ ἔςαι ἡ πρώτη ὕλη τόδε τι ὄσα καὶ μὴ ἀπό τινος λεγομένη. καὶ κᾷ τοῦτο διαφέρει τὸ καθόλου καὶ τὸ ὑποκείμενον. καθόλου λέγει νῦν ἁπλῶς πᾶν τὸ κατηγορούμενον, ἄντε οὐσία ἢ ἄντε συμβεβηκός, ὑποκείμενον δὲ τὴν οὐσίαν.

1344 25. ὅσα μὲν οὕτω, οἷον λευκὸν ἢ μουσικὸν καὶ ὅλως ὡς τὰ κᾷ πάθος 20 λέγεται, τὸ ἔσχατον καὶ τὸ ὑποκείμενον αὐτοῖς ἐςὶν οὐσία.

1351. ταῦτα εἰπὼν ἐπιφέρει ὅτι ὀρθῶς τὸ ἐκείνινον λέγεται κᾷ τὴν ὕλην καὶ τὰ πάθη· ἐπειδὴ γὰρ καὶ τὰ πάθη ὑπὸ τοῦ ὑποκειμένου ὁρίζεται (καθ' αὑτὸ γὰρ τὸ λευκὸν ἀόριςόν ἐςιν· οὐδὲ γὰρ ὅλως δύναται χωρίς τινος ὑποκειμένου εἶναι), ὁμοίως δὲ καὶ ἡ ὕλη ὑπὸ τοῦ εἴδους, εὐλόγως κᾷ θατέρου λεγόμενον τὸ ἐκείνινον λέγεται καὶ κᾷ θατέρου. 25

1358. ἀρχὴν δὲ κινητικὴν καὶ ςατικὴν τὴν φύσιν λέγει· οὕτω γὰρ αὐτὴν ἐν τῇ Φυσικῇ (2 1) ὡρίσατο, ὅτι ἀρχὴ κινήσεως καὶ ἠρεμίας, ἐν ᾧ πρώτῳ καθ' αὑτὸ πέφυκε καὶ μὴ κᾷ συμβεβηκός. εἰπὼν δὲ τὴν φυσικὴν ἀρχὴν κινήσεως, καὶ πρότερον ἀρχὴν κινητικὴν τὴν δύναμιν, ἐπήγαγεν "καὶ γὰρ ἡ φύσις ἐν ταὐτῷ γένει τῇ δυνάμει," ὡς εἰ ἔλεγε, καὶ γὰρ ἡ φύσις καὶ ἡ δύναμις ἀρχαὶ κινητικαί. ἔδει δὲ εἰπεῖν ὅτι ἡ ἐνέργεια καὶ τῆς φύσεώς ἐςι προτέρα· ἀλλ' ἐπειδὴ καὶ ἡ δύναμις καὶ ἡ φύσις ὡς γένη εἰσί, καὶ γένος δὲ ἡ

ἀρχὴ ἡ κινητικὴ τῆς τε δυνάμεως καὶ τῆς φύσεως, ἀντὶ τοῦ φάναι φύσεως εἴρηκεν ἀρχῆς κινητικῆς.

ὅτι τῷ λόγῳ προτέρα ἐςι, δείκνυσιν ὧδε. τὸ πρώτως, φησί, δυνατόν, τουτέςιν ἡ προσεχὴς δύναμις ἤτοι ἡ προσεχὴς ὕλη, δυνατὴ λέγεται διὰ τὸ ἐνδέχεσθαι ἐνεργῆσαι... εἰ οὖν ἡ δύναμις τῇ ἐνεργείᾳ γινώσκεται, ἀνάγκη τὸν λόγον καὶ τὴν γνῶσιν προϋπάρχειν τῆς ἐνεργείας τοῦ λόγου καὶ τῆς γνώσεως τῆς δυνάμεως. 185 14.

λαμβάνει δὲ εἰς τὴν τούτου δεῖξιν λίαν ὁμολογούμενον καὶ ἐναργὲς ἀξίωμα ἢ λῆμμα, ὅτι τὸ τῷ εἴδει τὸ αὐτὸ ἐνεργοῦν πρότερόν ἐςιν. ὁ γὰρ Σωφρονίσκος ὁ τὸν Σωκράτην ἐνεργήσας, τουτέςι ποιήσας, τῷ εἴδει ὄντα τὸν αὐτὸν τῷ Σωφρονίσκῳ ἀλλ' οὐ τῷ ἀριθμῷ, πρότερός ἐςι Σωκράτους· ὁ γὰρ Σωφρονίσκος καὶ ὁ Σωκράτης τῷ μὲν εἴδει οἱ αὐτοί εἰσι, τῷ δ' ἀριθμῷ οὔ. τὸ μὲν οὖν τῷ εἴδει τὸ αὐτὸ ἐνεργοῦν, ὥσπερ εἴρηται, πρότερον, τὸ δὲ γεγονὸς ἓν ὂν καὶ ταὐτὸν τῷ ἀριθμῷ ὕςερον. 185 20.

εἴρηται δὲ ἐν τῷ Ζ· ἐκεῖσε γὰρ περὶ οὐσίας εἶπεν ὅτι πᾶν τὸ γινόμενον ἔκ τινος γίνεταί τι, καὶ τοῦτο τὸ γινόμενον φυσικῶς ἀλλ' οὐ τεχνητῶς, τῷ εἴδει ἐςὶ τὸ αὐτὸ τῷ κινοῦντι· ὥςε καὶ προτέρα ἐνέργεια δυνάμεως. 185 30.

ἠρώτων γὰρ οἱ σοφιςαί, μᾶλλον δὲ καὶ νῦν ἐρωτῶσιν, ἆρά γε ὁ μὴ ἔχων ἐπιςήμην τινὸς ποιήσει τὴν ἐπιςήμην; καὶ τὸ μὲν πρότερον σημαινόμενον τῆς ἐπιςήμης ἐλάμβανον ἐπ' αὐτῆς τῆς ἐν τῇ ψυχῇ ἕξεως, τὸ δὲ "ποιήσει τὴν ἐπιςήμην," ἐπιςήμην ἐνταῦθα τὸ ἐπιςητὸν λέγοντες τὸ κατὰ τὴν ἐπιςήμην λεγόμενον. 186 6.

"ἀλλὰ διὰ τὸ" κτλ. προσυπακουςέον τοῦ δεῖξαι ἡμᾶς· ἔδειξε γὰρ ἐν τοῖς τελευταίοις τῆς Φυσικῆς Ἀκροάσεως βιβλίοις (6 5)· ἐκεῖνα γὰρ περὶ κινήσεως λέγει, ὅτι πᾶν τὸ κινούμενον πρότερον κινεῖται καὶ πᾶν τὸ κεκινημένον πρότερον ἐκινήθη. 186 8.

ἀλλ' ἢ ὡδί, τουτέςιν οἱ μελετῶντες ἢ τρόπον τινὰ θεωροῦσιν, ἢ ὅτι οὐδὲ δέονται τοῦ θεωρεῖν· ὃ ἴσον ἂν εἴη τῷ, ἢ οὐ δέονται τῆς κατὰ μελέτην θεωρίας, ἀλλὰ καὶ αὕτη ἡ κατὰ τὴν μελέτην θεωρία ἀτελὴς οὖσα καὶ χεδὸν μηδέν, ἕνεκα τῆς τελεωτάτης καὶ κυριωτάτης γίνεται θεωρίας. 186 25.

186 27. ὥςε ὅταν ἐνεργῇ, τότε οἷον) τὸ τέλος ἔχειν· ὕτω γάρ ἐςι τὸ ἑξῆς τῆς λέξεως)· ὕτω καὶ ἡ φύσις τότε οἷε) τὸ γενόμενον τέλος ἀπειληφέναι, ὅταν εἰς τὴν ἐνέργειαν ἔλθῃ. τὸ δὲ "εἰ γὰρ μὴ ὕτω γένη), ὁ Πάσωνος ἔςαι Ἑρμῆς," συνεχές ἐςι τῷ "διὸ ὥσπερ οἱ διδασκ. ἐνεργοῦντα ἐπιδείξαντες." 5

187 1. ἡ δὲ κῷ τὸν Πάσωνα ἱςορία, ὅτῳ φίλον καὶ ταύτην εἰδέναι, τοιαύτη τίς ἐςιν. οὗτος ὁ Πάσων ἑρμογλύφος ὢν πεποίηκεν ἔν τινι λίθῳ τὸ τοῦ Ἑρμοῦ εἶδος, καὶ ἐωρᾶτο ἐν τῷ λίθῳ ὁ Ἑρμῆς· εἴτε δὲ ἐκτὸς ἦν τοῦ λίθου εἴτε ἐντός, οὐ δῆλον ἦν. ἐκτὸς μὲν εἶναι λέγειν οὐκ οἷόν τε ἦν· εἰ γὰρ ἦν ἐκτός, ἔδει τὸν λίθον ἐγκεκο- 10 λαμμένον εἶναι καὶ ἔχειν ἀνωμαλίας, οὗτος δὲ ἅπας λειότατος ἦν, ὥσπερ τὰ κάτοπτρα. διὰ ταῦτα μὲν οὖν ἐκτὸς εἶναι οὐκ ἦν δυνατὸν λέγειν. ἀλλὰ μὴν οὐδ' ἐντός· εἰ μὲν γὰρ εἶχεν ἁρμονίας ἢ ὅλως ἐφαρμογάς τινας ὁ λίθος ἐν ᾧ ἦν τὸ τοῦ Ἑρμοῦ εἶδος, πρόχειρον ἦν λέγειν ὅτι ἐν ἑτέρῳ λίθῳ τὸν Ἑρμῆν πεποιηκὼς ἐκτὸς ἐπέθηκε τοὺς 15 λειοτάτους λίθους καὶ ἀπέκλεισε τὸν Ἑρμῆν ἐντός, ὁρᾷ) δὲ διὰ τὸ λαμπροὺς καὶ διαφανεςάτους, ὁμοίως δὲ καὶ λείους τοὺς ἐπικειμένους λίθους εἶναι, ὥσπερ εἴ τις ἐν κηρῷ πλάσας εἶδός τι κήρινον καὶ ἐκτὸς ἐπιθεὶς ὕελον ἢ ἄλλο τι τῶν διαφανῶν, ὁρᾷ) τὸ ἐντὸς αὐτῆς κήρινον εἶδος. εἰ μὲν οὖν τοῦτο ἦν, εἰκὸς ἦν ταῦτα λέγειν· ἐπειδὴ δὲ 20 πάντῃ συνεχὴς ἦν ὁ λίθος καὶ εἷς καὶ ὀδεμίαν ἔχων ἁρμονίαν καὶ ἐφαρμογήν, οὐκ ἐνῆν τοῦτο λέγειν. ὥςε ἄδηλος ἦν ὁ Ἑρμῆς κἂν ἐντὸς κἂν ἐκτὸς ὑπῆρχεν, ἐκτὸς μὲν ὅτι ἀνωμαλίαν οὐδεμίαν ὁ λίθος, ὥσπερ εἴρη), εἶχεν, ἐντὸς δὲ ὅτι οὐκ οἷόν τε ἦν ὑπονοῆσαι πῶς ἐντὸς τοῦ λίθου πεποίηκε τὸν Ἑρμῆν, συνεχοῦς ὄντος. 25

187 6. "ἐπεὶ δ' ε. τ. μ. ἕκατον ἡ χρ." πρὸ τῆς τῶν λεγομένων σαφηνείας ἀνάγκη ἐςὶν ὑπομνη)θῆναι ἡμᾶς τινῶν, ἵν' ἐκ τούτων εὐπαρακολούθητοι τοῖς ὑπ' αὐτοῦ λεγομένοις γενώμεθα. ἰςέον δὲ ὅτι ἡ ὄψις, καθ' ἣν ὁρῶμεν, καὶ δύναμίς ἐςι καὶ ἐνέργεια. ἀλλὰ καὶ ἡ οἰκοδομικὴ καὶ ἐνέργειά ἐςι καὶ δύναμις, δύναμις μὲν 30 πρὸς τὴν οἰκοδόμησιν, ἐνέργεια δὲ πρὸς τὴν χρῆσιν ἣν ὁ οἰκοδόμος ἔχει πρὸ τοῦ τὴν οἰκοδομικὴν ἐχηκέναι· ἐκ γὰρ τοῦ δυνάμει οἰκοδόμου γέγονεν ἐνεργείᾳ οἰκοδόμος. οὐ μόνον δ' οὕτω περὶ τῶν ἕξεων λέγε), ἀλλὰ καὶ περὶ αὐτῶν τῶν ἐχόντων ταύτας· ὁ γὰρ

γεωμέτρης ὁ μὴ ἐνεργῶν πρὸς τὸν ἐνεργοῦντα δυνάμει ἐςὶ γεωμέτρης, πρὸς δὲ τὸ δυνάμενον παιδίον γενέσθ γεωμετρικὸν ἐνεργείᾳ.

ἔςι μ̄ὶ ὖν, φησί, κ̄ ἔνθα οἷον ἐπὶ τῆς οἰκοδομικῆς τέλος, ἀλλ' 187 10.
ἔνθα οἷον ἐπὶ τῆς ὄψεως μᾶλλον τέλος τῆς δυνάμεώς ἐςι, δύνα-
5 μιν λέγων τὴν ὀπτικὴν δύναμιν, αὐτὴν φημι τὴν ὄψιν, τέλος δὲ
κ̄ ἐνέργειαν τὴν ὅρασιν. ὅπως δὲ ταῦτα λέγεθ, εἴρηθ προσεχῶς.
καὶ ἔςιν ἴσον τὸ "ἔνθα δὲ μ. τ. τ. δ. ε." τῷ ἔςι μ̄ὶ κ̄ ἡ ὄψις τέ-
λος, ἀλλὰ μᾶλλον τέλος ἐςὶν ἡ ὅρασις τῆς δυνάμεως, τυτέςι τῆς
ὄψεως.

10 "ἔςι δ' ὑδ. δ. ἀΐδ.," ἀλλ' ἐνεργείᾳ, ὡς ἐν τῷ περὶ Ἑρμη- 187 28.
νείας (c. 13) εἴρηθ.

ὥςε εἴπερ δυνατὰ ἢ τὰ ἁπλῶς δυνάμενα φθαρῆναι ἢ τὰ 188 7.
πῇ, ὐδὲν τῶν ἀϊδίων κ̄ ἁπλῶς ἀφθάρτων δυνάμει ἐςὶν ἁπλῶς,
ὡς δύναθ τὴν φύσιν αὐτοῦ κ̄ τὴν ὑσίαν φθαρῆναι. κ̄ τὰ μ̄ὶ
15 ὑπερκόσμια πάντα ὅτε ἁπλῶς εἰσὶ δυνάμει ὅτε κατά τι, τὰ δὲ
κυκλοφορητικὰ κ̄ θεῖα σώματα κατά τι εἶναι δυνατὰ ὐδὲν κω-
λύει, οἷον ποιὸν ἢ πῦ κτλ.

δῆλον ἄρα ὅτι ἐνεργείᾳ εἰσὶ τὰ ἁπλῶς ἄφθαρτα κ̄ ὐ δυνά- 188 8.
μει. ὅτε δὴ ὐδὲν τῶν ἁπλῶς ἀϊδίων ἐςὶ δυνάμει ὅτε τῶν ἐξ
20 ἀνάγκης ὄντων. εἰ γὰ δυνατὰ κ̄ εἶναι κ̄ μὴ εἶναι ἐνδέχεθ, τὰ δ'
ἀναγκαῖα ἀεὶ ὡσαύτως ἔχει, ὐδὲν τῶν ἀναγκαίων ἂν εἴη δυνά-
μει. τὸ δὲ "κ̄ τοιαῦτα πρῶτα," λέγων ταῦτα τὰ ἀΐδια, ἴσον τῷ
ἀλλὰ μὴν ταῦτα πρῶτα εἴρηθ κ̄ εἴρηθ τοῖς ἄνω· εἰπὼν γὰ ὅτι ἐν
τοῖς πρώτοις κ̄ ἀφθάρτοις τὸ δυνάμει ὐκ ἔςι κ̄ δείξας αὐτὸ ἐπή-
25 γαγε "καίτοι ταῦτα πρ.," ὡς εἰ ἔλεγεν, ὅσα μ̄ὶ ὖν εἰσὶ πρῶτα, 188 9.
ἐν τύτοις τὸ δυνάμει ὐκ ἔςιν. ἀλλὰ μὴν τὰ ἀΐδια πρῶτα· ἐν
αὐτοῖς ἄρα τὸ δυνάμει ὐκ ἔςιν.

ὐδ' εἴ τι κινύμενον ἀΐδιον, δύναμιν ἔχει τοῦ μὴ εἶναι, ἀλλὰ 188 11.
μόνην πόθεν ποῖ.

30 κ̄ ὐδὲν κωλύει ἀΐδιον αὐτὸν ὄντα (τὸν ἥλιον) ἔχειν δύναμιν 188 13.
τύτυ, λέγω δὴ τοῦ κινεῖθ πόθεν ποῖ. κ̄ διὰ τὸ μὴ ἔχειν δύναμιν
τὴν ἁπλῶς, ἀλλὰ μόνον τὴν πόθεν ποῖ, ἀεὶ ἐνεργεῖ ἥλιος κ̄ ἡ σε-
λήνη, κ̄ ὐ φοβητέον, ὡς Ἐμπεδοκλῆς κ̄ οἱ περὶ αὐτὸν οἴονθ, μή
ποτε ςῇ.

188 16. οὐ γάρ ἐςιν ἡ κίνησις αὐτοῖς περὶ δύναμιν τῆς ἀντιφάσεως· οὐ γὰρ δυνάμενοι κινεῖσθαι δύνανται καὶ μὴ κινεῖσθαι.

188 20. εἰπὼν ὅτι ἐν τοῖς ἀϊδίοις τὸ ἁπλῶς δυνάμει οὐκ ἔςιν, ἀλλ' εἰ ἄρα, τὸ πῇ, λέγει ὅτι εἰ καὶ ἐν τοῖς φθαρτοῖς ἐςὶ τὸ δυνάμει, ἀλλ' ὧν τὰ φθαρτὰ καὶ τὰ ἐν μεταβολῇ ὄντα μιμεῖται τὰ ἄφθαρτα... τὸ μὲν γὰρ πῦρ ἀεὶ συμπεριφέρεται τῇ σεληνιακῇ ἥται τῇ τοῦ παντὸς φορᾷ.

188 25. αἱ δ' ἄλογοι δύνανται ἅμα τῷ παρεῖναι ποιεῖν καὶ τῷ μὴ παρεῖναι μὴ ποιεῖν.

188 28. εἴπερ εἰσὶ φύσεις τινὲς ἢ οὐσίαι οἵας λέγουσιν οἱ ἐν τοῖς λόγοις ἤτοι τοῖς μαθήμασιν ἐντετραφότες, πολὺ μᾶλλον ἐπιςῆμον εἴη ἄν τι ζῷον, εἴπερ αὐτοεπιςήμη· ταῦτα γὰρ τὸ κινούμενον καὶ τὸ ἐπιςῆμον εἰσὶν οὐσίαι καὶ ἐνέργειαι, ἐκεῖνα δέ, ἡ ἐπιςήμη καὶ ἡ κίνησις, δυνάμεις εἰσὶ τοῦ τ' ἐπιςήμονος καὶ τοῦ κινουμένου, μὴ δυνάμεναι καθ' αὑτὰς εἶναι.

189 12. καὶ ὥσπερ εἴρηται, ἡ μὲν τῶν ἐναντίων δύναμις ἅμα ὑπάρχει, τὰ δ' ἐναντία ἅμα καὶ τὰς ἐνεργείας ἀδύνατον ὑπάρχειν.

189 16. εἰπὼν δὲ ὅτι τῶν ἐναντίων ἀνάγκη θάτερον εἶναι ἀγαθόν, ἐπάγει "τὸ δ. δ. ὁμ. ἀ. ἢ ὀδ. ἡ ἄρα ἐν. β." ἔςιν οἶμαι κατασκευὴ τοῦ ὅτι ἡ ἐνέργεια καὶ τῆς σπουδαίας δυνάμεως βελτίων ἐςίν. ἀσαφῶς δὲ ὄντως ἐπήγγελται καὶ μαντείας δεόμενον. ἔςι δὲ τὸ μὲν διὰ τοῦ "τὸ δὲ δύναται ὁμοίως ἀμφότερον ἢ ὀδέτερον" λεγόμενον τοιοῦτον. τὸ τὴν δύναμιν ἔχον τοῦ ὑγιαίνειν (ἔςω δὴ τοῦτο εἰς ὑπόδειγμα), τὸ ὧν τὴν δύναμιν ἔχον τοῦ ὑγιαίνειν ὁμοίως ἔχει καὶ τοῦ νοσεῖν· εἰ δὲ μή, ὀδετέρου· διὰ τίνα γάρ ποτε αἰτίαν ἔχει μὲν δύναμιν τοῦ ὑγιαίνειν, μὴ ἐπίσης δ' ἔχει καὶ τοῦ νοσεῖν; καὶ ὅτω δείξας ὅτι ἀμφοτέρων τὴν δύναμιν ὁμοίως ἔχει, ὅπως διὰ τούτου συνήγαγε τὸ τὴν ἐνέργειαν βελτίω εἶναι καὶ τῆς σπουδαίας δυνάμεως, λίαν ἐςὶ μεμελανωμένον. συνάγεται δὲ οἶμαι οὕτωσί. τόπος παρεδόθη αὐτῷ ἐν τοῖς Τοπικοῖς (3 5) λέγων "τὸ ἄμικτον τοῦ χείρονος κρεῖττον καὶ βέλτιόν ἐςι τοῦ μεμιγμένου μετὰ τοῦ χείρονος." εἰ δὲ τοῦτο ἀληθές, καὶ ἡ σπουδαία δύναμις μέμικται τῇ τοῦ χείρονος δυνάμει· ὁ γὰρ ἔχων τὴν σπουδαίαν δύναμιν καὶ κατ' ἐκείνην πράττων καὶ ἐνεργῶν περὶ τὰ σπουδαῖα, οὗτος οὐκ ἀπώλεσε τὴν τοῦ χείρονος δύναμιν ἀλλ' ἔχει αὐτήν, ὥςε τῇ σπουδαίᾳ δυνάμει ἐπιμέμικται ἡ τοῦ χεί-

ρονος δύναμις. εἰ δὴ ἡ σπυδαία δύναμις ἐπιμέμικται τῇ τοῦ χείρονος δυνάμει, ἡ δὲ ἐνέργεια τοῦ κρείττονος οὐ σύνεστι τῇ τοῦ χείρονος ἐνεργείᾳ, ἀλλ' ἔστιν εἰλικρινὴς καὶ ἄμικτος, κρείττων ἄρα ἐστὶ τῆς σπυδαίας δυνάμεως διὰ τὸ τὰ ἄμικτα, ὡς ὁ τόπος διορίζει, τῶν
5 μεμιγμένων κρείττονα εἶναι.

τοῦ Πλάτωνος λέγοντος ὅτι τοῦ ἀγαθοῦ ὄντος φύσεώς τινος, ὥσπερ ὁ καθόλου ἄνθρωπος ὁ κατηγορούμενος κατὰ τῶν μερικῶν ἀνθρώπων ἕτερος ὢν αὐτῶν, οὕτως καὶ τὸ ἀγαθὸν ἕτερόν ἐστι τῶν καθ' ἕκαστα ἀγαθῶν καὶ λέγεται κατ' αὐτῶν, τῶν δ' ἐναντίων ἂν
10 θάτερον ᾖ, καὶ θάτερόν ἐστιν, ἔστιν ἄρα καὶ τὸ κακὸν ἕτερόν τι παρὰ τὰ καθ' ἕκαστα κατ' αὐτῶν λεγόμενον, λέγει ὁ Ἀριστοτέλης ὅτι δῆλόν ἐστιν ἐκ τῶν δεικθέντων ὅτι οὐκ ἔστι τὸ κακὸν παρὰ τὰ πράγματα. ἐκείνων γάρ φαμεν εἶναί τι παρὰ τὰ καθ' ἕκαστα ὅσα εἰσὶν ἐνέργειαι, τὸ δὲ κακὸν τοσοῦτον δέει τοῦ ἐνέργειαι εἶναι
15 ὅσον ὅτι καὶ χεῖρόν ἐστι δυνάμεως. 189 20.

ἀντιλέγει πρὸς τοὺς τὰ μαθήματα ἐνεργείας λέγοντας καὶ οὐσίας, λέγων μὴ εἶναι ἐνεργείας ἀλλὰ δυνάμεις· τὰ δὲ δυνάμει οὐκ οὐσίαι. καὶ λέγει ὅτι τὰ διαγράμματα ἐνεργείᾳ διαιροῦντες εὑρίσκονται, τουτέστιν ἐνεργήσας ὁ νοῦς καὶ διαίρεσιν ποιησάμενος
20 εὑρίσκει αὐτὰ καὶ τὸ εἶναι αὐτοῖς δίδωσι. πρὸ δὲ τοῦ ἐνεργῆσαι δυνάμει εἰσίν· εἰ γὰρ ἦσαν ἐνεργείᾳ (τοῦτο γὰρ ἐδήλωσε διὰ τοῦ "διῃρημένα"), ἅμα τῷ θεάσασθαί τινα τὴν ἐν τῷ ἡμικυκλίῳ γωνίαν δῆλη ἂν ἦν αὐτῷ ὅτι ὀρθή ἐστιν. 189 24.

ἐπεὶ δὲ ἀσαφῶς καὶ αἰνιγματωδῶς τὸ παράδειγμα ἐπῆκται διὰ τὴν συνήθη βραχυλογίαν αὐτοῦ, ῥητέον ὅπως δείκνυται ἐν τῷ τρίτῳ
25 τῶν Εὐκλείδου Στοιχειώσεων βιβλίῳ ὅτι ἡ ἐν ἡμικυκλίῳ γωνία ὀρθή ἐστιν κτλ. 189 29.

ἡ δὲ κατ' ἀριθμὸν ἐνέργεια δυνάμεως ὑστέρα, ὡς ἐπὶ τοῦ Σωφρονίσκου καὶ τοῦ Σωκράτους ἐλέγομεν, τῷ δ' ἀριθμῷ ὑστέρα. 190 6.

30 οὐ μόνον δὲ ὄντα λέγεται τὸ μὴ ὂν λευκὸν μηδ' ἀήρ, δυνάμενα δὲ γενέσθαι, ἀλλὰ καὶ τἀναντία, τουτέστιν ἀλλὰ λέγεται καὶ μὴ ὄντα· τὸ γὰρ μὴ ὂν λευκὸν δυνάμενον δὲ γενέσθαι λέγεται καὶ μὴ ὄν. κυριώτατα δὲ ὄν ἐστι τὸ ἀληθές, μὴ ὂν δὲ τὸ ψεῦδος. 190 9.

190 10. ἄλλως δὲ ἐπὶ τῶν πραγμάτων ἐςὶ τὸ ὡς ἀληθῶς ὂν καὶ ἄλλως ἐπὶ τοῦ λόγου. ὅταν γὰρ ὑπάρχῃ τὸ καθῆσθαι τῷ Σωκράτει, ἔςι τὸ τοιοῦτον ἀληθὲς καὶ ὂν ἐπὶ τοῦ πράγματος· ἐπὶ τοῦ λόγου δέ ἐςιν, ὅταν ἐγὼ τὸ ὑπάρχον περὶ αὐτὸν λέγω ὅτι ὑπάρχει αὐτῷ, οἷον ὅταν φῶ ὅτι Σωκράτης κάθηται, ὑπάρχοντος αὐτῷ τοῦ καθῆσθαι· 5 ὥςε ἀληθεύομεν, ὅταν μὴ τὸ διῃρημένον καὶ μὴ ὑπάρχον τῷ Σωκράτει οἴωμαι μὴ ὑπάρχειν, ψεύδομαι δὲ οἰόμενος ὑπάρχειν. ἐπειδὴ οὖν ταῦθ' οὕτως ἔχει, πότε ἔςιν ἢ οὐκ ἔςι τὸ ἀληθὲς λεγόμενον ἢ ψεῦδος; τουτέςι πότε ἐςὶν ἡ κατάφασις ἢ ἡ ἀπόφασις ἀληθὴς καὶ πότε οὐκ ἔςιν; οὐ γὰρ διὰ τοὺς λόγους, ὡς ἐν τῷ δευτέρῳ τμή- 10 ματι τοῦ περὶ Ἑρμηνείας δέδεικται (c. 9), τὰ πράγματά ἐςιν, ἀλλὰ διὰ τὰ πράγματα οἱ λόγοι ἀληθεύουσιν ἢ ψεύδονται.

191 5. καὶ ἔςαι τὸ μὴ ἀληθές, ὅταν αὐτοῦ διανοήθῃ ὁ νοῦς, τὸ δὲ ψεῦδος, ὅταν μὴ διανοήθῃ, τουτέςιν ἄγνοια· καταχρηςικώτερον γὰρ ἀντὶ τοῦ ἄγνοια εἶπε τὸ ψεῦδος. ὅτι δὲ ἐν τῇ λέξει τῇ "ἀλλ' ε. 15 τ. μ. ἀλ. τὸ δὲ ψεῦδος" τὸ ψεῦδος καταχρηςικώτερον καὶ κοινότερον ἀπὸ τῆς ἀγνοίας ἔλαβε, δῆλον πεποίηκεν εἰπὼν, τὸ μὴ διανοεῖν καὶ ζητῆσαι ἀληθές, ἤτοι τὸ διανοεῖν καὶ φάσιν ἔχειν, ἀλλ' οὐ κατάφασιν ἢ ἀπόφασιν, ἀληθές, τὸ δ' ἀγνοεῖν ἐςὶ τὸ μὴ διανοεῖν, ὥςε τὸ ψεῦδος ἀντὶ τοῦ ἀγνοεῖν εἴληπται. 20

191 8. κοῦ συμβεβηκὸς δὲ ἔςιν ἀπατηθῆναι, εἴ τις τὸ μὴ διανοεῖν ἀπάτην βούλεται λέγειν. εἰσὶ δὲ πᾶσαι αἱ ἁπλαῖ οὐσίαι ἐνέργειαι, ἀλλ' οὐ δυνάμεις.

191 11. "νῦν δὲ τὸ ὂν αὐτὸ οὐ γίνεται." καὶ εἴη ἂν λέγων ὅτι τὸ κυρίως ὂν καὶ ἡ ἁπλῆ ὑπερούσιος οὐσία καὶ ἀκινήτως κινοῦσα, ὁ πολυτίμητος θεός, 25 οὐ γίνεται οὐδὲ φθείρεται. ἢ τὸ "νῦν δὲ τὸ ὂν αὐτὸ οὐ γίνεται οὐδὲ φθείρεται" ἴσον ἂν εἴη τῷ νῦν δὲ τὸ ὂν καὶ ἡ οὐσία τῶν ἁπλῶν, ὁποῖον ἄν ποτε εἴη, οὐ γίνεται οὐδὲ φθείρεται· πᾶν γὰρ τὸ γινόμενον συνθετόν ἐςιν κτλ.

191 13. "τὸ δὲ ἕν," τουτέςιν ἄλλον δὲ τρόπον, "εἴπερ ὄν, οὕτως ἐςί," τουτέςιν εἴπερ ἐςὶν ἁπλοῦν, οὕτως ἐςὶν ἡ περὶ αὐτὸ ἀλήθεια, οὐχ ὥςε 30 καταφάσκειν τι αὐτοῦ ἀλλὰ κατά τινα φάσιν αὐτὸ νοεῖν καὶ οἷον ὁρᾶν. "εἰ δὲ μὴ οὕτως," δηλονότι εἰ δὲ μή ἐςιν ἁπλοῦν, οὐκ ἔςι περὶ αὐτὸ τὸ ἀληθεύειν μόνον διανοούμενα.

ἄγνοια δὲ οὐχ οἵα ἡ τυφλότης, ὡς μὴ δυνηθῆναί ποτε νοῆσαι, 191 21.
ἀλλὰ τοιαύτη οἵα ὑπάρχει ὅταν τις μὴ περί τινος λογίζηται.

τὸ δὲ τὸν δύο λαβεῖν αὐτὸν καθ' αὑτὸν καὶ ὑπολαμβάνειν αὐτὸν 191 27.
ποτὲ μὲν ἄρτιον πρῶτον ποτὲ δὲ οὐ πρῶτον, οὐκ ἐνδέχεται. τὸ δὲ "οὐ
5 γὰρ ἔτι τινὰ μὲν τινὰ δὲ οὔ οἰήσεται" τοιοῦτον ἂν εἴη· οὐ γὰρ οἰήσεται ὁ τοὺς
ἀριθμούς, ὥσπερ τὸ τρίγωνον, ἀκινήτους οἰόμενος ὅτι τὶς μὲν ἀριθμὸς
πρῶτος ὢν ποτὲ ἔσται καὶ μὴ πρῶτος, ὁ δὲ κινουμένους αὐτοὺς οἰόμενος
οὕτος τοῦτο πείσεται· ὥστε ἢ ἀληθεύσει, εἰ τὸν δύο ἄρτιον ὑπολαμ-
βάνει, ἢ ἀεὶ ψεύσεται, εἰ μὴ οὕτως αὐτὸν ἔχειν ὑπολήψεται.

10 μέχρι τῶν ὧδε πεπλήρωνται αἱ εἰς τὸ Θ τῶν μετὰ τὰ φυσικὰ
χολαί.

Ἐπεὶ οἱ τὰς ἰδέας τιθέμενοι καὶ αὐτοὺς ἐδόξαζον, τοῦτο λέ- 192 5.
γοντες εἶναι τὴν φύσιν αὐτοῦ καὶ ἐν τούτῳ οὐσιῶδες ἐν τῷ ἓν εἶναι
(οὐδὲ γὰρ ὥσπερ ὁ Σωκράτης ἓν ὂν ὑπόκειται αὐτός, κατηγορεῖται δὲ
15 αὐτοῦ τὸ ἕν, οὕτως ἔλεγον καὶ ὡς τῷ αὐτοενὶ ὑποκεῖσθαί τινα φύσιν,
λέγεσθαι δὲ κατ' αὐτῆς τὸ αὐτοέν, οὔτε ὡς οἱ φυσικοὶ μίαν λέγον-
τες τὴν ἀρχὴν ὑπετίθεν αὐτῇ πῦρ ἢ ὕδωρ ἢ ἀέρα, ἀλλ' οὐσιῶδες
αὐτὸ ἐν τῷ ἑνὶ καὶ εἶναι αὐτοῦ φύσιν τὸ ἕν, μηδὲ ὂν αὐτὸ λέγοντες
ἀλλὰ μόνον ἕν. καὶ ὅτῳ φίλον πῶς ταῦτα λέγουσι μαθεῖν, ἐν-
20 τυγχανέτω τὸν ἐπιγραφόμενον Παρμενίδην ἢ περὶ ἰδεῶν τοῦ Πλάτω-
νος διάλογον) — ἐπειδὴ οὖν ταύτην εἶχον περὶ τοῦ ἑνὸς τὴν ἔννοιαν,
ζητῆσαι ἐν τῷ παρόντι βιβλίῳ προτίθεται εἰ ἔστι τι τοιοῦτον ἢ μή.

ἐν τῷ Δ τῆσδε τῆς πραγματείας (c. 6) εἴρηκε περὶ τῶν τοῦ
ἑνὸς σημαινομένων... οἱ συγκεφαλαιούμενοι τρόποι τῶν πρώτων
25 καὶ καθ' αὑτὰ λεγομένων ἕν, τουτέστιν οἱ πρῶτοι τῶν τοῦ ἑνὸς σημαι-
νομένων τρόποι κτλ.

τὸ οὖν κυρίως συνεχὲς ἓν λέγεται ἢ τὸ ἁπλῶς ὂν συνεχές, ἢ τὸ 192 10.
μάλιστά γε τῇ φύσει συνεχὲς ὄν κτλ.

τοιοῦτον δ' ἂν εἴη τὸ κυκλοφορητικὸν σῶμα. 192 12.

30 γόμφῳ μέν ἐστιν ἓν ναῦς, κιβώτιον, συνδέσμῳ ὁ φάκελλος, 192 15.
κόλλῃ δὲ βιβλίον.

εἰ δὴ ἓν λέγομεν ὧν ἡ κίνησις μία καὶ ὧν ἡ νόησις καὶ ἡ ἐπι- 192 26.
στήμη ἡ αὐτή, ταῦτα δὲ διὰ τὸ εἶδος συμβαίνει, ἓν ἂν εἴη πρῶτον
τὸ ταῖς οὐσίαις αἴτιον τοῦ ἑνός· τοῦτο δ' ἐστὶ τὸ εἶδος.

1932. δεῖ κατανοεῖν ὡς ἑτέρα ἐςὶν ἡ φύσις τοῦ ἑνὸς καὶ ἑτέρα τοῦ καθ' ὧν κατηγορεῖται.

1938. καὶ οἶμαι τὸ "δυνάμει ἐκεῖνα" ἴσον ἐςὶ τῷ ἐκεῖνα, τό τε συνεχὲς καὶ τὰ λοιπά, ὡς πρὸς τὸ ἄλλο, ὃ καὶ μᾶλλον ἐγγύς ἐςι τῷ ὀνόματι, ἐξεταζόμενα δυνάμει εἰσὶν ἓν καὶ ὑ καθ' αὑτὰ ὐδὲν τούτων. μή ποτε δὲ ἐπειδή, ὡς ἐρεῖ, τὸ ἕν, ὅπερ ἐγγὺς τῷ ὀνόματί ἐςιν, ὐδὲν ἄλλο τυγχάνει ὂν ἢ τὸ μέτρον καὶ ἀρχὴ τοῦ ποσοῦ ἢ ποσόν, καὶ τούτου μάλιςα τὸ μέτρον τοῦ διωρισμένου ποσοῦ, ὅπερ ἐςὶν ἡ μονάς, δι' ἣν λέγεται καὶ ἡ δίεσις ἓν καὶ μέτρον καὶ ἀρχὴ τῶν φθόγγων... μήποτε ὖν διὰ ταῦτα πόρρωθεν ἠνίξατο τοῦτο, λέγων ὅτι τῇ μονάδι ἐγγύς ἐςι τῷ ὀνόματι τὰ ἄλλα τὰ ἀπηριθμημένα, λίτρα καὶ δίεσις καὶ τὰ λοιπά, καὶ δυνάμει εἰσὶν ἓν καὶ ὑ καθ' αὐτό.

19311. τὸ δὲ "ἔςι δ' ἴσως καθ' αὑτὸ καὶ τὸ ἄπειρον" πρόσκειται, ἐπειδὴ οἱ ἓν τὸ ςοιχεῖον λέγοντες καὶ ἄπειρον αὐτὸ ὑπετίθεντο.

19317. τὸ δὲ "διὸ καὶ τὸ ἑνὶ εἶναι τὸ ἀδιαιρέτῳ ἐςὶν εἶναι," εἴ τι συνίημι, ὐδεμίαν πρὸς τὰ προσεχῶς λεχθέντα ἀκολουθίαν ἔχει, ἀλλ' οἶμαι ἐπανάληψίς ἐςι τῶν περὶ τοῦ ἑνός, ἵνα ἀκολούθως εἴποι καὶ ποῖόν ἐςιν ἐκεῖνο τὸ ἕν, ὅπερ μάλιςα ἐγγὺς τῷ ὀνόματί ἐςιν. καὶ εἴη ἂν λέγων διὰ τούτου, τὸ ἑνὶ εἶναι ἤτοι ἡ φύσις τοῦ ἑνός, τουτέςι τὸ ἀδιαίρετον εἶναι, ὅπερ ἓν ὑ καθ' αὐτό ἐςιν ἀλλὰ τόδε τι, ἄνθρωπος, εἰ τύχοι, μονὰς ἢ λίθος ἤ τι ἄλλο ἀδιαχώριςον ὄν, ἤτοι ἀδιαίρετον ἢ τόπῳ ἢ εἴδει ἢ διανοίᾳ ἢ τῷ ὅλῳ καὶ ἀδιαιρέτῳ. τίνα δέ ἐςι ταῦτα, εἴρηται πολλάκις. "μάλ. δὲ τὸ μ. εἶναι ἑκάςου γένος καὶ κυριώτ. τ. π." μάλιςα δὲ τὸ ἑνὶ εἶναι καὶ ἡ φύσις τοῦ ἑνός ἐς τὸ μέτρον τοῦ ποσοῦ· ἔςι γὰρ καὶ ψόφων καὶ μελῶν μέτρον, ἀλλὰ κυριώτατα ἓν καὶ μέτρον τοῦ ποσοῦ ἐςί, καὶ τοῦτό ἐςι τὸ ἕν, ὅπερ πρὸ ὀλίγου ἔλεγεν ὅτι μάλιςα ἐγγίζει τῷ ὀνόματι τῷ πρῶτον μέτρον τοῦ ποσοῦ· ἐντεῦθεν γὰρ καὶ ἐπὶ τὰ ἄλλα ἐλήλυθε, καὶ λέγει ἕν.

19326. ὥςε δῆλον ὅτι πᾶν ποσὸν ἢ ποσὸν τῷ ἑνὶ γινώσκει, καὶ ᾧ πρώτῳ πόσα ἐςὶ τὰ ἀπηριθμημένα, εἴτε εἴκοσιν εἴτε ἑκατὸν εἴτε ἄλλος ὁςισοῦν ἀριθμὸς γιγνώσκει, τοῦτο ἕν ἐςιν ἢ ἀνάλογόν γε ἑνί.

19425. ἔςι δὲ κίνησις ἁπλῆ καὶ ταχυτάτη καὶ διὰ τοῦτο βραχεῖα ἡ τῆς ἀπλανοῦς· αὕτη ἄρα μέτρον καὶ ἕν.

καὶ ἡ πλευρὰ δυσὶ μετρεῖται μέγεθος ὖσα, εἴτε δάκτυλος 195 2.
εἴη τὸ μετρῶν εἴτε ἄλλο τι· διττὸν γὰρ κἀκεῖνο ἔσται. δῆλον δὴ γέγονεν ἐκ πάντων ὅτι μέτρον πάντων τὸ ἕν ἐστιν· δέδεικται γὰρ ὅτι πᾶν ὥσπερ ἂν ὡς μέτρῳ τις χρῷτο ὡς ἑνὶ τούτῳ χρῆται, ὅτι τὸ με-
5 τρούμενον διαιροῦντες εἰς αὐτό, οἷον τὸ δεκάπηχυ μέγεθος διαιροῦντες εἰς δέκα πήχεις, γνωρίζομεν τοὺς ἐξ ὧν ἐστὶ πήχεις, ὁπόσοι εἰσίν. διαιρεῖται δὲ τὸ δεκάπηχυ ἢ κατὰ τὸ εἶδος ἢ κατὰ τὸ ποσόν, κατὰ μὲν τὸ εἶδος, ὅταν διέλωμεν αὐτὸ εἰς τὰ ἐξ ὧν συνίσταται, πυρὸς γῆς καὶ τοῖν μεταξύ, ἢ εἰς τὸ μέγεθος τὸ τοιονδί· κατὰ μέγεθος δέ, ὅταν
10 διαιρεθῇ εἰς δέκα πήχεις. οὕτω μὲν οὖν ὁ ἡμέτερος καθηγεμὼν ἐξηγήσατο. μήποτε δὲ ἐπειδή, ὡς εἴρηται, ὁ πῆχυς διττὸς λέγεται, τό τε εἶδος αὐτοῦ καὶ ὁ λόγος καὶ οὗτοσὶ ὁ μερικὸς καὶ αἰσθητός, λέγει ὅτι τὸ δεκάπηχυ ἢ εἰς τοὺς λόγους τῶν ἐν αὐτῷ δέκα πηχῶν διαιρεῖται ἄτμητον ὂν κατὰ μέγεθος καὶ ἕν, ἢ οὐκ εἰς τοὺς λόγους, ἀλλὰ κατὰ μέ-
15 γεθος διαιρεθὲν οὐκέτι ἕν ἐστι καὶ συνεχὲς ἀλλὰ πλείω, ὥσπερ ἂν εἰ τὸν Σωκράτην διέλοιμεν εἴς τε τὸ ζῷον καὶ τὸ πεζὸν δίπουν, ἕνα καὶ συνεχῆ αὐτὸν διατηροῦμεν, εἰ δὲ εἰς κεφαλὴν καὶ χεῖρας διείλομεν, οὐ τῇ ἐπινοίᾳ ἀλλὰ κατ' ἀλήθειαν οὐκέτι εἷς ἐστίν. οὕτως καὶ ἐπὶ τοῦ δεκαπήχεος ἔχει· δῆλον ἄρα ὅτι τὸ ἓν ἀδιαίρετον.

20 ἀλλὰ τὴν μὲν μονάδα πάντῃ πάντως ἀδιαίρετον (λαμβάνο- 195 8.
μεν), τὴν δὲ ποδιαίαν ὡς πρὸς ὃ μετρεῖται μέγεθος καὶ πρὸς τὴν αἴσθησιν· ἀναίσθητος γὰρ καὶ ἀμερὴς δοκεῖ πρὸς τὸ ὑπ' αὐτῆς μετρούμενον, καθάπερ εἴρηται καὶ πρότερον περὶ αὐτῶν. καθ' αὑτὴν δ' ἡ ποδιαία ὡς μέγεθος ἐπ' ἄπειρόν ἐστι διαιρετή. τὸ δὲ "ἴσως" πρόσ-
25 κειται ἢ διὰ τοὺς λέγοντας ἐξ ἀτόμων συγκεῖσθαι τὰ μεγέθη, ἢ διὰ τὴν ἀσθένειαν τοῦ τε ὀργάνου, ᾧ χρῆται εἰς τὴν τμῆσιν, καὶ τοῦ τέμνοντος ζῴου, ἐπεὶ τῇ οἰκείᾳ φύσει πᾶν μέγεθος τμητόν ἐστιν.

ὁ δ' ἀξιῶν τοῦτο, λέγω δὴ τὸ λέγειν ὅτι ὥσπερ τὸ μέτρον 195 15.
τῶν φωνῶν φωνή ἐστιν, οὕτω καὶ τὸ μέτρον τῶν ἀριθμῶν ἀριθμός,
30 οὐχ ὁμοίως ἀξιοῖ. ἀλλ' ὥσπερ ἄν, εἴπερ ἠξίου ὅτι τὸ τῶν μονάδων μέτρον ἔστω μονάδες ἀλλὰ μὴ μονάς, ψεῦδος ἂν ἠξίου, οὕτως καὶ ὁ τὸ τῶν ἀριθμῶν μέτρον ἀξιῶν ἀριθμὸν εἶναι ψεῦδος ἀξιοῖ· οἱ γὰρ ἀριθμοὶ μονάδες εἰσίν, τῶν δὲ μονάδων οὐκ ἂν εἴη μέτρον ὁ ἀριθμός.

19527. ὥςε τὸν ἄνθρωπον μέτρον λέγων ὁ Πρωταγόρας, τὴν ἐπιςήμην φημὶ μέτρον καὶ τὴν αἴσθησιν, ὐδὲν λέγων περιττὸν καὶ σοφὸν δοκεῖ σοφόν τι λέγειν. τίς ὖν ἀνάγκη ἦν εἰπεῖν ὅτι ὁ ἄνθρωπος μέτρον, ἀλλὰ μὴ ὅτι ἡ ἐπιςήμη καὶ ἡ αἴσθησις... ὅτι μὲν ὖν τὸ ἓν εἶναι μάλιςά ἐςι μέτρον καὶ κυριώτατα μέτρον τὸ ἐν τῷ ποσῷ ἕν, δῆλον· ὅπερ μέτρον ἀφορίζυσιν ἤτοι ὀνομάζυσιν. ἢ ἀφορίζυσιν ἀντὶ τοῦ γινώσκυσι κατὰ τὸ ὄνομα τοῦ ἑνός. ἢ τὸ ἀφορίζυσιν ἀντὶ τοῦ χωρίζυσιν ἀπὸ τῶν ὑπ' αὐτοῦ μετρυμένων κατὰ τὸ ὄνομα τοῦ ἑνός· τὰ γὰρ μεμετρημένα ἢ διπήχη κατὰ τὴν δυάδα λέγεται ἢ τριπήχη κατὰ τὴν τριάδα ἢ κατὰ ἄλλον ὀντιναῦν ἀριθμόν, μόνον δὲ τὸ μετρῦν, αὐτὸ δὴ τὸ μέτρον, κατὰ τὴν μονάδα ὠνόμαςαι ἐν ἅπασι τοῖς μετρυμένοις.

19610. καὶ πῶς δεῖ γνωριμώτερον λεχθῆναι; ἆρα ὥσπερ οἱ περὶ φύσεώς φασιν; ἐκείνων γὰρ ὁ μὲν Ἐμπεδοκλῆς ἓν τὴν φιλίαν εἴρηκεν, Ἀναξιμένης δὲ τὸν ἀέρα, ἄλλοι δὲ τὸ ἄπειρον.

19611. κοινὸν γάρ ἐςι τὸ παρὰ τὰ πολλὰ καὶ κατὰ τῶν πολλῶν λεγόμενον, καὶ μόνον κατηγόρημα καὶ ὄνομα, ἀλλ' ὐ φύσις τις.

19612. ἐν τῷ Ζ τῆσδε τῆς πραγματείας.

19617. λέγει γένη ἢ τὰ δέκα γενικώτατα, ἢ ἁπλῶς πᾶν ὃ ἂν εἴη καθόλυ.

19626. ςέρησις γὰρ φωτὸς τὸ σκότος ἐςίν. ταῦτα δὲ παρέλκοντά ἐςι, τό τε ὅτι ἐκ τοῦ λευκοῦ καὶ τοῦ μέλανός ἐςι τὰ ἄλλα, καὶ τὸ ὅτι τὸ μέλαν ςέρησίς ἐςι τοῦ λευκοῦ ὥσπερ καὶ τὸ σκότος φωτός· ὐδεμίαν γὰρ κατ' ἐμὲ ἀκολυθίαν ἔχει πρὸς τὰ λεγόμενα. ἔςι μὲν ὖν, ὡς εἴρηται, ἐν χρώμασίν τι τὸ ἕν, οἷον λευκόν, ὥςε εἰ πάντα τὰ ὄντα χρώματα ἦν καὶ μηδὲν ἦν τῶν ἄλλων, ἦν ἂν ἀριθμός τις τὰ ὄντα, τυτέςιν ἦν ἂν ἀριθμός τις τῶν χρωμάτων. αὐτὸς δὲ εἶπεν "ἦν ἂν ἀριθμός," εἶτα ἐπήγαγεν "ἀλλὰ τίνων;" καὶ ἐρωτήσας διὰ τοῦ "ἀλλὰ τίνων;" ἀποκρίνεται λέγων δηλονότι χρωμάτων, ὡς εἰ ἔλεγεν ὅτι ὐκ αὐτὸ τοῦτο ἀριθμὸς ἦν ἄν, ἀλλ' ἀριθμὸς χρωμάτων. ὅτι δὲ ἀριθμὸς ἂν ἦν τῶν χρωμάτων, δῆλον.

19709. "ὥς' εἴπερ — ἀριθμῶν ὄντων," καὶ ἐν ἅπασιν ἑνός τινος, καὶ ἔςιν ἐπὶ πάντων τῶν τοιούτων ἀριθμός, καὶ τὸ ἕν τινος ἀριθμὸς καὶ τινὸς ἕν, καὶ ὐκ ἐν τύτῳ αὐτῷ ἐν τῷ ἑνὶ εἶναι ὐσίωται· δεδειγ-

μέναν ἂν εἴη ἐκ τούτων ὅτι καὶ ἐπὶ τῶν οὐσιῶν οὕτως ἔχειν ἀνάγκη πᾶσα.

καὶ τῷ — τοῦ ἄνθρ. οἶμαι δ' ἔνστασίν τινα δυναμένην φέρειν 197 22.
πρὸς τὸν δεικνύντα λόγον ὅτι τὸ ἓν οὐκ ἔστιν αὐτὸ καθ' αὑτὸ οὐδ' οὐσία
5 τις, διὰ τούτου λύει. ἡ δὲ ἔνστασις τοιαύτη τις ἂν εἴη. εἰ μή ἐστι
τὸ ἓν φύσις τις ἀλλ' ὄνομα μόνον, πῶς φαμὲν ὅτι τὸ ζῷον ἕν ἐστι καὶ
κατηγορεῖται τὸ ἔστι κατὰ τοῦ ζῴου, προσκατηγορεῖται δὲ τῷ ἔστι τὸ
ἕν; ὁμοίως φαμὲν ὅτι ἔστιν ὁ ἄνθρωπος εἷς καὶ γέγονε· κἀνταῦθα
τρίτον προσκατηγορούμενον τὸ εἷς· ὥστε ἔστι τὸ ἕν, ὃ κατὰ τοῦ ζῴου ἢ
10 τοῦ ἀνθρώπου ἐκατηγορήθη, ἕτερον αὐτῶν ὂν καὶ φύσις τις καὶ οὐσία.
λύει οὖν ταύτην τὴν ἔνστασιν, λέγων οὐ διὰ τὸ προσκατηγορεῖται κτλ.
ὥσπερ γὰρ οὐ τὸ ἔστι φύσις τίς ἐστιν αὐτὴ καθ' αὐτὴν καὶ οὕτω κατη-
γορεῖται τοῦ ἀνθρώπου, οὕτως οὐδὲ τὸ ἕν. καὶ διὰ τοῦτο τὸ ἄνθρωπος
ταὐτόν ἐστι τῷ εἷς ἄνθρωπος, καὶ τὸ ἑνὶ εἶναι ταὐτόν ἐστι τῷ ἑκάστῳ
15 εἶναι· τὸ γὰρ ἑνὶ εἶναι ταὐτόν ἐστι τῷ ἑνὶ ἵππῳ.

καὶ ταῦτα δείκνυσιν ὅτι οὐκ ἔστι τὸ ἓν οὐσία, εἴπερ τῇ οὐσίᾳ οὐδὲν 197 26.
ἀντίκειται.

ἐπεὶ δὲ αἱ ἀντιθέσεις τετραχῶς, τὸ ἓν καὶ τὰ πολλὰ ὡς τὰ 198 1.
ἐναντία ἀντίκειται, καὶ ὅτε ὡς τὰ πρός τι ὅτε ὡς ἕξις καὶ στέρησις
20 ὅτε ὡς κατάφασις καὶ ἀπόφασις. εἰ δὲ τοῦτο, οὐκ ἂν εἴη τὸ ἓν οὐσία,
εἴπερ μηδέν ἐστι τῇ οὐσίᾳ ἐναντίον.

"ἔστι — διεγράψαμεν." πεποίηκε γὰρ διαίρεσιν ἐν τοῖς περὶ 198 8.
τ'Αγαθοῦ, ὡς καὶ ἐν ἄλλοις εἴπομεν, δι' ἧς ἅπαντα τὰ ἐναντία εἴς
τε τὸ πλῆθος καὶ τὸ ἓν ἀνήγαγεν. ἔστι δὴ τοῦ μὲν ἑνὸς τό τε ταὐτὸν καὶ
25 ὅμοιον καὶ ἴσον, τοῦ δὲ πλήθους τὸ ἕτερον καὶ ἀνόμοιον καὶ ἄνισον.

ὅμοια οὖν, φησί, λέγονται ἂν μὴ ταὐτὰ ἁπλῶς ὄντα ἀλλὰ 198 17.
κατά τι διαφέροντα, τυγχάνοντα δὲ μὴ διάφορα κατὰ τὴν οὐσίαν
καὶ τὸ εἶδος, ἀλλὰ τὸ αὐτὸ μὲν ἔχοντα εἶδος, κατὰ δὲ τὰ σύνθετα
διαφέροντα· καὶ γὰρ Σωκράτης καὶ Πλάτων ὡς ἄνθρωποι ἀδιά-
30 φοροι, ὡς δὲ ἄτομοι διάφοροι. τοῦτο γὰρ ἐδήλωσε διὰ τοῦ "μηδὲ
κατὰ τὴν οὐσίαν ἀδιάφορα τὴν συγκειμένην."

τὰ δ' ὅμοια λέγεται ἢ ἂν τὰ πλείω ἔχῃ τὰ αὐτά, ἢ ἂν τὰ 198 27.
πρόχειρα, λέγων "πρόχειρα" τὰ μᾶλλον τῇ αἰσθήσει ὑποπίπ-
τοντα.

199 3. εἰπὼν δὲ ὅτι τὸ ἄλλο καὶ τὸ ταὐτὸν ἀντίκειται, πρὸ τοῦ εἰπεῖν πῶς τὸ ἕτερον ἔχει πρὸς τὸ ταὐτό, μεταξὺ πάλιν περὶ τοῦ ὁμοίου λέγει, λέγων "τὸ δὲ ἂν μὴ καὶ ἡ ὕλη καὶ ὁ λόγος ἴδιος," λέγων "ἴδιον" τὸ ἕτερον. καὶ εἴη ἂν λέγων ὅτι εἰ μὴ καὶ ἡ ὕλη καὶ ὁ λόγος, τουτέστιν εἰ μὴ διάφορός ἐστιν ἢ ὁ λόγος ἢ ἡ ὕλη, οὐ λέγεται ὅμοιον. ἂν γὰρ καὶ ὁ λόγος καὶ ἡ ὕλη εἰσὶ τὰ αὐτά, οὐ λέγονται ὅμοια ἀλλὰ ταὐτά. ταὐτοὶ γὰρ λέγονται οἱ χαλκοῖ ἀνδριάντες, ἀλλ' οὐχ ὅμοιοι, ἐπεὶ καὶ τὸ εἶδος καὶ τὴν ὕλην τὰ αὐτὰ ἔχουσιν. ἂν δὲ ὁ μὲν ᾖ χαλκοῦς ὁ δὲ χρυσοῦς, λέγονται ὅμοιοι· διαφέρουσι γὰρ κατὰ τὴν ὕλην. πάλιν εἰ εἴη τρίπους καὶ λέβης ἀμφότεροι ἐκ χαλκοῦ, λέγονται καὶ οὗτοι ὅμοιοι, ὅτι τῷ εἴδει διαφέροντες τῇ ὕλῃ ἀδιάφοροί εἰσιν. λέγεται δὲ ὅμοιον καὶ τὸ πλησιαίτερον· λέγουσι γὰρ ὅμοιον τὸ πράσινον χρῶμα τῷ φοινικῷ· πλησιαίτερον γάρ ἐστιν ἤπερ τὸ ἀλουργόν. πάλιν ἡ ῥητὴ εὐθεῖα πρὸς ῥητὴν ὁμοία λέγεται, ὡς ἐν τοῖς μαθηματικοῖς. ταῦτα μεταξὺ περὶ τοῦ ὁμοίου παρεμβαλών, λέγει περὶ τοῦ ἑτέρου καὶ τοῦ ταὐτοῦ. "τὸ μὲν οὖν ἕτ. ἢ τ. πρὸς ἅπαν λέγεται, ὅσα καὶ ἓν καὶ ὄν," τουτέστιν ὅσα εἰσὶ καὶ ἓν καὶ ὄν, ἢ ταὐτὰ λέγεται ἢ ἕτερα.

199 6. τουτέστιν ὅσα εἰσὶ καὶ ἓν καὶ ὄν, ἢ ταὐτὰ λέγεται ἢ ἕτερα. ἐπὶ δὲ τῶν μὴ ὄντων οὐ λέγεται. καὶ τὴν αἰτίαν συντόμως ἐπήγαγεν εἰπὼν "οὐ γὰρ ἀντίφασίς ἐστι τοῦ ταὐτοῦ," ἴσον λέγων τῷ οὐ γὰρ ἀντιφατικῶς ἀντίκειται τὸ ταὐτὸν καὶ ἕτερον, ἵνα λέγῃ καὶ ἐπὶ τῶν μὴ ὄντων. ὥστε τὸ ταὐτὸν καὶ ἕτερον ἢ ἓν θέλει εἶναι ἢ οὐχ ἕν, ὑπάρχον καὶ ἓν καὶ ὄν. καὶ συμπεραίνεται λέγων, τὸ μὲν οὖν ἕτερον καὶ ταὐτὸν οὕτως ἀντίκειται ὡς ἐπὶ μόνων τῶν ὄντων τὸ μὲν ἀληθεύεσθαι λεγόμενον τὸ δὲ μή.

199 16. εἴδει δὲ διαφέρουσι, φησίν, ὧν τὸ αὐτὸ γένος. γένος δέ ἐστι, φησίν, ἐν ᾧ ἀμφότερα τὰ διάφορα κατὰ τὴν οὐσίαν ταὐτόν εἰσιν· ἵππος γὰρ καὶ ἄνθρωπος κατὰ τὴν τοῦ ζῴου οὐσίαν οἱ αὐτοί. ὥστε καὶ τἀναντία διάφορα· κοινὸν γὰρ ἔχουσι τὸ ὑποκείμενον τὴν οὐσίαν, ὥσπερ ἄνθρωπος καὶ ἵππος τὸ ζῷον, πορρωτέρω δὲ τῆς οὐσίας.

199 24. "τὰ δ' ἐν τῇ αὐτῇ συστοιχίᾳ," τουτέστι τὰ δὲ ὅμοια ἐν τῇ αὐτῇ τυγχάνουσι σειρᾷ, ὥστε ἐν τῷ αὐτῷ γένει καὶ τὰ αὐτὰ τῷ γένει. εἴρηται δ' ἐν τῷ Δ ποῖά φαμεν ταὐτὰ τῷ γένει (c. 9).

οἶμαι δὲ γένος νῦν λέγειν τὴν ὕλην. καὶ εἴη ἂν λέγων ὅτι τὰ 199 30.
γένει διαφέροντα, ἀντὶ τοῦ τὰ μὴ τὴν αὐτὴν ἔχοντα ὕλην, ὡς ἡ
οὐσία καὶ τὸ ποσόν, οὐκ ἔχει ὁδὸν εἰς ἄλληλα οὐδὲ γίνονται ἐξ ἀλλήλων,
ἀλλ' ἀπέχει πλεῖστον, καὶ οὐ συμβλητά, τουτέστιν οὐδὲν αὐτοῖς κοινόν·
5 συμβλητὰ γὰρ ἐν τῇ περὶ Γενέσεως καὶ Φθορᾶς (2 4 et 5) ἔλεγε τὰ
ἔχοντα κοινόν τι.

γίνεται μὲν γὰρ ἐκ φαιοῦ λευκόν, ἀλλ' οὐκ ἔστι τὸ φαιὸν καὶ τὸ λευ- 200 2.
κὸν ἡ ἐσχάτη καὶ πλεῖστον ἀπέχουσα ἐναντιότης, ἀλλὰ τὸ λευκὸν καὶ
μέλαν· ἀλλ' ὅμως τὸ λευκὸν ἐκ τοῦ φαιοῦ ὡς ἐξ ἐσχάτου γίνεται.
10 ὥστε τῶν κυρίως ἐσχάτων ἐστὶ τὸ διάστημα μέγιστον. εἰ δὴ τὰ ἐναντία
ἔσχατα, τὸ δὲ τῶν ἐσχάτων διάστημα μέγιστον, τῶν ἐναντίων ἄρα
τὸ διάστημα μέγιστον, καὶ ὡς ἄρα ἐλέγετο, ὅτι ἡ μεγίστη διαφορά
ἐστιν ἡ ἐναντιότης.

παντὸς δὲ ἑνὸς διαστήματος δύο τὰ ἔσχατα. 200 17.

15 ὅπερ ἡμεῖς προείπομεν, αὐτὸς νῦν λέγει· φησὶ γὰρ ὅτι ὁ 200 20.
ὁρισμὸς τῶν ἐν τῷ αὐτῷ γένει ἐναντίων ἀληθεύσει καὶ ἐν τοῖς ὑπὸ
τὴν αὐτὴν δύναμιν καὶ ἐν τοῖς ἄλλοις· καὶ γὰρ ἡ ἐν αὐτοῖς τέλειος
διαφορὰ πλεῖστον διαφέρει. ὥστε ῥητέον ὡς τέλειος διαφορὰ τῶν
ὑπὸ τὴν αὐτὴν δύναμίν ἐστιν, ἧς μηδὲν ἔστιν ἔξω τι λαβεῖν· καὶ ἐπὶ
20 τῶν ἄλλων ὡσαύτως. τὸ δὲ "δέδεικται γὰρ — διαφορά," οἶμαι, λύ-
σις ἐστὶν ἐνστάσεως δυναμένης φέρεσθαι πρὸς τὸν ἓν ἑνὶ ἐναντίον λέ-
γοντα λόγον· εἴποι γὰρ ἄν τις ὡς εἰ διὰ τοῦτο ἓν ἑνὶ ἐναντίον, ὅτι
τὰ πλεῖστον ἀλλήλων διεστηκότα δύο εἰσίν, ἰδοὺ πλεῖστον ἀφέστηκε
τοῦ λευκοῦ τὸ μέλαν, ἀλλ' ἔτι μᾶλλον ἡ γραμμή· τί γὰρ κοινὸν
25 γραμμῆς καὶ λευκοῦ; ὥστε δύο κατὰ τὸ πολὺ ἀφεστηκότα ἐστὶ τοῦ λευκοῦ,
τό τε μέλαν καὶ ἡ γραμμή· εἰ δὲ τοῦτο, καὶ δύο ἐναντία ἔστω αὐτῷ.
πρὸς ταύτην οὖν οἶμαι τὴν ἔνστασιν τοῦτο ἐπῆκται τὸ λέγον "δέδεικται
γὰρ" κτλ, τουτέστι τὰ ὑπὸ ἕτερα γένη καὶ μὴ ὑπάλληλα ὄντα οὐ χρὴ
ἀντιτιθέναι, ἀλλὰ τὰ ὑπὸ τὸ αὐτό.

30 "τοῦτ. δ' αὕτη μεγ." τουτέστι τῶν δ' ἐν τῷ αὐτῷ γένει ὄντων 200 24.
αὕτη ἡ ἐναντιότης μεγίστη ἐστὶ διαφορά.

καὶ ἡ ὑγίανσις δὲ λῆψις οὖσα ὑγιείας ἐναντία λέγεται τῇ νο- 201 5.
σάνσει, ἀποβολῇ οὖσα ὑγιείας λήψει δὲ νόσου.

201 8. τὸ προκείμενόν ἐςι δεῖξαι ὅτι ἡ ςέρησις καὶ τὰ ἐναντία ὑπὸ τὴν ἀντίφασιν εἰσί, καὶ τρόπον τινά, ὡς ἐρεῖ, ἀντιφάσεις εἰσὶν ἥ τε ςέρησις καὶ τὰ ἐναντία. ἀλλ' εἰ τοῦτο, μᾶλλόν ἐςιν ἀντίθεσις ἡ ἀντίφασις καὶ ςερήσεως καὶ τῶν ἐναντίων· καὶ εἰ τοῦτο, πῶς λέγουσιν ὅτι ἐν τῷ πέμπτῳ τμήματι τοῦ περὶ Ἑρμηνείας (c. 12) γυμνάζων τοὺς ἀκροατὰς λέγει ὅτι μᾶλλον ἡ ἀντίφασις ἀντίκειται ἤπερ τὰ ἐναντία, ἐπεὶ αὐτὸς τὴν ἐναντιότητα μᾶλλον ἀντικεῖσθαι τῆς ἀντιφάσεως βούλεται. δείκνυσιν οὖν, ὡς εἴρηται, ὅτι ὑπὸ τὴν ἀντίφασίν εἰσιν ἥ τε ςέρησις καὶ τἀναντία· τέως δὲ πρῶτον δείκνυσιν ὅτι τὰ ἐναντία οὐκ ἀντίκειται ὡς τὰ ἀντιφατικῶς ἀντικείμενα.

201 15. "ἢ συνειλ. τῷ δεκτικῷ," τουτέςι μετὰ τοῦ ὑποκειμένου.

201 20. ὅτι δὲ πᾶσα γένεσις ἢ ἐκ τοῦ εἴδους καὶ τῆς ἕξεως ἢ ἐκ τῆς ςερήσεώς ἐςι, δέδεικται ἐν τῇ περὶ Γενέσεως (1 3).

201 22. πᾶσα γὰρ ἐναντιότης ἔχει ςέρησιν· εὐθὺς γὰρ ἡ ψυχρότης ςέρησιν ἔχει θερμοῦ, καὶ ἡ μελανία λευκοῦ, καὶ ἡ ἀνισότης ἰσότητος, καὶ ἡ ἀνομοιότης ὁμοιότητος, καὶ ἡ κακία ἀρετῆς. ἐκ τούτων δὲ πορίζόμεθα ὡς ἡ ςέρησις οὐχ ἕτερόν τί ἐςιν ἢ θάτερον τῶν ἐναντίων, ἤτοι τὸ ἓν μόριον τῆς ἐναντιότητος.

202 6. τὸ δὲ "ἀπόχρη — πολλά" τοιοῦτον ἂν εἴη. εἰ πάντα τὰ ἐναντία ὑπὸ τὸ ἓν καὶ τὰ πολλὰ ἀνάγεται (καὶ εἴρηται μετὰ πολλάκις ὅτι διαίρεσιν πεποίηκε, καθ' ἣν πάντα τὰ ἐναντία ὑπὸ τὸ ἓν ἀνήγαγε καὶ τὰ πολλά), τὸ δὲ ἓν καὶ τὰ πολλὰ ἀντίφασίς τίς ἐςιν, ὡς δειχθήσεται, πάντα ἄρα τὰ ἐναντία ὑπ' αὐτὰ ἀνάγεται.

202 9. ζητεῖ πῶς ἀντίκειται τὸ ἓν καὶ τὰ πολλά, πότερον ὡς τἀναντία, ὡς ςέρησις καὶ ἕξις, ἢ ὡς τὰ πρός τι, ἢ ὡς κατάφασις καὶ ἀπόφασις. ὁμοίως δὴ τὸ ἴσον τῷ μεγάλῳ καὶ τῷ μικρῷ κατὰ ποῖον τουτωνὶ τῶν τρόπων ἀντίκειται; καὶ τέως ὅτι τὸ ἓν καὶ τὰ πολλὰ ἀντικείμενά ἐςι, δείκνυσι λέγων· εἰ γὰρ τὸ πότερον ἐν τοῖς ἀντικειμένοις εἰώθαμεν λέγειν, λέγεται δὲ τὸ πότερον καὶ ἐπὶ τοῦ ἑνὸς καὶ τῶν πολλῶν, δηλονότι ἀντικείμενά ἐςιν.

202 13. πότερον δὲ τὸ προκείμενον ἄνθρωπός ἐςιν ἢ οὐ λευκόν, οὗ φαμεν διὰ τὸ μὴ ἀντικεῖσθαι τὸν ἄνθρωπον καὶ τὸ λευκόν, εἰ μὴ ἐξ ὑποθέσεως· εἰ γὰρ ὑπόθοιτό τις μηδέν τι ἄλλο εἶναι τῶν ἁπάντων εἰ μὴ μόνον ἄνθρωπον καὶ λευκόν, δυνησόμεθα λέγειν τούτου ὑποκει-

μένω, πότερον τὸ προκείμενον ἄνθρωπός ἐςιν ἢ λευκόν; καὶ πάλιν εἰ θείημεν ὡς ἔςιν ἐν τῇδε τῇ οἰκίᾳ σήμερον ἐξ ἀνάγκης ἢ ἐλεύσεται Κλέωνα ἢ Καλλίαν, μηδένα δὲ ἕτερον, ἐρῶμεν διὰ τὴν ὑπόθεσιν, πότερον Κλέων ἐςὶν ἢ Καλλίας ὁ ἐληλυθώς;

5 "ἔτι — ἴσον." ἀλλὰ μὴν τὸ ἄνισον δηλωτικόν ἐςι τοῦ μεί- 202 26.
ζονος καὶ ἐλάσσονος, ὥςε εἰ ἐναντίον τῷ ἴσῳ τὸ ἄνισον, καὶ ὅτως δύο εἰσὶν ἐναντία. εἰ δὲ τὸ ἄνισον ἀμφότερα δηλοῖ, τὸ μεῖζον καὶ ἔλασσον, οὐκ εἰκός ἐςι λέγειν ὅτι τὸ ἄνισον χρὴ ὡς ἕν τι ὄνομα λαμβάνειν καὶ ἀντιτιθέναι τῷ ἴσῳ, καὶ ὅτως ἐπάγει ὅτι ἓν τὸ ἄνισον ἑνὶ τῷ
10 ἴσῳ ἐναντίον. τοῦτο γὰρ τοῖς ὑπὸ τὴν δυάδα τὸ ἄνισον ἀνάγουσι βοηθεῖ· ἐπειδὴ γὰρ τὸ ἄνισον δυοῖν ἐςὶ δηλωτικόν, εὐλόγως αὐτὸ ὑπὸ τὴν δυάδα ἀνάγουσι. τῷ δὲ λέγοντι ὡς ἐπειδὴ τὸ ἄνισον ἕν ἐςιν ὄνομα καὶ ἀντιτιθέμενον τῷ ἴσῳ, ὡς ἓν ἑνὶ ἀντιτίθεῖ, ὐδαμῶς βοηθεῖ· ὐ γὰρ τὰ ὀνόματά εἰσι τὰ ἀντικείμενα, ἀλλὰ τὰ ὑπὸ τῶν
15 ὀνομάτων σημαινόμενα πράγματα. ὥςε εἰ καὶ ἕν ἐςι τὸ ἄνισον ὄνομα, ἀλλ' ἐπειδὴ δυοῖν ἐςὶ δηλωτικόν, ὁ τοῦτο τῷ ἴσῳ ἀντιτιθεὶς δύο ἑνὶ ἀντέθηκεν· ὥςε ἔσονται τῷ ἑνὶ δύο ἐναντία, ὅπερ ἀδύνατον.

αὕτη δὲ (ἡ ἐναντιότης) μᾶλλον ἔχει ἑαυτῆς τὸ μεταξύ, ὡς 203 4.
20 τὸ φαιὸν ἡ λευκότης καὶ μελανία.

τὸ γὰρ ἴσον ἀπόφασίς ἐςι τοῦ μείζονος καὶ ἐλάσσονος· ἴσον γάρ 203 8.
ἐςι τὸ μήτε μεῖζον ὂν μήτε ἔλασσον.

"ἀλλ' ἀεὶ τρία," τουτέςιν ἀλλ' ἀεὶ τὸ πότερον πρὸς τὰ τρία 203 15.
λέγεται, ἀλλ' ὐ πρὸς τὰ δύο, οἷον πότερον ἴσον ἢ μεῖζον ἢ ἔλασ-
25 σον... λέγει ἀπόφασιν ςερητικὴν τὴν ἐπὶ μιᾶς κατηγορίας διαιροῦσαν τὸ ψεῦδος καὶ τὴν ἀλήθειαν, ἐπὶ δὲ τῶν ἄλλων συμψευδομένην τῇ καταφάσει, ὥσπερ τὸ ἴσον ἐπὶ μόνου τοῦ ποσοῦ· πᾶν γὰρ ποσὸν ἢ ἴσον ἐςὶν ἢ μεῖζον ἢ ἔλασσον· ἐπὶ δὲ τῶν ἄλλων ψεύδεται· τὸ γὰρ λευκὸν ὅτε ἴσον ἐςὶν ὅτε μεῖζον ὅτε ἔλασσον. ἔςιν
30 οὖν "ςερητικὴ ἀπόφασις" ἢ "ςερητικὴ ςέρησις" (ἀμφοτέρως γὰρ γράφεται) αὕτη ἡ ἐπὶ μιᾶς κατηγορίας μετὰ τῆς οἰκείας καταφάσεως τὸ ψεῦδος διαιροῦσα καὶ τὴν ἀλήθειαν· ἀναγκαία δὲ ςέρησίς ἐςιν ἡ ἀπόφασις ἡ ἐπὶ πάντων καὶ ὄντων καὶ μὴ ὄντων διαιροῦσα τὸ ψεῦδος καὶ τὴν ἀλήθειαν· αὕτη δέ ἐςιν ἡ κυρία ἀπόφασις.

Digitized by Google

203 29. ὅτε γὰρ ἀντικείμενά εἰσιν, ὅτε ἔςιν αὐτῶν διαφορά· ἐν ἄλλῳ γὰρ γένει· ὧν δ' ἐςὶ συναπόφασις, ταῦτα ὁμογενῆ ἐςίν. οὕτω γὰρ τοῦ ῥητοῦ τοῦ "ἐν ἄλλῳ γὰρ γένει, ὧν αἱ συν. εἰσί," χρὴ ἀκούειν· εἰ γὰρ μὴ οὕτως, ἀδιανόητον ἔςαι τὸ λεγόμενον καὶ ἐναντίον τοῖς λεγομένοις. δύναται καὶ ὡς ἐλλιπὲς εἰρῆσθαι τὸ "ἐν ἄλλῳ γὰρ γένει ὧν αἱ συναποφ. ε.," καὶ εἰ προςεθείη τῷ "γένει" τὸ οὐκ εἰσίν, ἵν' ᾖ τὸ πᾶν τοιοῦτον, ἐν ἄλλῳ γὰρ γένει οὐκ εἰσὶν ὧν αἱ συναποφάσεις εἰσί, σαφὲς ἂν εἴη τὸ λεγόμενον. τὸ δὲ ὅτε γὰρ (?) ἀντικείμενα ἐςίν, ὅτε ἔςιν αὐτῶν διαφορά, λέγοι ἂν διαφορὰν τὴν διαιρετικὴν τοῦ γένους.

204 5. ὅτι δὲ τὰ δύο πολλά ἐςι, δῆλον· εἰ γὰρ τὸ διπλάσιον πολλαπλάσιον, τὸ δὲ διπλάσιον ἐκ τοῦ δύο ἔχει τὸ διπλάσιον λέγεται, καὶ τὰ δύο ἄρα πολλαπλάσιον. ἀλλὰ τὸ πολλαπλάσιον πολλά ἐςι, καὶ τὰ δύο ἄρα πολλά· εἰ δὲ τὰ δύο πολλά, τὸ ἓν ἔςαι ὀλίγον κτλ.

204 13. "εἰ μή τι ἄρα," φησί, "διαφέρει ἐπὶ συνεχεῖ ἀορίςῳ," συνεχὲς λέγων ἀόριςον, εἴ τί περ ὑγρόν, ὡς τὸ ὕδωρ καὶ ὁ ἀήρ. ἀόριςα γὰρ οἰκείῳ ὄντα ὅρῳ, ἀλλοτρίῳ εὐόριςά ἐςι, λέγω δὴ τῷ ἐν ᾧ εἰσὶν ἀγγείῳ.

ἡ μονὰς ἄρα οὐκ ἔςιν ὀλίγον, τὸ γὰρ ὀλίγον καὶ πλῆθος. εἰ δὲ μή ἐςιν ὀλίγον, ψεύδεται ἄρα ἡ λέγουσα πρότασις ὅτι τὰ ὀλίγα καὶ τὸ ὀλίγον ὀλίγα· ἐξ ἧς συνήγετο ὅτι τὸ ἓν πλῆθός ἐςιν. διὸ οὐκ ὀρθῶς κτλ.

205 1. ἐπειδὴ τοῖς πολλοῖς τὸ ὀλίγον δέδεικται ὅτι ἀντίκειται, καὶ τὰ πολλὰ τῷ ὀλίγῳ, ἐςὶ δὲ ἁπλῶς ὀλίγον ἡ δυάς, ἔδει, φησί, τὸν Ἀναξαγόραν μὴ οὕτως εἰπόντα ἀπηλλάχθαι ὅτι ἦν ὁμοῦ πάντα χρήματα ἄπειρα καὶ πλήθει καὶ σμικρότητι, ἀλλ' εἰπεῖν ὅτι καὶ ὀλιγότητι. καὶ τοῦτο εἰπὼν οὐκ ἂν αὐτὰ ἄπειρα ἔφασκε· τὸ γὰρ ὀλίγον ἁπλῶς τὰ δύο ἐςί, τὰ δὲ δύο οὐκ ἄπειρα. τὸ δὴ ὀλίγον ἁπλῶς δύο ἐςίν, ἀλλ' οὐχὶ διὰ τὴν μονάδα, ὥσπερ φασί τινες· ἡ γὰρ μονὰς ἐλάσσων μί λέγεται τῆς δυάδος, ὀλίγη δὲ οὐ λέγεται διὰ τὸ ὀλίγον ἐν πλήθει θεωρεῖσθαι. τοῦτο δὲ μεταξὺ τοῦ Ἀναξαγόρα ἐγκαλέσας πάλιν ἐπὶ τὸ ἓν καὶ τὰ πολλὰ ἀνατρέχει, λέγων "ἀντικ. δὴ τὸ ἓν καὶ τὸ πολὺ τὰ ἐν ἀριθμοῖς ὡς μέτρον μετρητῷ·" ταῦτα δέ, οἷον τὸ μέτρον καὶ τὸ μετρητόν, ἀντίκειται ὡς τὰ πρός τι, οὐ τὰ καθ' αὐτὰ πρός τι, ἀλλ' ὡς τὰ πρός τι τὰ μὴ καθ' αὐτά· εἴρηκε γὰρ

ἐν τῷ Δ (c. 13) ὅτι τῶν πρός τι τὰ μέν εἰσι καθ' αὑτά, τὰ δὲ
ὑ καθ' αὑτά... ϗ εἴρηταί μοι περὶ τούτων ἐκεῖσε ἀκριβέςερον.

ἡ γὰρ ἐπιςήμη τῶν πρός τι λέγεται, ὐχ ὅτι ἄλλυ λέγεται, οἷον 205 9.
τοῦ ἐπιςήμονος, ἀλλ' ὅτι τὸ ἐπιςητὸν λέγεται πρὸς αὐτήν.

5 ὑ πᾶν, ὃ ἂν ᾖ ἓν ϗ ἀδιαίρετον, ἀριθμός ἐςιν, ἀλλ' εἰσὶ πολλὰ 205 17.
ἓν ϗ ἀδιαίρετα, οἷον τὰ ἐν ταῖς ἀκτῖσι τοῦ ἡλίυ ὁρώμενα ξύσματα,
ϗ ὐκ εἰσὶν ἀριθμός, εἰ τάχα καὶ ἔςιν ἀριθμὸς αὐτῶν. ἢ ἴσον ἂν
εἴη τὸ "διὸ ὑ πᾶν ὃ ἂν ᾖ ἓν ἀριθμός ἐςιν, οἷον εἴ τι ἀδιαίρετον," τῷ
ὐκ εἴ τι ἓν ὂν ϗ ἀδιαίρετον ἀριθμός ἐςιν. ὁ γὰρ δέκα ὡς δέκα ἀριθ-
10 μὸς ἕν ἐςιν, ἀλλὰ διαιρεῖται εἰς μονάδας· ὥςε τὸ ἓν ϗ ἀδιαίρετον
ὐκ ἔςιν ἀριθμός. καλλίων δέ, οἶμαι, ἡ προτέρα ἐξήγησις.

τὸ δὲ ἕν, ὥσπερ εἴρηται, τὸ μέν ἐςι διαιρετόν (τὸ γὰρ πηχυαῖον 205 27.
μέγεθος ὂν διαιρετόν ἐςιν), τὸ δέ ἐςιν ἓν τὸ ὡς πρός τι, ὡς ἡ μο-
νάς· μέτρον γάρ ἐςι τοῦ ἀριθμοῦ, τὸ δὲ μέτρον τῶν πρός τι.

15 Ἐν τῷ παρόντι βιβλίῳ δεκάτῳ ὄντι τῆς ὅλης πραγματείας, 211 21.
κάππα δὲ ἐπιγραφομένῳ, ἐπαναλαμβάνει τὰ ἀποδειχθέντα αὐτῷ
ϗ ἀναγνωρίζει ἡμῖν ὡς ἡ τοιαύτη πραγματεία ἑτέρα ἐςὶ τῆς φυ-
σικῆς ϗ τῆς μαθηματικῆς ϗ μόνη ἀξία καλεῖται σοφία. ἀλλ' ἡ
μὲν πρόθεσις τοῦ παρόντος βιβλίυ αὕτη ἐςίν.

20 ἀπορήσας ἐν τῷ Β ταύτης τῆς πραγματείας ὅσα ἐκεῖσε
αὐτῷ ἠπόρηται, ἐν τοῖς μετὰ τὸ Β ἄχρι τοῦ παρόντος, ὃ κάππα τοῖς
Περιπατητικοῖς ἔθος καλεῖν, λέγων τὰ δοκοῦντα αὐτῷ τε ϗ τῇ
ἀληθείᾳ εἶναι ἐχόμενα τῆς πραγματείας ταύτης, ἔλυσε τῶν
ἐκεῖ ἀπορηθέντων ὅσα τοῖς λεγομένοις ἀκολούθως ϗ οἰκείως πα-
25 ρέλιπε. μέλλων δὲ ϗ τὰ λοιπὰ λῦσαι διά τε τοῦ παρόντος
βιβλίυ ϗ τῶν ἐφεξῆς, πάλιν ὑπομμνήσκει ἀπὸ τῶν ἐκεῖσε
ἀπορηθέντων ὅσα ὅλως ὐκ ἔχηκεν λύσεως ἢ ὐκ αὐτάρκως...
ἄδηλον πῶς πλειόνων (ὑσιῶν) ἐνδέχεται μίαν (ἐπιςήμην) εἶναι·
ἡ γὰρ μία τῶν ἐναντίων, αἱ δὲ ὑσίαι ὐκ ἐναντίαι. ἔτι ζητή-
30 σειεν ἄν τις εἰ ἡ ἀπόδειξις περὶ τὰς ὑσίας ἐςὶν ἢ περὶ τὰ καθ'
αὑτὰ συμβεβηκότα ταῖς ὑσίαις. εἰ ἔςιν ἀπόδειξις περὶ τὰ
καθ' αὑτὰ συμβεβηκότα, τῶν δὲ ὑσιῶν ϗ τοῦ τί ἦν εἶναι ἀπό-
δειξις ὐκ ἔςιν, ὡς δέδεικται ἐν τῷ δευτέρῳ (c. 3) τῶν Ὑςέρων
Ἀναλυτικῶν, ὐκ ἂν εἴη τῶν ὑσιῶν ἡ ἀπόδειξις, ἀλλ' ἑτέρα τις.

Digitized by Google

ἀλλ' ἐὰν ἡ τῶν ὑσιῶν ἑτέρα τῆς τῶν συμβεβηκότων, τίς ἐςιν ἑκατέρα αὐτῶν, καὶ ποία τούτων ἡ σοφία, ἡ τῶν συμβεβηκότων ἢ ἡ τῶν ὑσιῶν; καὶ φησὶν ὅτι ἐπεὶ ἡ ἀποδεικτικὴ σοφία περὶ τὰ συμβεβηκότα ἐςίν, ἡ περὶ τὰ πρῶτα, τετέςιν ἡ περὶ τὰς πρώτας ἀρχὰς οἷαι ἂν καὶ εἶεν, ἐκείνη ἐςὶν ἡ τῶν ὑσιῶν. ὅτε οὖν ἐν οὐδενὶ τούτων τὴν ἐπιζητουμένην σοφίαν θετέον, ὅτε περὶ τὰς ἐν τοῖς Φυσικοῖς εἰρημένας αἰτίας, ὕλην, εἶδος, ποιητικὸν καὶ τελικόν. καὶ ὅτι περὶ ὕλην καὶ εἶδος καὶ ποιητικὸν οὐκ ἔςιν, εἴρηται ἐν τοῖς πρώτοις ταύτης τῆς πραγματείας βιβλίοις· ἄυλος γὰρ ἦν ἡν ἐνταῦθα ζητοῦμεν ἀρχήν. ἀλλ' οὐδέ ἐςί τι ταύτης ποιητικόν· αὕτη γάρ ἐςι τὸ πάντων πρῶτον καὶ πάντων αἴτιον. ἀλλὰ καὶ ὑπὲρ εἶδος αὕτη· τῶν εἰδῶν γὰρ ποιητική. ὅτι δὲ οὐδὲ περὶ τελικόν ἐςιν ἡ σοφία, δείκνυσι λέγων "ὅτε γὰρ περὶ τοῦ ἕνεκά τινος." διὰ δὲ τούτου δέδωκεν ἡμῖν προσυπακούειν ὅτι ὅτε περὶ τὰ λοιπὰ τρία, εἶδος ὕλην ποιητικόν· ὁ γὰρ σύνδεσμος ὁ τέ ἐλλείποντός ἐςιν ἀποδοτικός. δείκνυσιν οὖν τὸ προκείμενον οὕτως.

213 8. τὸ δὲ "περὶ γὰρ αὐτὸ τοῦτο τὸ γένος τὴν ζήτησιν ποιεῖται" ἐλλιπῶς καὶ λίαν ἀρχαιοπρεπῶς εἴρηται· εἴη δ' ἂν ἴσον τῷ αὐτὸ τοῦτο τὸ γένος καὶ τὴν ὑποκειμένην τοῖς μαθηματικοῖς ὕλην ὁμολογούμενον λαβὼν ὅτι ἔςι τοδί, τὴν ζήτησιν καὶ τὴν σκέψιν ποιεῖται τῶν συμβεβηκότων αὐτῷ καθ' αὐτό· τοῦτο γὰρ δεῖ προσυπακούειν.

213 12. ἀπορήσειεν ἄν τις, εἰ ἡ ζητουμένη σοφία περὶ τὰς ἀρχάς ἐςι καὶ τὰ καλούμενα ςοιχεῖα ὑπό τινων.

213 15. πᾶς γὰρ λόγος καὶ πᾶσα ἐπιςήμη τῶν καθόλου, αὕτη δὲ ὅσῳ τῶν ἄλλων μᾶλλον τιμωτέρα καὶ καθολικωτέρα, τοσούτῳ μᾶλλον τῶν καθολικωτάτων ἔςαι, καθολικώτατα δὲ πάντων τὸ ἓν καὶ τὸ ὄν.

213 25. κἀνταῦθα λείπει τὸ ἔτι ζητήσειεν ἄν τις πότερον τὰ γένη εἰσὶν ἀρχαὶ ἢ τὰ εἴδη. καὶ ἔςι τὸ μ' "ἔτι δ' εἰ μᾶλλον ἀρ. τ. ἀ. τοῦ ἡ. τ." κατασκευαςικὸν τοῦ ὅτι μᾶλλον ἀρχαὶ τὰ εἴδη τῶν γενῶν.

213 26. "ἔχατα δὲ τῶν ἐκ τοῦ γένους" εἶπε τὰ εἰδικώτατα εἴδη.

214 1. "τὰ μ' — ἐςίν." εἰπὼν ὅτι τὰ τὴν ἀπορίαν ἔχοντα ταῦτα, καὶ προθεὶς τὸ "καὶ τοιαῦτα" ὡς μηνυτικὸν τοῦ εἶναι καὶ ἄλλας ἀπορίας

παρὰ τὰς εἰρημένας, εὐθὺς ἐπάγει ἀπορίαν λέγων "ἔτι" κτλ. — καὶ λύει λέγων ὅτι τὰ καθ' ἕκαστα φθαρτά ἐστιν, ἡ δὲ σοφία τῶν ἀφθάρτων καὶ ἀϊδίων, ἀλλ' οὐδὲ τῶν παρὰ τὰ καθ' ἕκαστά ἐστιν ἡ σοφία.

5 ἐοίκαμεν γὰρ ζητεῖν ἄλλην οὐσίαν παρὰ ταύτας, καὶ σκοπῶμεν 214 14.
ἰδεῖν εἰ τί ἐστι χωριστὸν καθ' αὑτὸ καὶ μηδὲν ὂν τῶν αἰσθητῶν.

εἴρηται δὲ περὶ τούτων ἐν τῷ μείζονι ἄλφα αὐτάρκως. 214 20.

ἀλλ' οὐδὲ τὸ εἶδος δυνατὸν λέγει εἶναι τὴν ζητουμένην ἀρχήν· 214 26.
ἡ γὰρ ζητουμένη ἀρχὴ ἀΐδιος, πᾶν δὲ ἔνυλον εἶδος φθαρτόν· ἔνυλα
10 δὲ λέγω τὰ μετὰ τὴν σεληνιακὴν σφαῖραν.

εἰ δὲ πᾶσαι φθαρταί, εἰς ἄπειρον ἥξει· τοῦτο δ' ὅτι ἀδύνα- 215 9.
τον, δέδεικται ἐν τῷ ἐλάττονι ἄλφα.

τὸ δὲ ἐπ' ἐνίων γὰρ καὶ τὸ ἓν κατηγορεῖται οὐ παρέργως προσκειται, 215 17.
ἀλλὰ διὰ τοὺς ἀριθμοὺς καὶ τὰ πλήθη· εἰ γὰρ καὶ μονάδες εἰσίν, ἐξ ὧν
15 ἀριθμοὶ καὶ ἐξ ὧν τὰ πλήθη, ἢ τοσάσδε ἐν ἑαυτῷ ὁ ἀριθμὸς ἔχει μονάδας, οὐκ ἔστιν εἷς. ὁμοίως καὶ ἐπὶ τοῦ πλήθους. ἔτι, φησί, τοῖς λέγουσι τὸ αὐτὸν οὐσίαν, ἐκ δὲ τούτου καὶ τῆς ὕλης γεννῶσι τοὺς ἀριθμοὺς πρῶτον, φάσκουσί τε καὶ αὐτοὺς οὐσίας, ἐκ δὲ τῶν ἀριθμῶν πάλιν τἆλλα γεννῶσι, πῶς ἔσται τὸ λεγόμενον ἀληθές; ἐξ ὧν γὰρ
20 λέγουσι, συμβαίνει τὴν δυάδα καὶ τοὺς λοιποὺς ἀριθμοὺς ἓν εἶναι καὶ κατηγορεῖσθαι κατ' αὐτῶν τὸ ἕν· ὡς γὰρ τὰ ἐξ ὕλης καὶ τοῦ ἀνθρωπείου εἴδους ὄντα ἄνθρωποί εἰσιν, οὕτως καὶ τὰ ἐκ τοῦ ἑνὸς καὶ τῆς ὕλης ἕν. πῶς δὲ ἐκ τοῦ ἑνὸς καὶ τῆς δυάδος ἤτοι τῆς ὕλης πρῶτον τοὺς ἀριθμοὺς ἐποίουν, ἐκ δὲ τῶν ἀριθμῶν τὰ ἄλλα, εἴρηται ἐν τῷ μεί-
25 ζονι ἄλφα. ἀλλὰ μὴν οὐδὲ γραμμὰς οὐδὲ ἐπιφανείας θετέον τὰς ζητουμένας ἀρχάς· οὐδὲν γὰρ τούτων χωριστὸν καὶ οὐσία ἐστίν, ἀλλὰ τομαὶ μόνον, στιγμὴ γραμμῆς καὶ αὕτη ἐπιφανείας. ἄλλως. καὶ πῶς ἄν τις τὴν στιγμὴν ἢ τὸ ταύτῃ ἰσοδυναμοῦν ἓν οὐσίαν ὑπολάβοι; πάσης γὰρ φυσικῆς οὐσίας ἐστὶ γένεσις, καὶ διὰ χρονικῆς παρατάσεως
30 ἡ ὕπαρξις αὐτῆς γίνεται, τῆς δὲ στιγμῆς γένεσις οὐκ ἔστιν, ὡς πολλάκις δέδεικται ἐν τῇδε τῇ πραγματείᾳ.

"τοῦ τοιουτί," τουτέστι τοῦ ὁμοιώματος τῶν κατὰ μέρος· τὰ γὰρ 216 6.
καθόλου ὁμοιώματα καὶ ἀπομάξεις τῶν μερικῶν, ἡ δὲ οὐσία, ὡς

δέδεικ) ἐν τῷ Z, ὑκ ἔςι τῶν καθόλυ, ἀλλὰ μερική... πανταχῇ γὰ τὸ τόδε τι ἐπὶ τῆς ὑσίας τῷ Ἀριςοτέλει λαμβάνε), ὥσπερ τὸ τοιόνδε ἐπὶ τῶν ποιοτήτων. τὰ δὲ ὁμοιώματα ποιότητες, τὸ δὲ καθόλυ ὁμοίωμα· τὸ καθόλυ ἄρα ὁμοίωμα κ) ποιότης κ) τοιόνδε.

216 14. ἐπ' ἐνίων γὰ δῆλον ὡς ὑκ ἔςι χωριςὸν τὸ εἶδος, οἷον ἐπὶ οἰκίας· ἐπεὶ δὲ αἱ λογικ) ψυχαὶ εἴδη εἰσὶ τῶν ἐχόντων αὐτάς, ὥσπερ κ) αἱ ἄλογοι τῶν ἀλόγων, ὑ δέδεικ) δέ πυ ἐν ταύτῃ τῇ πραγματείᾳ εἰ χωρίζον), προσέθηκε τὸ "ἐπ' ἐνίων," ἴσον λέγων ὡς εἰ μὴ ἐπὶ πάντων ἐςὶ φανερὸν εἴτε χωρίζον) τὰ εἴδη εἴτε μή, ἐπ' ἐνίων δ' ὧν φανερὸν ὡς εἰσὶν ἀχώριςα. ἔτι, φησίν, αἱ ἀρχαὶ τῷ εἴδει εἰσὶν αἱ αὐταὶ ἢ τῷ ἀριθμῷ· εἰ μὲ γὰ ἀριθμῷ, ἓν ἔςαι πάντα, τυτέςιν ὑκ ἔςαι πλῆθος· ἐπειδὴ γὰ τὰ ἄλφα τῷ μὲ εἴδει ἐςὶν ἓν τῷ δὲ ἀριθμῷ πολλά, διὰ τῦτο εἰσὶ κ) πολλαὶ συλλαβαὶ ἔχυσαι τὸ α, ὡς τὸ Ἀρίςαρχος, Ἀριςοτέλης· εἰ δὲ ἓν ἦν τῷ ἀριθμῷ τὸ α, μία ἂν ἦν συλλαβὴ ἢ ἓν ὄνομα ἢ εἷς λόγος, ἐν ᾧ ἂν τὸ α ηὑρίσκετο. ἀλλὰ περὶ τύτυ εἴρηταί μοι ἐν τῷ B πλατύτερον· ἐμνήθη γὰ τύτυ κ) ἐκεῖσε.

216 18. εἰς τὰς ἀπορίας ἐντεῦθεν ἐπάγει τὰς λύσεις τύτων, κ) πρότερον τῆς λεγύσης πότερον τῆς μιᾶς ἐςὶν ἐπιςήμης θεωρῆσαι τὴν τῦ ὄντος ᾗ ὂν φύσιν ἢ ὑ. κ) δείκνυσιν ὅτι μιᾶς ἐςὶν θεωρῆσαι τὴν τῦ ὄντος ᾗ ὂν φύσιν, λέγων ὅτι τὸ ὂν ὑχ ὁμωνύμως καθ' ὧν λέγε) κατηγορεῖ), ὅτε μὴν συνωνύμως, ἀλλ' ὡς τὰ ἀφ' ἑνὸς κ) πρὸς ἕν, ἅπερ εἰσὶ μεταξὺ τῶν συνωνύμων κ) ὁμωνύμων... ὅτι δὲ τῶν ἀφ' ἑνὸς κ) πρὸς ἓν μίαν εἶναι ἐπιςήμην δυνατόν ἐςιν, ἔδειξεν ἐν τῷ B ταύτης τῆς πραγματείας.

216 25. κ) ἕκαςος τῶν τρόπων τύτων ὁ μὲ λέγε) ἀπὸ τῦ ἰατρικῦ ἔργυ τῦ ἐν τῷ νοσῦντι σώματι γεγονότος ὑπὸ τῦ ἰατρῦ κτλ.

217 4. διὰ γὰ τὸ ἕξεις εἶναι αὐτῆς (τῆς ὑσίας) ἢ πάθη λέγε) ὄντα. ἔςι δὲ πάθος μὲ ὅταν θερμαίνηταί τι ἐπιπολαίως, διάθεσις δὲ ὅταν διατεθῇ κὲ τὴν θερμότητα, ὡς κ) λέγε) θερμόν, ἕξις δὲ ὅταν μόνιμος ἡ διάθεσις γένη).

217 11. "εἴτε ἄλλαι τινές, ἔςωσαν τεθεωρ." εἴρηκε γὰ τίνες αὗταί εἰσιν ἐν τῷ περὶ τ' Ἀγαθῦ ἐπιγραφομένῳ αὐτῦ βιβλίῳ.

κῷ δὲ τὴν λέξιν τὴν "εἰ γὰρ καὶ μὴ ταὐτόν ἐστι τὸ ὂν καὶ ἕν" ἐλ- 217 13.
λείποι ἂν τὸ τῇ ἐκφωνήσει καὶ τοῖς δι' ὧν δηλοῦνται στοιχείοις, ἀλλ' ἕτερα, ὅμως ἀντιστρέφει.

ἀσάφειαν πεποίηκε τὸ "καί τοί γε" κείμενον· ἔσται δὲ σαφὲς 217 17.
τὸ λεγόμενον, εἰ τὸ "καί τοί γε" ἀφέλωμεν, ὡς εἶναι τὸ λεγόμενον τοιοῦτον "ἐπεὶ δέ ἐστι τὰ ἐν. Π. τῆς αὐτ. καὶ μιᾶς ἐπιστ. θεωρ. λέγεται δ' ἕκαστον αὐτῶν κῷ στέρησιν, ἀπορήσειέν τις ἂν πῶς λέγεται κῷ στέρησιν" καὶ τὰ ἑξῆς.

τουτέστιν, ὧν ἐναντίων ἔστι τι μεταξύ, πῶς τὸ μεταξὺ στέ- 217 18.
ρησις τοῦ κρείττονος τῆς ἐναντιώσεως λεχθήσεται; ἀνάγκη γάρ, εἰ ἐναντίον τὸ μέσον λέγεται, καὶ στέρησιν λέγεσθαι. ταύτην τὴν ζήτησιν λύων λέγει ὅτι καὶ τὸ φαιὸν στέρησίς ἐστι τοῦ λευκοῦ, ἀλλ' οὐχ ὥσπερ τὸ μέλαν κτλ.

ἀσαφῶς δὲ καὶ περινενοημένως ἀπήγγελται τὸ "περὶ π. — 217 19.
εἴδους·" καὶ εἴη ἂν τὸ λεγόμενον, περὶ πάντα τὰ τοιαῦτα, λέγων τὰ τοιαῦτα τὰ ἔμμεσα ἐναντία, περὶ δὴ τὰ ἔμμεσα ἐναντία τὴν στέρησιν δεῖ τιθέναι, λέγων ἐνταῦθα στέρησιν τὸ φαιὸν ἢ ὅ τι ἂν εἴη τὸ μεταξύ. περὶ οὖν τὰ ἔμμεσα ἐναντία τὸ μεταξὺ αὐτῶν οὕτως δεῖ στέρησιν λέγειν, μὴ ὥστε δύνασθαι τὸν ὅλον λόγον τοῦ τελευταίου εἴδους ἤτοι τοῦ μέλανος ἀναδέξασθαι, ὥστε λέγεσθαι τὸ φαιὸν χρῶμα συγκριτικὸν ὄψεως καὶ διὰ τοῦτο ἀμέτοχον εἶναι παντελῶς τοῦ ὁρισμοῦ τοῦ λευκοῦ, οὐχ οὕτω ταῦτα χρὴ στερήσεις λέγειν, ἀλλ' οὕτως. γινέσθω δὲ ἡμῖν ὁ λόγος ἐπὶ τοῦ λευκοῦ καὶ μέλανος. οὐχ οὕτω λεκτέον τὸ φαιὸν στέρησιν, ὥστε μηδ' ὅλως ἐπιδέχεσθαι τὸν τοῦ λευκοῦ ὁρισμόν, ἀλλὰ δύνασθαι μὲν τὸν τοῦ λευκοῦ ἐπιδέχεσθαι ὁρισμόν, οὐχ ὅλον δέ (ἦν γὰρ ταὐτὸν τὸ φαιὸν τῷ λευκῷ) ἀλλὰ πῇ. τοῦ τελευταίου οὖν εἴδους, λέγω δὴ τοῦ μέλανος, ἐστὶν ὅλος ὁ λόγος ὁ χρῶμα συγκριτικὸν ὄψεως λέγων, τοῦ δὲ φαιοῦ οὐδαμῶς· καὶ διὰ τοῦτο δύναται τὸ φαιόν πη δέχεσθαι τὸν τοῦ λευκοῦ ὁρισμόν· καὶ εἴη ἂν ὁ τοῦ φαιοῦ ὁρισμὸς χρῶμά πη διακριτικὸν ὄψεως. ὥστε οὐκ ἔστι τὸ φαιὸν οὕτω στέρησις λευκοῦ, ὥσπερ τὸ μέλαν, οὐδὲ ἐστέρηται ὅλου τοῦ ὁρισμοῦ τῆς λευκότητος. τελευταῖον δὲ εἶδος εἶπεν τὸ μέλαν ἢ ὅτι μὴ τὸ φαιὸν τὸ μέλαν ἐστίν, ἢ τελευταῖον ἀντὶ τοῦ ἔσχατον· ἔσχατον γὰρ καὶ τέλος μελάνσεως τὸ μέλαν, ὥσπερ καὶ λευκάνσεως

τὸ λευκόν. ὁ μὴ ὢν διὰ τούτων εἰπεῖν βούλεται, τοιοῦτον ἂν εἴη· αὐτὸς δὲ τὸν λόγον ἐπὶ τοῦ δικαίου καὶ ἀδίκου πεποίηκε λέγων οἷον εἰ ἔστιν ὁ δίκαιος ὁ καθ' ἕξιν τινὰ πειθαρχικὸς τοῖς νόμοις, τουτέστιν, εἰ ἔστι δικαίου ὁρισμὸς τὸ καθ' ἕξιν τινὰ πειθαρχεῖν τοῖς νόμοις, οὐ πάντως ὁ ἄδικος, λέγων ἄδικον τὸν μήτε δίκαιον μήτε ἄδικον, ἀλλὰ τὸν μέσον ὄντα δικαίου καὶ ἀδίκου. οὐ πάντως ὤν, φησίν, ὁ μεταξὺ δικαίου καὶ ἀδίκου ἐστερημένος ἔσται ὅλου τοῦ λόγου καὶ ὁρισμοῦ τοῦ δικαίου.

217 21. πράσκει δ' ἐν τῷ τοῦ δικαίου ὁρισμῷ τὸ "καθ' ἕξιν," ὅτι πράξειεν ἄν τις τὰ δικαίου καὶ ὑπ' ἄλλου βιαζόμενος.

217 26. διὰ τούτων δύο τινὰ ὁμοῦ διδάσκει, πῶς ὁ φιλόσοφος τό τε ὂν σκοπεῖ καὶ τὴν περὶ τούτου θεωρίαν ποιεῖται, καὶ πῶς μιᾶς ἐπιστήμης ἐστὶ θεωρῆσαι τὸ ὂν ᾗ ὄν.

218 3. ἀλλ' ἡ μὴ τῶν λεγομένων διάνοια τοιαύτη τις ἂν εἴη. κατὰ δὲ τὴν λέξιν, ὅταν λέγῃ "τῶν μὴ τὰς πρὸς ἀλλήλας θέσεις σκοπεῖ καὶ τὰ ταύταις ὑπάρχοντα," τῶν μὴ λέγει ἂν τῶν γραμμῶν.

218 5. ὥσπερ δὲ ἐπὶ τῶν ποσῶν ἑτέρου ὄντος τοῦ ἐφ' ἑνὸς συνεχοῦς τῶν ἐπὶ δύο συνεχῶν, καὶ ταῦτα τῶν ἐπὶ τρία, μιᾶς ἐστὶ τῆς γεωμετρίας περὶ αὐτῶν θεωρεῖν (καὶ σημειωτέον ὅπως ἡν οἱ νεώτεροι στερεομετρίαν φασί, γεωμετρίαν οὗτος φάσκει), οὕτω καὶ ἐπὶ τοῦ ὄντος κτλ.

218 11. ἀλλ' ᾗ ἔχει ἐν ἑαυταῖς (τὰ ὄντα) ἀρχήν, καθ' ἣν δύναται κινεῖσθαι.

218 15. ὥστε λείπεται τὸν φιλόσοφον εἶναι θεωρητικὸν τοῦ ὄντος καὶ τῶν τοιούτων ἐναντιώσεων, ᾗ ὄντα εἰσίν.

ἀλλ' ἡ μὲν μαθηματικὴ καὶ αἱ λοιπαὶ περὶ τὰ μερικά εἰσι, καὶ οὕτως εἰσὶ περὶ αὐτά, ὥσπερ εἴρηται, ἡ δὲ φιλοσοφία τὰ μερικὰ οὐ θεωρεῖ, οὐδὲ σκοπεῖ εἰ ἑκάστῳ τούτων συμβέβηκέ τι· εἰ δὲ καὶ σκοπεῖ τὰ καθ' ἕκαστα, ἀλλὰ περὶ ἕκαστον τῶν τοιούτων θεωρεῖ ᾗ ὄντα ἐστίν.

219 9. ἀλλ' ὧν ἐπειδὴ ἀποδείκνυσι καὶ ὁ μαθηματικός (καὶ ὁ φυσικός), καὶ οὐδέ ποτε ψεύδεται, ὥσπερ ὁ διαλεκτικὸς καὶ ὁ σοφιστής (ὁ μὲν γὰρ διὰ τὸ βούλεσθαι πάντως πεῖσαι ἐνίοτε λαμβάνει καὶ ψευδῆ, ὁ δὲ σοφιστὴς ἀεί), ἐπεὶ ὧν ἀποδεικνύουσι καὶ οὐ ψεύδονται, ὅπερ τῆς πρώτης

καὶ μᾶλλον καὶ μαλιςά ἐςι σοφίας, ἔσον δι' αὐτὸ τοῦτο καὶ ἡ μαθη-
ματικὴ καὶ ἡ φυσικὴ μέρη τῆς φιλοσοφίας.

ψεῦδος ἄρα τὸ λέγειν ὡς συναληθεύει ἡ ἀντίφασις ἐπὶ τοῦ 220 7.
αὐτοῦ. "ἔτι — ἀληθ." πληκτικώτατον τοῦτο τὸ γενναιότατον. ὃ
5 δέ φησι, τοιοῦτόν ἐςιν. εἰ μηθὲν μᾶλλον ἡ κατάφασις ἐφ' ἑνὸς καὶ
τοῦ αὐτοῦ ἀληθεύει ἥπερ ἡ ἀπόφασις, ἀλλ' ἐπίσης ἀμφότεραι ἐπ'
αὐτοῦ λέγουσι, ὁ λέγων τὸν Σωκράτην ἄνθρωπον οὐδὲν μᾶλλον ἀλη-
θεύσει τοῦ λέγοντος αὐτὸν οὐκ ἄνθρωπον· εἰ δὲ ὁ λέγων αὐτὸν οὐκ
ἄνθρωπον ἀληθεύει, πολλῷ μᾶλλον ὁ λέγων αὐτὸν οὐχ ἵππον ἀλη-
10 θεύσει.

καί φησιν ὅτι ἔνιοι μὴ ἐκ τῆς τῶν φυσιολόγων δόξης ταῦτα 221 21.
λέγειν ὡρμήθησαν, καί τίς ἐςιν ἡ τῶν φυσιολόγων δόξα, ἐπάγει.
"τὸ γὰρ μηδὲν ἐκ μὴ ὄντος γίνεται" (τοῦτο δὲ ταὐτόν ἐςι τῷ τὸ γὰρ
μηδὲν ἐκ τοῦ μηδαμῇ μηδαμῶς ὄντος γίνεται, ἀλλὰ πᾶν ἐξ ὄντος
15 τινὸς καὶ ὑποκειμένου) κεδὸν πάντων ἐςὶ τῶν φυσικῶν δόγμα κοι-
νόν· οὕτω γὰρ τὸ τῆς λέξεως ἀκόλουθόν ἐςιν. εἶτα τὸ "τοῖς δ' ἐκ τοῦ
μὴ ταὐτὰ περὶ τῶν αὐτῶν ἅπαντας γινώσκειν·" ὃ γὰρ τοῖσδε δο-
κεῖ ἡδύ, τοῦτο τοῖς ἄλλοις πικρόν, ὥςε οὐχ ἅπαντες τὸ αὐτὸ ἡδὺ
γινώσκουσιν, οὐδ' αὖ πάλιν πικρόν. εἰπὼν δὲ ὅτι οἱ μὴ ἐκ τῆς κοι-
20 νῆς τῶν φυσιολόγων δόξης τοῦτ' ἔλεγον, οἱ δὲ ἐκ τοῦ μὴ πᾶσι τὰ
αὐτὰ φαίνεται, πρότερον τὴν αἰτίαν λέγει δι' ἧς ἐκ τῆς τῶν φυ-
σιολόγων δόξης ὥρμηνται λέγειν, ὅτι τὸ λευκὸν καὶ οὐ λευκόν ἐςιν,
ὁμοίως καὶ τὸ γλυκὺ οὐ γλυκύ. ἀσαφῶς δὲ πάνυ καὶ μεμελανωμέ-
νως ἑρμηνεύει ταῦτα.

25 τὸ μὴ λευκὸν γίνεται ἐκ λευκοῦ τελέως ὄντος ἤτοι καθαρῶς 221 27.
λευκοῦ, "καὶ οὐδαμῇ μὴ λευκοῦ," τουτέςι καὶ οὐ τῇ μὲν λευκοῦ τῇ δὲ μὴ
λευκοῦ, ἀλλ' ἐκ τελειοτάτου λευκοῦ... ἐπεὶ οὖν τὸ μὴ λευκόν, ὡς
εἴρηται, ἐκ λευκοῦ γίνεται, "νῦν δὲ γέγ. μὴ λ.," τουτέςι κοῦ δὲ τοὺς
λέγοντας συναληθεύειν τὴν ἀντίφασιν τὸ γινόμενον μὴ λευκὸν οὐ
30 γίνεται ἐκ λευκοῦ, ὡς ἡμεῖς φαμέν, ἀλλ' ἐκ μὴ λευκοῦ (τὸ γὰρ μὴ
λευκὸν ἐκ μὴ λευκοῦ γεννῶσι), κατ' ἐκείνους δή, εἰ γίνεταί τι μὴ
λευκόν, οὐδὲν ἄλλο συμβήσεται ἢ τὸ γινόμενον μὴ λευκὸν γίνεται ἐκ
μὴ λευκοῦ. ἔοικε δὲ ἐκ λευκοῦ. εἰ δὲ γίνεται μὴ λευκὸν ἐκ μὴ
λευκοῦ, γενήσεται τὸ μὴ λευκὸν κατ' ἐκείνους ἐκ τοῦ μηδαμῇ μηδα-

μῶς ὄντος, "εἰ μὴ ὑπῆρχε τὸ λευκὸν τὸ αὐτὸ καὶ μὴ λευκόν," τουτέστιν εἰ μὴ ὑπῆρχε τὸ μὴ λευκὸν τὸ αὐτὸ καὶ λευκόν· ὑπερβατῶς γὰρ ἀναγνωστέον.

221 27. ἀπορήσειε δ' ἄν τις πρὸς τὰ ἐν ἀρχῇ τῆς λέξεως λεγόμενα, πῶς φησὶ τὸ μὴ λευκὸν ἐκ τοῦ τελείως λευκοῦ γίνεσθαι· γίνεται γὰρ μὴ λευκόν τι, οἷον τὸ φαιόν, ἐκ μὴ λευκοῦ, οἷον τοῦ μέλανος. ἤ, οἶμαι, πρὸς τὴν ἡμετέραν φαντασίαν ἀποβλέψας τοῦτο εἴρηκεν· ἐπειδὴ γὰρ πᾶν τὸ γινόμενον ἐκ τῆς ἀποφάσεως αὐτοῦ γίνεται, ἅμα τῷ ἀκοῦσαι ὅτι γίνεται μὴ λευκόν, εὐθὺ τὴν ἀπόφασιν αὐτοῦ τὸ λευκὸν φανταζόμεθα.

222 5. τὸ "πρὸς αὐτοὺς" σημαίνει τὸ πρὸς ἀλλήλους. τὸ δὲ λεγόμενόν ἐστι λύσις τοῦ λέγοντος λόγου τὸ αὐτὸ καὶ ἀγαθὸν καὶ οὐκ ἀγαθόν, λευκὸν καὶ οὐ λευκόν, διὰ τὸ μὴ τὰ αὐτὰ περὶ τῶν αὐτῶν ἅπαντας γινώσκειν.

222 24. ἔστι δὲ μᾶλλον (ἀποφαίνεσθαι κατὰ τῆς ἀληθείας) ἐκ τῶν ἀεὶ ὡσαύτως ἐχόντων "καὶ μηδεμίαν μ. π.," πλὴν τὴν κατὰ τόπον, ἐκ τούτων τἀληθῆ θηρεύειν. κόσμον δὲ λέγοι ἂν τὰς σφαίρας καὶ τοὺς ἐν αὐταῖς ἀστέρας.

222 29. "δεῖ ἄρα — ἐκείνῳ," τουτέστι συμβαίνει ἄρα κατὰ τοὺς φάσκοντας συναληθεύειν τὴν ἀντίφασιν, εἶναι τὸ κινούμενον εἰς ὃ κινεῖται καὶ μὴ εἶναι, ὁμοίως εἶναι ἐν ᾧ ἐκινήθη καὶ μὴ εἶναι. πῶς δὲ τοῦτο συμβαίνει, ὕστως ἔστι δῆλον. ἐπεὶ γὰρ τὸ ἔκ τινος κινηθῆναι μέλλον ἠρεμῶν ἐν ἐκείνῳ ἐξ ἐκείνου κινεῖται, καθὸ ἐν ἐκείνῳ ἠρεμεῖ, ἔστιν ἐν ἐκείνῳ καὶ οὐκ ἔστι, διὰ τὸ συναληθεύειν τὴν ἀντίφασιν. εἰ γὰρ μέλλει τις κινεῖσθαι ἐκ λευκοῦ, ἔστιν ἐν τῷ λευκῷ καὶ ἠρεμεῖ ἐν αὐτῷ. ἀλλ' ἐπεὶ κατ' αὐτοὺς ἐπὶ τοῦ λευκοῦ ἀληθεύει καὶ τὸ μὴ λευκόν, οὐκ ἔστιν ἐν τῷ λευκῷ· ἔστιν ἄρα ἐν τῷ λευκῷ καὶ οὐκ ἔστιν. πάλιν ἐπεὶ κινεῖται εἰς τὸ μέλαν, οὐκ ἔστι μέλαν, ἀλλ' ἐπεὶ τὸ μέλαν κατ' αὐτοὺς καὶ μέλαν ἐστὶ καὶ οὐκ ἔστιν, ἔσται τὸ κινούμενον καὶ μέλαν καὶ οὐ μέλαν, καὶ κινεῖται ἄρα εἰς τὸ μέλαν καὶ γίνεται ἐν τούτῳ, τουτέστι καὶ ἔστιν ἐν τῷ μέλανι· τὸ γὰρ γίνεται ἀντὶ τοῦ ἔστιν εἴληπται αὐτῷ νῦν. τὸ δὲ ἐπαχθὲν τούτοις τὸ "τὸ δὲ κατὰ τ. ἀ. μὴ συναλ. κ. α." πάνυ πολλὴν ἀσάφειαν ἐνεποίησεν. κεῖται γὰρ τὸ ἄρθρον καὶ ὁ δέ σύνδεσμος ἀντὶ τοῦ ἢ συνδέσμου· ἔδει γὰρ ἀντὶ τοῦ "τὸ δὲ κ. τ. ἀντ." εἶναι ἢ κατὰ τὴν

ἀντίφ. μὴ συναληθεύεται. καὶ εἴη ἂν τὸ καταλληλον τῆς λέξεως τοιοῦτον· εἰ ἔστι κίνησις καὶ κινούμενόν τι, κινεῖται δὲ πᾶν ἔκ τινος εἴς τι, ἢ ἔσται διὰ τὰ ὑπ' αὐτῶν λεγόμενα τὸ κινούμενον, ἐξ οὗ κινεῖται, καὶ οὐκ ἔσται, ἢ μὴ συναληθεύεται τὴν ἀντίφασιν. εἰ οὖν ἐκεῖνα ἀδύνατα, ἀληθὲς ἂν εἴη τὸ μὴ συναληθεύεται τὴν ἀντίφασιν.

τὸ δὲ "οὐδὲν ἂν διέχοι φαγεῖν," τὸ διέχοι ἀντὶ τοῦ διαφέροι. 223 13.

τὸν αὐτὸν δὴ τρόπον ἀναγκαῖόν ἐστιν ἔχειν· καὶ προσυπακουστέον 223 25.
τοῦ καὶ ἐφ' ἡμῖν.

ἐλλιπῶς δὲ πάνυ εἴρηται ἐν ἀρχῇ ἡ λέξις ἡ λέγουσα "πρ. — 223 29.
μὴ τιθ. τι·" ἐλλείπει δὲ εἰς τὸ καὶ λέγοντας αὐτοῖς φαίνεται καὶ τὰ πράγματα τοιαῦτα· ὥστε ἔσται τὸ πλῆρες τοιοῦτον. πρὸς μὲν οὖν τοὺς ἔχοντας ἀπορίας ἐκ λόγου τινὸς γινομένου πρὸς αὐτούς, καὶ πείσαντος αὐτοὺς λέγειν ὅτι καὶ τὰ πράγματα αὐτοῖς τοιαῦτα φαίνεται οἷα καὶ λέγουσι, πρὸς δὴ τοὺς τοιούτους λόγους καὶ ἔλεγχος οὐκ ἔστιν· πρὸς δὲ τοὺς ἀποροῦντας καὶ λέγοντας ὅτι τυτὶ μὲν ἄνθρωπός ἐστιν, οὐ φαίνεται δὲ καὶ μὴ ἄνθρωπος, ἀλλὰ διὰ τοὺς πεπεικότας ἡμᾶς λόγους λέγομεν αὐτὸ καὶ ἄνθρωπον καὶ μὴ ἄνθρωπον, πρὸς τούτους ῥᾴδιον ἁπαντᾶν καὶ λύειν τὰ τούτων ἄπορα ἐκ τῶν προειρημένων· οὗτοι γὰρ διὰ τὸ πιστεύειν τῇ αἰσθήσει δυσῶσιν ἀκοῦσαι καὶ λόγου σύμφωνα τοῖς φαινομένοις φθεγγομένου.

"οὐδὲ τὰ ἐναντία, διὰ τὸ λέγεται κατὰ στέρησιν καὶ ἕξιν," στέρησιν 224 10.
δὲ καὶ ἕξιν τοῦ αὐτοῦ ἅμα εἶναι οὐκ ἐνδέχεται. ὅτι δὲ τἀναντία κατὰ στέρησιν λέγεται, δῆλον, φησίν, ἐπ' ἀρχὴν τοὺς λόγους ἀναλύουσι τοὺς τῶν ἐναντίων, τουτέστι τοὺς λόγους λαμβάνουσι τῶν ἐναντίων· εἰ γὰρ ἔστιν ὑγίεια συμμετρία θερμῶν καὶ ξηρῶν, ἔσται ἡ νόσος ἀσυμμετρία τούτων, ἡ δ' ἀσυμμετρία στέρησίς ἐστι συμμετρίας· ὅτε δὴ τὰ ὡς στέρησις καὶ ἕξις ἐναντία ἅμα κατηγορεῖται κατὰ τοῦ αὐτοῦ ἐνδεχεται, ὅτε μὴν τῶν ἀνὰ μέσον οὐδὲν ἐναντίων (λέγει δὲ τὸ φαιὸν καὶ τὰ τοιαῦτα) οἷόν τε κατηγορεῖται ἅμα καθ' ἑνὸς καὶ τοῦ αὐτοῦ.

ἡ μὲν μαλακώτερον, ὡς ἡ ἀστρονομία, ἡ δ' ἀκριβέστερον, ὡς 225 11.
ἡ γεωμετρία.

καὶ ἐπεὶ πᾶσαι αἱ ἐπιστῆμαι, ὡς εἴρηται, ὅτε τοὺς τῶν οἰκείων 225 14.
ἀρχῶν ὁρισμοὺς ἀποδεικνύουσιν, ἀλλ' ὁμολογούμενον λαμβάνουσιν ὅτι ὅδε ὁ ὁρισμὸς τοῦδε ἐστίν, ὅτε μὴν τοὺς ἐκ τῶν ἀρχῶν (καὶ αὐτοὺς

γὰρ ὁμολογουμένους λαμβάνουσι), φανερὸν ἐκ τῆς τοιαύτης ἐπαγωγῆς ὅτι τῆς οὐσίας καὶ τοῦ τί ἐστιν ἤτοι τοῦ ὁρισμοῦ οὐκ ἔστιν ἀπόδειξις. τοῦτο δὲ ἦν ἓν τῶν ζητουμένων· ἐζητεῖτο γὰρ πότερον ἔστιν ἀπόδειξις τοῦ τί ἐστιν ἢ οὔ.

225 16. περὶ ὧν (τῶν πρακτικῶν ἐπιστημῶν) ἐν τοῖς ἠθικοῖς τοῖς ἐπιγραφομένοις Νικομαχείοις εἴρηται ἀκριβῶς.

225 19. ἄλλην δέ τινα δύναμιν λέγοι ἂν τὴν τῶν ἀλόγων ζῴων φυσικὴν ὁρμήν, καθ' ἣν ὁ ἀράχνης ἐργάζεται τὸ ἀράχνιον καὶ ἡ χελιδὼν τὰς νεοττιάς.

225 27. τὸ δὲ "πῶς" προσκείμενον μηνυτικόν ἐστι τοῦ ἀναποδείκτως.

226 23. τῶν δ' αὖ θεωρητικῶν βελτίστη πάλιν ἡ βελτίοσιν ἀρχαῖς χρωμένη, βελτίοσι δὲ ἀρχαῖς χρῆται ἡ τελευταία ῥηθεῖσα.

227 2. καὶ πῶς ταύτην εἶπε καθόλου, σαφηνίζων ἐπήγαγε τὸ "τῷ προτέραν," δυνάμει λέγων, ὅτως τὴν προκειμένην ἐπιστήμην φημὶ καθόλου, οὐχ ὡς κατηγορουμένην κοινῶν τῶν λοιπῶν, ἀλλ' ὡς προτέραν καὶ συναναιροῦσαν τὰς ἄλλας· ἀναιρεθείσης γὰρ τῆς θεολογίας δηλονότι ἀναιροῦνται καὶ αἱ ἀρχαὶ αὐτῆς· τῶν γὰρ ἀρχῶν μένοι ἂν καὶ αὕτη. ἀλλὰ μὴν τῶν ἀρχῶν τῆς θεολογίας ἀναιρουμένων ἀναιροῦνται καὶ τὰ λοιπὰ ἅπαντα. ἐπίστησον οὖν ὅτι ἐπεὶ τὴν θεολογίαν οὐχ ὡς κοινῶν πειόνων λεγομένην λέγει καθόλου, ἀλλ' ὡς προτέραν καὶ συναναιροῦσαν τὰς ἄλλας.

227 5. σκεπτέον περὶ τοῦ κοινῶν συμβεβηκὸς ὄντος· τούτου γὰρ μηνυτικὸν τὸ "σκ. πρ. π. τ. ὄντως ὄντος." ἐλλείποι δ' ἂν τῇ λέξει τὸ πότερον ζητεῖ τοῦτό τις τῶν ἐπιστημῶν ἢ τεχνῶν, ἢ οὔ. πρὸς τοῦτο γὰρ τείνει τὸ ἐπαχθὲν τὸ "ὅτι μὴ οὐδεμία τῶν ἐπιστημῶν πραγματεύεται περὶ τοῦ συμβεβηκότος, δῆλον."

227 13. "οὐδὲ τὸν — οὐκ ὤν." ὃ νῦν παρατίθεται σόφισμα ὑπὸ τῶν σοφιστῶν λεγόμενον, τοιοῦτόν ἐστι καὶ ὅτως ὑπ' αὐτῶν ἐπεραίνετο. ὑπετίθεντο ἄνθρωπον, οἷον τὸν Καλλίαν, πρότερον μουσικὸν ὄντα, χωρὶς τοῦ εἶναι γραμματικόν, ὕστερον γεγονότα καὶ γραμματικόν, καὶ ἔλεγον, ὅτοσὶ ὁ Καλλίας νῦν ἅμα ἐστὶ μουσικὸς καὶ γραμματικός. εἰ δὲ τοῦτο, καὶ ὅτε ἐγένετο γραμματικός, ἐγίνετο καὶ μουσικός· ἅμα γὰρ ὢν γραμματικὸς νῦν καὶ μουσικὸς ἅμα καὶ ἐγίνετο γραμματικὸς καὶ μουσικός· ὅτε ἄρα ἐγένετο γραμματικός, οὐκ ἦν

μυσικός. ἀλλὰ μὴν ϗ ἦν μυσικὸς πρὸ τοῦ γενέσθαι γραμματικός (τοῦτο γὰρ ὑπόκειται)· ἦν ἄρα πρὸ τοῦ ἄρξασθαι γίνεσθαι γραμματικὸς μυσικὸς ϗ οὐκ ἦν. ὁ δὲ παραλογισμὸς συμβαίνει ἐπὶ ἀξιώματι λίαν ἐναργῶς ψευδεῖ, τῷ λέγοντι, ὧν ἡ ὕπαρξις ἅμα, τούτων ϗ ἡ γένεσις· οὐ γὰρ εἰ τήμερόν ἐστι Σωσιγένης ϗ Ἀλέξανδρος, ἀληθὲς τὸ λέγειν ὅτι ἐγίνετο ὁ Σωσιγένης ὅτε ἐγίνετο ϗ ὁ Ἀλέξανδρος. ὕστερος γὰρ Σωσιγένης Ἀλεξάνδρῳ τῷ χρόνῳ, εἰ ϗ συνέβη, ὅτε ἦν Ἀλέξανδρος, εἶναι ϗ τὸν Σωσιγένην... ἔστι δὲ ἀκαταλληλος ϗ πάνυ ἀσαφὴς ἡ λέξις ἡ "οὐδὲ τὸν ὄντα μυσικὸν ὅτι γενόμενος γραμματικός" ϗ τὰ ἑξῆς. οὕτω δέ, ὡς οἶμαι, ταύτην ὑπερβιβάζειν χρή. "ὃ δὲ μὴ ἀεὶ ὄν ἐστιν, ἐγίνετο τοῦτο, ὥστ' ἅμα μυσικὸς ἐγένετο ϗ γραμματικός." εἶτα τούτῳ συναπτέον τὸ "οὐδὲ τὸν ὄντα μυσικὸν ὅτι γενόμενος γραμματικὸς ἅμα ἔσται τὰ ἀμφότερα, πρότερον οὐκ ὤν·" ϗ οὕτως ἀναγνωστέον τὸ "τοῦτο οὐδεμία ζητεῖ τῶν ὁμολογουμένως οὐσῶν ἐπιστημῶν" ϗ τὰ ἑξῆς. ἵν' ᾖ τὸ ὅλον ϗ τὸ τοῦ λόγου συνεχὲς τοιοῦτον. "ὃ δὲ μὴ ἀεὶ ὄν ἐστιν, ἐγίνετο τοῦτο, ὥστ' ἅμα μυσικὸς ἐγίνετο ϗ γραμματικός· τὸ οὖν τὸν ὄντα μυσικὸν ὅτι γραμματικὸς ἔσται, πρότερον οὐκ ὤν, τοῦτο οὐδεμία ζητεῖ τῶν ὁμολογουμένως ἐπιστημῶν" ϗ τὰ ἑξῆς. ἔστι δὲ τὸ "ὃ δὲ μὴ ἀεὶ ὂν ἔστιν, ἐγένετο τοῦτο, ὥστ' ἅμα μυσικὸς ἐγένετο ϗ γραμματικός," κατασκευή, δι' ἧς κατασκευάζον οἱ σοφισταὶ ὅτι ὁ Καλλίας, ὅτε ἦν μυσικός, οὐκ ἦν μυσικός. εἴη δ' ἂν ὡς ἀπὸ τῶν σοφιστῶν λεγόμενον τὸ "ὃ δὲ μὴ ἀεὶ ὄν ἐστιν ἐγένετο τοῦτο." ἔστι δὲ τοιοῦτον, ὅπερ μὴ ἀεὶ ὂν μηδὲ πρότερον ὂν νῦν ἔστι, τοῦτο ἐγένετο. ὁ δὲ Καλλίας νῦν ὢν ἅμα μυσικὸς ϗ γραμματικός, πρότερον δὲ μὴ ὢν ἀμφότερα, δῆλον ὅτι γραμματικὸς ϗ μυσικός· μυσικὸς γὰρ μόνον ἦν, ἅμα γινόμενος γραμματικὸς ἐγίνετο ϗ μυσικός· τὸ δὲ γινόμενον οὐκ ἔστιν, ὁ Καλλίας ἄρα γινόμενος μυσικὸς οὐκ ἦν μυσικός. ἀλλὰ ϗ ἦν. αὐτὸς δὲ τὸ "ὥστ' ἅμα μυσικὸς ἐγένετο ϗ γραμματικός" θείς, τὸ τὸ δὲ γινόμενον ϗ τὸ ὁ Καλλίας ἄρα ἦν μυσικὸς ϗ οὐκ ἦν οὐκ ἔθηκε διὰ τὴν συνήθη βραχυλογίαν. ἀλλὰ ταῦτα μὴ ὡς ἀπὸ τῶν σοφιστῶν λεγόμενα ἡμᾶς λαμβάνειν χρή· τὸ δὲ "οὐδὲ τὸν ὄντα μυσικὸν ὅτι γενόμενος γραμματικὸς τὰ ἀμφότερα ἅμα ἔσται, πρότερον οὐκ ὤν· τοῦτο δὲ οὐδεμία ζητεῖ τῶν

ὁμολογουμένως ὑσῶν ἐπιςημῶν," τοῦτο ὡς ἀπὸ Ἀριςοτέλους λεγόμενον νομιςέον. εἴη δ' ἂν τὸ λεγόμενον, ὅτι οὐδὲ τὸν ὄντα μὴ πρότερον μουσικὸν νῦν δὲ ὄντα ἀμφότερα, καὶ μουσικὸν καὶ γραμματικόν, πρότερον δηλονότι μὴ ὄντα μουσικὸν καὶ γραμματικὸν ἅμα, ἀλλὰ μόνον μουσικόν· καὶ προσυπακουςέον τοῦ, εἰ ἅμα τῷ γίνεσθαι γραμματικὸς ἐγίνετο καὶ μουσικός, οὐδεμία τῶν ὁμολογουμένως ἐπιςημῶν ζητεῖ.

227 27. ὅτι τὸ "ὅπως ἔτυχεν" ἀντὶ τοῦ ὡς ἐπ' ἔλαττον ἔλαβεν, δῆλον πεποίηκε διὰ τοῦ ἐπαχθέντος αὐτῷ παραδείγματος.

228 6. ὧν ἐςὶν ἐπιςήμη, τούτων εἰσὶν ἀρχαὶ καὶ αἴτια ὡρισμένα· τοῦ κατὰ συμβεβηκὸς ὄντος ἀρχαὶ καὶ αἴτια ὡρισμένα οὐκ εἰσὶ κτλ.

228 10. ὅτι δ' ἐςὶν ἡ τοῦ ἐνδεχομένου φύσις καὶ ἀδύνατόν ἐςιν αὐτὴν μὴ εἶναι, δέδεικται ἐν τῷ περὶ Ἑρμηνείας (c. 9).

228 28. ἐὰν οὖν, φησίν, ἀπὸ τοῦ ἐνεςῶτος νῦν ἀρξάμενοι λέγωμεν ὅτι αὔριον γίνεται ἔκλειψις, ἐπειδὴ πᾶν τὸ γεγονὸς ἐν πεπερασμένῳ χρόνῳ γίνεται, κατηντήσαμεν εἰς τὸ ὄν κτλ.

228 25. εἰπὼν ὅτι τοῦ ἔξω ὄντος τὰ αἴτια ζητοῦμεν, λέγει ὅτι τοῦ δὲ οὐκ ἀναγκαίου ἀορίςου καὶ ἐπ' ἔλαττον ὄντος τὰ αἴτια ἀόριςα καὶ ἄτακτα, καὶ διὰ τοῦτο οὐ ζητεῖται· τοῦ γὰρ ἐντυχεῖν ὃν μὴ ἐβούλετό τις ἰδεῖν, μὴ ᾤετο δέ, ἄπειρα τὰ αἴτια, ὡς ἐν τοῖς περὶ Φύσεως (2 5) εἴρηκε. οὔτε οὖν αἴτια εἰσὶ τοῦ κατὰ συμβεβηκὸς ὄντος, οὔτε ἔςιν ἐν αὐτῷ τὸ οὗ ἕνεκα, ἀλλ' ἔςι τὸ ἕνεκά του ἢ ἐν τοῖς φύσει γινομένοις ἢ τοῖς ἀπὸ διανοίας.

μέχρι δὴ τῶν ἐνταῦθα ἡμῖν ἐξηγητέον τὰ τοῦ παρόντος βιβλίου· τὰ δὲ ἀπὸ τοῦ "τύχη δέ ἐςιν ὅταν τι τούτων γένηται κατὰ συμβεβηκός" ἕως τοῦ τέλους τοῦ βιβλίου τὰ αὐτά εἰσιν ἀπαραλλάκτως τοῖς ἐν τῇ Φυσικῇ Ἀκροάσει (2 5. p. 197 *a* 4. 3 1 p. 200 *b* 26. 3 4 p. 204 *a* 3. 5 1) λεγομένοις, καὶ δεῖ τούτων τὴν σαφήνειαν ἐκ τῶν εἰς ἐκεῖνα ὑπομνημάτων πορίζεσθαι, ἡμῖν δὲ ἡ τοῦ Λ σαφήνεια προχειριζέσθω.

ὡς τὸ μεταξύ, ὅπερ οἱ περὶ Ἀναξίμανδρον ἐδόξαζον πυρὸς μὲν παχύτερον ἀέρος δὲ λεπτότερον εἶναι. cod. Reg.

239 23. Ἐν τῷ παρόντι βιβλίῳ τῆς Μετὰ τὰ Φυσικά, ὃ λάμβδα τοῖς περιπατητικοῖς ἐπιγράφειν σύνηθες, περὶ τῆς πρώτης καὶ ἀκινήτου ἀρχῆς τὸν λόγον ποιεῖται, δι' ἣν καὶ ἅπασα αὕτη ἐκδέδοται ἡ

πραγματεία. ἀλλ' ἐπεὶ τὸ τῆς ἀρχῆς ὄνομα πολλαχῶς λέγε-
(λέγε- γὰρ ἀρχὴ καὶ τὸ εἶδος καὶ ἡ ὕλη καὶ ἡ στέρησις), πρῶτον κεφαλαιω-
δῶς καὶ συντόμως τὰ περὶ αὐτῶν διαρθροῖ, ἵνα ἔναυλον ἔχοντες
τὸν περὶ τούτων λόγον εὐμαρῶς γνῶμεν τὴν τῆς ζητουμένης ἀρχῆς
5 πρὸς τὰς ἄλλας διαφοράν. ἄλλως τε ἐπειδὴ ἐν ταῖς ἀπορίαις
πρὸς τοῖς ἄλλοις καὶ τὸ πότερον πάντων αἱ αὐταί εἰσιν ἀρχαὶ ἢ ἄλ-
λων ἄλλαι ἐζητεῖτο (B 4), οὐ τετύχηκε δέ πω λύσεως, διὰ τοῦτο
πάλιν τὸν περὶ τῶν αἰτίων προχειρίζε- λόγον, ἵνα δείξῃ ὅτι τρόπον
μέν τινά εἰσι πάντων αἱ αὐταὶ ἀρχαί, τρόπον δέ τινα οὐκ εἰσίν.

10 "καὶ γὰρ εἰ ὡς ὅλον τι τὸ πᾶν, ἡ οὐσία πρῶτον μέρος," τουτέστιν, 239 25.
εἴτε ξύμπασαν τὴν αἰσθητὴν οὐσίαν μετὰ τῶν συμβεβηκότων ὡς ἕν
τι λαμβάνομεν, ἡ οὐσία πρῶτον μέρος· εἴτε ἀπολελυμένας καὶ κε-
χωρισμένας ἀπ' ἀλλήλων καὶ ἐφεξῆς κειμένας τὰς δέκα νοήσομεν
κατηγορίας, οἷον πρῶτον φέρε εἰπεῖν τὸ ποσόν, εἶτα τὸ ποιόν, εἶτα
15 τὴν οὐσίαν, εἶτα τὰς λοιπάς, καὶ οὕτως ἡ οὐσία πρώτη τῶν ἄλλων
ἐστίν, εἶτα τὸ ποιόν, εἶτα τὸ ποσόν, καὶ αἱ λοιπαὶ ὁμοίως· τούτου γάρ
ἐστι δηλωτικὸν τὸ "εἰ καὶ τῷ ἐφεξῆς" οὔσας τὰς κατηγορίας νοοῦμεν
καὶ μὴ ἐν τῇ οὐσίᾳ οὔσας." ἀλλ' ἐπεὶ ἀσαφέστερόν πως ἔτι ἐστὶ τὸ λε-
γόμενον, γενέσθω σαφέστερον ἐπὶ ὑποδείγματος κτλ.

20 sive enim universitas ita cohaereat ut membra cum humano corpore et partes cum planta; sive ex rebus constructa sit quae se invicem tangant, ut domus et navis; sive confletur ex separatis et dispersis, ut civitas et exercitus: princeps omnium ipsius partium substantia est...
25 sin autem nullo horum modorum fuerit, sed unitati similis, quae in numero prior est, deinde duo, deinde tria.... hac etiam similitudine substantia est prior, deinde quantitas, tum qualitas et reliqua. *Themistii paraphrasis in librum Arist. de prima philosophia.*

30 "ἅμα δ' οὐδ' ὄντα ἁπλῶς ὡς εἰπεῖν ταῦτα," λέγων "ταῦτα" 239 27.
τὰς παρὰ τὴν οὐσίαν κατηγορίας.

τὸ δὲ "ἢ καὶ τὸ οὐ λευκὸν καὶ οὐκ εὐθύ" ἴσον ἐστὶ τῷ ἀλλὰ καὶ τὸ 239 28.
οὐ λευκὸν καὶ τὸ οὐκ εὐθὺ ὄντα λέγε- διὰ τὸ λευκὸν καὶ τὸ εὐθύ· φαμὲν
γὰρ ὅτι ἔστιν οὐ λευκὸν καὶ ἔστιν οὐκ εὐθύ. ἐπεὶ οὖν τὸ λευκὸν καθ'

αὐτὸ μὴ ὂν ἀπὸ τῆς οὐσίας τὸ εἶναι ἔχει, τὸ δὲ μὴ λευκὸν στέρησις ἦν λευκοῦ, διὰ τὴν ἕξιν ἤτοι τὸ λευκὸν ὂν καὶ ἔστι καὶ λέγεται, τοῦτο δεῖγμα λαμπρὸν τοῦ πρώτην εἶναι τῶν ἄλλων τὴν οὐσίαν· δι' αὐτὴν γὰρ αἱ ἕξεις, οἷον λευκότητες θερμότητες, διὰ δὲ τὰς ἕξεις αἱ μὴ λευκότητες, μὴ θερμότητες ὄντα καὶ εἰσὶ καὶ προσαγορεύονται. ἔτι, 5 φησίν, οὐδὲν τῶν ἄλλων χωριστόν ἐστι τῆς οὐσίας, ἀλλ' ἐν αὐτῇ τὸ εἶναι ἔχει καὶ αὐτῆς δεῖται εἰς τὸ εἶναι. τὸ οὖν οὗ χωρὶς τὰ ἄλλα οὐκ ἔστιν, ἐκεῖνο δὲ τῶν ἄλλων, ἐκεῖνο πρότερόν ἐστιν ἐκείνων.

2403. οἱ μὲν δὴ νῦν οὐσίας τὰ καθόλου φασίν· καὶ οὐκ ἂν διὰ τούτων αἰνίττοιτο τὸν Πλάτωνα (οὐκ ἔστι γὰρ αὕτη τοῦ Πλάτωνος ἡ δόξα), 10 ἀλλὰ λέγοι ἂν ἄλλους περὶ τοὺς αὐτοὺς αὐτῷ ὄντας χρόνους. οἱ δὲ παλαιὸν τοὐναντίον οὐσίαν ἔλεγον τὰ καθ' ἕκαστα· ὁ μὲν Ἡράκλειτος οὐσίαν καὶ ἀρχὴν ἐτίθετο τὸ πῦρ, Παρμενίδης δὲ ἐν τοῖς πρὸς δόξαν πῦρ καὶ γῆν, Θαλῆς ὕδωρ, καὶ ἄλλος ἄλλο· τὸ δὲ κοινὸν καθόλου σῶμα τὸ κατὰ παντὸς σώματος κατηγορούμενον οὐδεὶς εἶπεν ἀρχήν. 15

2409. μία μέν, φησίν, οὐσία ἐστὶν ἡ αἰθητή, ἣν ἅπαντες εἶναι ὁμολογοῦσι· τὴν γὰρ νοητὴν καὶ θείαν πολλοὶ μὴ εἶναι ἀνοήτως ἀπεφήναντο, ὧν εἷς ἦν Ἵππων ὁ ἄθεος ἐπικληθείς· οὗτος γὰρ παρὰ τὴν αἰθητὴν φύσιν οὐδὲν ἔφασκεν εἶναι. μία μὲν οὖν ἐστὶν οὐσία ἡ αἰθητή, ἣν ἅπαντες ὁμολογοῦσι· ταύτης δὲ τῆς αἰθητῆς ἡ μέν ἐστι φθαρτή, 20 οἷον τὰ φυτὰ καὶ τὰ ζῷα, ἡ δέ ἐστιν ἀΐδιος, οἷον αἱ σφαῖραι καὶ οἱ ἐν αὐταῖς ἀστέρες. τὸ δὲ "ἧς ἀνάγκη τὰ στοιχεῖα λαβεῖν, εἴτε ἓν εἴτε πολλά," οὐ τῆς ἀϊδίου οὐσίας λέγει, ἀλλὰ τῆς οὐσίας τῆς αἰθητῆς, ἥτις καὶ κατὰ τῶν φθαρτῶν καὶ κατὰ τῶν ἀφθάρτων κατηγορεῖται σωμάτων· ταύτης δὴ τὰ στοιχεῖα ζητητέον· ὥσπερ γὰρ τῶν ζῴων 25 ἐστὶ στοιχεῖα καὶ τῶν φυτῶν ἡ ὑποκειμένη αὐτοῖς ὕλη, οὕτω καὶ τῶν σφαιρῶν καὶ τῶν ἐν αὐταῖς ἀστέρων ἐστὶ στοιχεῖον τὸ ὑποκείμενον αὐτοῖς, αὐτὸ δὴ τὸ πέμπτον σῶμα. δύο μὲν δὴ οὐσίαι αὗται εἰσί, τρίτη δὲ ἡ νοητὴ ἀΐδιος οὖσα καὶ ἀκίνητος, ἣν καὶ φασί τινες χωριστὴν καὶ ἑτέραν τῶν τῇδε. ἀλλὰ καὶ ταύτην οἱ μέν, ὥσπερ Πλάτων, 30 εἰς δύο διαιροῦσιν, εἴς τε τὰ μαθηματικά (χωριστὰ γὰρ καθ' αὐτὰ εἶναι τὰ μαθηματικὰ ὁ Πλάτων ἔλεγε) καὶ τὰ εἴδη ἤτοι τὰς ἰδέας· τινὲς δὲ τῶν Πυθαγορείων τὰ μαθηματικὰ καὶ τὰ εἴδη εἰς μίαν φύσιν ἐτίθεντο, μηδὲν διαφέρειν λέγοντες τὰ μαθηματικὰ τῶν

ἰδεῶν· ἄλλοι δὲ τούτων ἤτοι τῶν Πυθαγορείων (οὐ γὰρ πάντες οἱ Πυθαγόρειοι τῆς αὐτῆς γεγόνασιν αἱρέσεως) τὰ μαθηματικὰ μόνον εἶναι ἔλεγον, τὰς ἰδέας μὴ προσηκάμενοι.

harum (substantiarum) una est perpetua, substantia nimirum corporum caelestium; alia corruptibilis, et est substantia humi degentium, plantarum inquam et animalium: atque huius elementa in praecedentibus sermonibus sumuntur. Themist. f. 2.

λέγει "ἐκείνας" τήν τε αἰδιότητὴν καὶ φθαρτὴν οὐσίαν καὶ τὴν 240 14.
αἰδιότητὴν καὶ ἄφθαρτον.

"εἰ μηδεμία αὐτοῖς ἀρχὴ κοινή," ὅπερ ἴσον ἐστὶ τῷ ἐπειδὴ 240 16.
οὐδαμῶς κατ' οὐδὲν ἡ αἰδιότητὴ οὐσία κοινωνεῖ τῇ νοητῇ, οὐδέ ἐστί τις αὐτοῖς ἀρχὴ κοινή, οὐκ ἂν εἴη τῆς φυσικῆς τὸ περὶ αὐτῆς θεωρεῖν.

ἦν ἂν τὰ λεγόμενα σαφέστερα, εἰ ἀντὶ τοῦ "ἡ δὲ αἰδιότητὴ 240 17.
οὐσία μεταβλητή" γεγραμμένον ἦν, ἐπειδὴ δὲ ἡ αἰδιότητὴ οὐσία μεταβλητή. εἰπὼν γὰρ ἀνωτέρω ὅτι αἱ οὐσίαι τρεῖς εἰσίν, ὧν ἡ μέν ἐστιν αἰδιότητή, ἧς ἀνάγκη τὰ στοιχεῖα λαβεῖν, ἐντεῦθεν ζητεῖ τίνα ἔστι τὰ στοιχεῖα τῶν τε αἰδιοτῶν καὶ φθαρτῶν καὶ τῶν αἰδιοτῶν καὶ ἀφθάρτων οὐσιῶν.

ἐπειδὴ δὲ ἡ μὶ κίνησις ἐν τρισὶ κατηγορίαις ὕσα ἐδείχθη ἐν 240 23.
τῷ πέμπτῳ τῆς Φυσικῆς Ἀκροάσεως (c. 1), ποιῷ, ποσῷ, πῇ, ἡ δὲ μεταβολὴ καὶ ἐν ταύταις καὶ ἐν τῇ οὐσίᾳ (τὸ γὰρ "κὶ τὸ τί" τοῦ φυσικοῦ καὶ οὐσιώδους εἴδους ἐστὶ δηλωτικόν), καὶ γένεσις μὶ ἁπλῆ καὶ φθορά ἐστι κὶ τόδε, τοτέστι μεταβολὴ κὶ τὴν οὐσίαν (ἁπλῆν γὰρ τὴν τῶν οὐσιῶν ἐλέγομεν ἐν τῇ περὶ Γενέσεως (1 2)), αὔξησις δὲ καὶ φθίσις ἡ κὶ τὸ ποσόν, φθορὰ δὲ καὶ μεταβολὴ ἡ κὶ τόπον, ἀλλοίωσις δὲ μεταβολὴ κὶ τὸ πάθος, οἷον θερμότητος, λευκότητος)· ἐπεὶ οὖν ταῦθ' ὕτως ἔχει, εἰς ἐναντιώσεις ἄρα καθ' ἑκάστην ἐστὶ πᾶσα μεταβολή, ἡ μὶ κὶ ποσὸν μεταβολὴ εἰς τὴν κὶ ποσὸν ἐναντίωσιν (αὕτη δ' ἐστὶ τὸ μέγα καὶ μικρόν, ἢ τὸ τέλειον ἢ ἀτελές), ἡ δὲ κατ' οὐσίαν μεταβολὴ εἰς τὴν κὶ ποσὸν ἐναντίωσιν· ἔστι δὲ αὕτη τὸ εἶδος καὶ στέρησις· καὶ αἱ λοιπαὶ μεταβολαὶ ὁμοίως. εἰ δὲ τοῦτο, ἀνάγκη εἶναι τρίτον τι τὴν ὕλην τὴν δυναμένην ἐξ εἴδους εἰς στέρη-

σιν· καὶ ἐκ στερήσεως εἰς εἶδος μεταβάλλειν· ὁμοίως καὶ ἐκ μεγάλου ἢ τελείου εἰς μικρὸν καὶ ἀτελές.

240 23. οὕτως οὖν ἀναπτύξας ἡμῖν τί ποτέ ἐστι τὸ γινόμενον καὶ μεταβάλλον ἐξ εἴδους εἰς στέρησιν καὶ ἐκ ταύτης εἰς ἐκεῖνο, ὅτι ἡ ὕλη ἐστίν, ἐπήγαγε "καὶ τοῦτό ἐστι τὸ Ἀναξαγόρου ἕν," δυνάμει λέγων ὅτι ὅταν ὁ Ἀναξαγόρας λέγῃ ὡς ἦν ὁμοῦ πάντα χρήματα καὶ ἓν ἦν τὸ πᾶν, ὁ δὲ νοῦς ἤρξατο ἀπὸ ἀρχῆς τινὸς ταῦτα διαχωρίζειν, ἐνδείκνυται ὡς ὠνείροωττε μὴ τὴν ὕλην, ὃ κατέλαβε δέ, καὶ ἐπὶ τούτῳ οὐδὲ σαφῶς ἡμᾶς ταύτην ἐδίδαξε. βέλτιον οὖν, φησί, λέγειν ὅτι ἐξ ἑνὸς μὴ γίνεται πάντα, δυναμένου δὲ τοῦ ἑνὸς εἰς πάντα μεταβάλλειν, εἶτα καὶ σαφηνίζειν ὅτι τοῦτο τὸ ἓν ἡ ὕλη ἐστίν, ἥπερ λέγειν ὅτι ἦν ὁμοῦ πάντα χρήματα· τίς γὰρ ἀκούων ὅτι ἦν ὁμοῦ πάντα, δύναται νοεῖν ὅτι αὕτη ἡ φωνὴ τῆς ὕλης ἐστὶ δηλωτικὴ τῆς δυνάμει πάντα ὄσης; ὡς οὖν Ἀναξαγόρας διὰ τοῦ λέγειν ὡς ἦν ὁμοῦ πάντα τὴν ὕλην ἐφαντάσθη μέν, οὐκ ἔγνω δέ, οὕτω καὶ Ἐμπεδοκλῆς ἐκ τοῦ μίγματος λέγων γενέσθαι τὰ τῇδε (λέγει δ' ἂν μίγμα τὸν σφαῖρον) τὴν ὕλην ἐφαντάζετο· μὴ δυνηθεὶς δὲ ἅψασθαι αὐτῆς, ἀντὶ τοῦ λέγειν ἐξ ὕλης, ἔλεγεν ὅτι ἐκ τοῦ μίγματος ἔστι τὰ τῇδε. ἀλλὰ καὶ ὁ Δημόκριτος διὰ τοῦ "ἦν ὁμοῦ πάντα" δυνάμει ἐμφαίνει ὡς ἔχεν ἀμυδρῶς ἔννοιαν τῆς ὕλης· τὸ γὰρ ἦν ὁμοῦ πάντα δυνάμει ἴσον ἐστὶ τῷ ἔστιν ἐν ἡμῖν, ὃ δύναται πάντα.

241 12. πάνυ τεταραγμένως καὶ φύρδην καὶ οὐ τεταγμένως οὐδ' ἀκολούθως ἐπάγει τὰ ἐν τῷ βιβλίῳ τούτῳ λεγόμενα, δι' οὐδὲν ἕτερον ἢ δι' ἣν ἀρχῆθεν ἐπετήδευσεν ἀσάφειαν. εἰπὼν γὰρ ἄνωθεν ὅτι τὰ γινόμενα οὐ μόνον ἐξ ὄντος γίνεται ἀλλὰ καὶ ἐκ μὴ ὄντος, καὶ μεταξὺ πολλὰ παρεμβαλών, ἐνταῦθα τὴν αἰτίαν δι' ἣν ἐκείνων ἐκεῖσε ἐμνήσθη, τίθησι, δυνάμει λέγων ὡς οὐ παρέργως οὐδὲ ἐκείνων ἐκεῖσε μνήμην πεποίηται, ἀλλὰ καὶ ἀναγκαίως. ἀπορήσειε γὰρ ἄν τις, ἐπειδὴ τὸ μὴ ὂν τριχῶς λέγεται, ἕνα μὲν τὸ ψεῦδος ὥσπερ ὂν τὸ ἀληθές, ἄλλον δὲ τὸ μηδαμῶς ὄν, ἄλλον τὸ δυνάμει ὄν, ἐκ τίνος τούτων ἡ γένεσίς ἐστιν; καὶ ἐρωτήσας ἀπορητικῶς, ἀποκρίνεται λέγων, εἰ δὴ ἔστι τὸ δυνάμει, τουτέστιν, εἰ ἔστι τι δυνάμει μὴ ὄν, ἐξ ἐκείνου ἔσται ἡ γένεσις. ἐλλιπῶς δὲ τοῦτο ἀπηγγέλθη, καὶ οἶμαι διὰ τὸ

σαφῶς περὶ τούτου πρὸ ὀλίγου εἰπεῖν. δεῖ δέ, ὡς οἶμαι, προσυπακούειν τοῦ ἐνεργείᾳ μὴ ὄν, δυνάμει δὲ ὄν· ἵν' ᾖ τὸ ὅλον τοιοῦτον· εἰ δὴ ἔστιν ἐνεργείᾳ μὴ ὄν, δυνάμει δὲ ὄν, ἐκ τούτου ἂν ἡ γένεσις εἴη. ἔστω δὲ σαφὲς τὸ λεγόμενον ἐπὶ ὑποδείγματος κτλ.

καὶ ἐπεί, ὡς λέγομεν, ἄλλα ἐξ ἄλλων γίνεται, οὐχ ἱκανῶς 241 15.
εἴρηκεν Ἀναξαγόρας εἰπὼν ἦν ὁμοῦ πάντα, τουτέστιν ἦν ἡ ὕλη ἐξ ἧς τὰ πάντα, ἀλλ' ἔδει αὐτὸν εἰπεῖν ὁποῖα πράγματα ἐξ ὁποίας ὕλης γίνεται... εἰ γὰρ μὴ ἦσαν αἱ προσεχεῖς ἑκάστῳ ὕλαι χέδον ἄπειροι (οὐδὲν γὰρ ἐκ τῆς ἀνειδέου γίνεται, εἰ μὴ μόνα τὰ ἁπλᾶ), ἓν ἂν ἦν τὸ πᾶν· ἐπειδὴ γὰρ τὸ ποιητικὸν ὁ νοῦς ἕν ἐστιν, εἰ καὶ ἡ προσεχὴς ἑκάστῳ ὕλη μία ἦν, ἓν ἂν ἦν τὸ γεγονός. τὸ γὰρ "ἐκεῖνο ἐγένετο ἐνεργείᾳ, ὅ ἡ ὕλη ἦν δυνάμει," δηλωτικόν ἐστι τοῦ ἓν ἂν ἐγεγόνει, ὃ ἠδύνατο γενέσθαι ἡ ὕλη, ἀλλ' οὐ πολλά.

ἐλλείπει τῇ λέξει τὸ δεῖ δεῖξαι, ἵνα ᾖ τὸ ὅλον τοιοῦτον· μεῖ 241 21.
ταῦτα δεῖ δεῖξαι "ὅτι — εἶδος." καὶ ὅτι μὲν ἡ πρώτη καὶ ἀνείδεος ὕλη οὐ γέγονε, δέδειχεν ἐν τῷ τέλει τοῦ ἄλφα τῆς Φυσικῆς Ἀκροάσεως· ὅτι δὲ οὐδὲ τὸ εἶδος, ἔδειξεν ἐν τῷ Ζ ταύτης τῆς πραγματείας. καὶ τάχα ἐπειδὴ εἶπεν ὅτι τρεῖς εἰσὶν ἀρχαί, ὕλη εἶδος στέρησις, ἐξ ἀκολουθίας τοῦτο ζητεῖ, πότερον γίνεται ἢ οὔ. δείκνυσι δὲ αὐτὸ πάνυ διὰ βραχέων, διὰ τὸ ἐν τῷ Ζ διεξοδικῶς αὐτὸ δεῖξαι.

εἰς ἄπειρον ἔσται ἡ ὁδός· ὅπερ ἀδύνατον δέδεικται ἐν τῷ ἐλάτ- 241 24.
τονι ἄλφα τῆς προκειμένης πραγματείας.

καὶ ἐνταῦθα προσυπακουστέον τοῦ εἰπεῖν δεῖ. 241 27.

μία μὲν οὖν οὐσία ἐστὶν ἡ ὕλη, ἄλλη δὲ πάλιν οὐσία ἐστὶ φύσις 242 4.
τόδε τι οὖσα καὶ ἕξις τις εἰς ἥν. λέγει δὲ φύσιν καὶ τόδε τι καὶ ἕξιν τὸ εἶδος· ἐκ παραλλήλου γὰρ ταῦτα κεῖται. τὸ δὲ "εἰς ἥν" ἀντὶ τοῦ εἰς ἣν φύσιν καὶ εἶδος ἡ γένεσίς ἐστιν· πᾶσα γὰρ γένεσις ὁδός ἐστιν εἰς εἶδος.

καὶ τοῦτο ἀρέσκει καὶ αὐτοῖς τοῖς τὰς ἰδέας θεμένοις· τῶν γὰρ 242 11.
ὑπὸ τέχνης γινομένων ἰδέας εἶναι οὐκ ἔλεγον, ἀλλὰ τῶν ὑπὸ φύσεως.

τῶν φύσει ἔσται εἴδη ἄλλα ὄντα τούτων, ἤτοι τῶν δεῦρο καὶ 242 13.
αἰθητῶν. τὸ δὲ "οἷον πῦρ, σάρξ, κεφαλή· ἅπ. γ. ὕλ. — ἡ τελευταία," οὐδεμίαν ἔχει ἀκολουθίαν τοῖς προσεχῶς λεχθεῖσιν, οὐδέ

ἐςι σύνῳδα τούτοις, ἀλλὰ συνᾴδοι ἂν τιῷ "ὅσα γὰρ ἀφῇ καὶ μὴ συμφύσει, ὕλη καὶ ὑποκείμενον."

242 14. μάλιςα δὲ ἐςιν ὕλη αὐτῆς ἡ τελευταία ἤτοι ἡ προσεχής, οἷον σάρξ, νεῦρα, ὀςᾶ. "τὰ μὲν οὖν κ." καὶ τοῦτο οἰκεῖόν ἐςι τῷ περὶ τῶν αἰτίων λόγῳ. ἔςι δὲ τὸ λεγόμενον ὅτι τὰ κινοῦντα, τουτέςι τὰ ποιητικὰ αἴτια, πρότερά ἐςι τῶν ποιουμένων τῷ χρόνιῳ· πρότερος γὰρ Σωφρονίσκος Σωκράτους καὶ οἰκοδόμος οἰκίας. ἔχει δέ τινα ἀσάφειαν ἡ λέξις. τὰ μὲν οὖν κινοῦντά φησιν ὡς προγεγενημένα ὄντα, τὰ ὄντα ἀντὶ τοῦ ὑπάρχοντα, ἵν' ᾖ τὸ λεγόμενον, τὰ ποιητικὰ ὑπάρχουσι καὶ λόγον ἔχουσι πρὸς τὰ ποιούμενα τὸν πρότερον καὶ χρόνον· τὰ δὲ εἰδικὰ αἴτια ἅμα.

242 19. εἰ δὲ καὶ χωριζόμενα τὰ εἴδη μετὰ τὸν χωρισμὸν μένει καὶ ἔςιν, ἀλλὰ μὴ εἰς τὸ μὴ εἶναι ἀπέρχεται, τοῦτο δεῖται πολλῆς τῆς σκέψεως. ὅμως, φησίν, ἐπί τινων οὐδὲν κωλύει, οἷον ἐπεὶ ἡ ψυχὴ εἶδός ἐςι τῶν ἐμψύχων, οὐδὲν κωλύει τινὰ ψυχήν, οἷον τὸν νοῦν ἤτοι τὴν λογικὴν ψυχήν, μένειν· αἱ γὰρ ἄλογοι θνηταί εἰσιν. καὶ διὰ τοῦτο πρόσκειται τὸ "ἴσως." καὶ ἐπεὶ ἁπάντων τὰ αἴτια δῆλά ἐςιν, οὐδεμία χρεία τῶν ἰδεῶν εἰς τὴν τούτων γένεσιν.

242 26. ἐντεῦθεν ἡ λύσις τῆς λεγούσης ἀπορίας πότερον τὰ αἴτια καὶ αἱ ἀρχαὶ αἱ αὐταί εἰσι πάντων ἢ οὔ. λέγει οὖν ὅτι τρόπον μέν τινά εἰσιν αἱ αὐταί, τρόπον δέ τινα ἕτεραι. "καθόλου" μὲν οὖν φησί, καὶ τί δηλοῖ τὸ καθόλου σαφηνίζων ἐπήγαγε "καὶ κατὰ ἀναλογίαν" εἰσὶν αἱ αὐταί. ἐπεὶ γὰρ πάντων τῶν γινομένων ἐςὶν ὕλη καὶ εἶδος καὶ ςέρησις, καὶ πάντα τὰ γινόμενα ὑπὸ ὕλην καὶ εἶδος καὶ ςέρησίν εἰσιν, εἰσὶ τὸ καθόλου πάντων αἱ αὐταὶ ἀρχαί· πάντες γὰρ αἴτια ὕλη εἶδος καὶ ςέρησίς ἐςιν.

243 11. ἐπὶ δὲ τοῦ "ὑπάρχει γὰρ ταῦθ' ἑν ἑκάςῳ καὶ τῶν συνθέτων" προσυπακουςέον τοῦ τῶν ἁπλῶν, ἵν' ᾖ, ταῦτα γάρ, τὸ ὂν καὶ τὸ ἕν, ἐνυπάρχει ἑκάςῳ τῶν ἁπλῶν κ. τ. σ. τὸ δὲ "οὐδὲν — πρός τι" τοιοῦτον ἂν εἴη· αὐτῶν, ἤτοι τῶν ὡς ἐκ ςοιχείου τοῦ ὄντος καὶ τοῦ ἑνὸς γεγονότων, οὐδὲν ἔςαι ἤτοι οὐδαμῶς ἔςαι οὐδὲ ἕξει ὕπαρξίν τινα· ὥσπερ γάρ, ὡς εἴρηται, τὸ ἐκ πυρὸς καὶ γῆς οὔ πῦρ οὐδὲ γῆ, οὔτως οὐδὲ τὸ ἐξ ἑνὸς καὶ ὄντος ἔςαι ἓν καὶ ὄν, ἀλλ' ἔςαι οὐχ ἓν καὶ οὐκ ὄν. τὸ δὲ "οὔτ' οὐσία οὔτε πρός τι" δύναταί τις ἀκούειν ὡς ἴσον τῷ οὔτε ἡ

ὑσία ἔςαι ὂν ὅτε τὸ πρός τι. δύναῖ δὲ καὶ ὅτως αὐτῷ ἀκούειν. εἰ μὴ ὅν τὸ ὂν ἐρεῖ τις ςοιχεῖον, ἐπειδὴ ἕτερόν ἐςι τὸ ςοιχεῖον τῶν ἐξ αὐτοῦ, ἢ αὐτὸ ἔςαι μὴ ὂν ἢ τὰ ἐξ αὐτοῦ· ὁ γὰρ δυνατὸν καὶ τὸ ὂν ἤτοι τὸ ςοιχεῖον εἶναι ὂν καὶ τὰ ἐξ αὐτοῦ ὄντα. εἰ δὲ τὴν ὑσίαν λέγει τις ςοιχεῖον, ἢ αὐτὴ ὑκ ἔςαι ὑσία ἢ τὰ ἐξ αὐτῆς, οἷον ὁ Σωκράτης, ὁ Πλάτων καὶ τὰ λοιπά. ὁμοίως εἰ ἔςι τὸ πρός τι ςοιχεῖον, ἔςαι τὸ πρός τι ὁ πρός τι. καὶ συμπεραίνεῖ λέγων "ὑκ ἔςιν ἄρα" κτλ.

τὸ δὲ "ἕτερον γὰρ ἀνάγκη ἐκείνων εἶναι τὸ γενόμενον" ὑδα- 243 20.
μῶς συνᾴδει τοῖς προσεχῶς ῥηθεῖσιν· εἴη δ' ἂν συνεχὲς τῷ πρὸ ὀλίγου ῥηθέντι τῷ "ὑδὲν ἄρα ἔςαι αὐτῶν ὅτε ὑσία ὅτε πρός τι." καὶ εἴη ἂν τοῦτο κατασκευὴ τοῦ μὴ εἶναι τὴν ὑσίαν ὑσίαν, μηδὲ τὸ πρός τι πρός τι· ἕτερον γὰρ ἀνάγκη εἶναι τὸ γινόμενον· ὡς γὰρ εἴρηῖ, ἕτερόν ἐςι τὸ ἐκ ςοιχείου γεγονὸς τῶν ςοιχείων.

ὥςε πάντων μὴ ὅτως, τουτέςι κατ' ἀναλογίαν μὴ πάντων 243 22.
εἰσὶν αἱ αὐταὶ ἀρχαί, ὥσπερ εἴπομεν, κυρίως δὲ ὅ.

εἰ δὴ εἰς ταῦτα διαιρεῖῖ ἡ ἀρχή, δῆλον ὅτι τὸ κινοῦν καὶ ἱςῶν 244 2.
ἤτοι τὸ ποιητικὸν ἀρχή τίς ἐςιν, ὥςε τὰ κῇ ἀναλογίαν πανταχοῦ εὑρισκόμενα ςοιχεῖα τρία ἐςίν, ὕλη εἶδος ςέρησις, ἀρχαὶ δὲ καὶ αἴτια τέτταρα, ὕλη εἶδος ςέρησις καὶ ποιητικόν. ταῦτα δὲ τὰ τέτταρα ἄλλα ἐν ἄλλοις, οἷον ἐπὶ μὲ τῶν ζῴων ὡς μὲ ὕλη τὸ τῶν ζῴων σῶμα, ὡς δὲ εἶδος ἡ ὑγίεια, ὡς ςέρησις νόσος, ὡς ποιητικὸν ἡ ἰατρική. πάλιν ὡς μὲ εἶδος ἡ οἰκία, ὡς ςέρησις ἡ τοιαδὶ ἀταξία, ὡς ὕλη οἱ πλίνθοι, ὡς ποιητικὸν ὁ οἰκοδόμος. ὥςε πάντων αἰτιά ἐςιν ὕλη εἶδος ςέρησις ποιητικόν, ἄλλα δὲ ἄλλων. "ἐπεὶ δὲ τὸ κ. ἐν μὲ τοῖς φυσ. ἀνθρώποις ἄνθρωπος." φυσικοὺς ἀνθρώπους εἶπε διὰ τὸν αὐτοάνθρωπον· ἐκεῖνος γὰρ ὁ φυσικός. ὃ δὲ νῦν λέγει, εἴρηκε καὶ ἐν τῇ Φυσικῇ (2 1), ὅτι τὸ ποιητικὸν καὶ τὸ εἰδικὸν πολλάκις τὸ αὐτό ἐςιν.

παρὰ ταῦτα τὰ αἴτια ἔςι τὸ πάντων πρῶτον, ὅπερ ἐςὶν ἡ 244 12.
ζητουμένη ἐνταῦθα ἀρχή.

εἶτα λέγει καὶ τίνα εἰσὶ τὰ λίαν προσεχέςατα τοῦ τὰ ἔμψυχα 244 17.
εἶναι αἴτια· ταῦτα γάρ, φησίν, ἔςι ψυχὴ ἴσως καὶ σῶμα, ὥσπερ

ἐπὶ φυτῶν, ἢ νοῦς καὶ σῶμα καὶ ὄρεξις, ὡς ἐπὶ ἀνθρώπων, ἢ σῶμα καὶ ὄρεξις, ὡς ἐπὶ τῶν ἀλόγων ἔστιν ἰδεῖν.

244 23. ἡ μὲν οὖν τῶν λεγομένων διάνοια οἶμαι τοιαύτη. κατὰ δὲ τὴν λέξιν τὸ μὲν "ἐνεργείᾳ μὲν τὸ εἶδος" ἀντὶ τοῦ ἡ ἐνέργεια ἀναλογεῖ εἴδει καὶ τὸ εἶδος τῇ ἐνεργείᾳ, τὸ δὲ "ἂν ᾖ χωριστόν" ἀντὶ τοῦ τὸ τῇ ἐπινοίᾳ χωριστόν. τὰ γὰρ ἔνυλα, εἰ δή, τῇ ἐπινοίᾳ μόνῃ χωρίζεται τῆς ὕλης. τὸ δὲ "καὶ τὸ ἐξ ἀμφοῖν" ἀντὶ τοῦ οὐ μόνον τὸ εἶδός ἐστιν, ἀλλὰ καὶ τὰ ἐξ ὕλης καὶ εἴδους. ἢ τὸ "ἐνεργείᾳ μὲν γὰρ τὸ εἶδος, ἐὰν ᾖ χωριστόν," ἀντὶ τοῦ τὸ φῶς εἴρηκεν, ἵν' ᾖ ὅτι ἡ ἐνέργεια ἤτοι τὸ φῶς τὸ χωριστόν· χωρίζεται γὰρ ἀπὸ τοῦ ἐν τῷ ἀέρι διαφανοῦς καθ' ἑκάστην. ἐξ ἀμφοῖν δὲ λέγει τὴν ἡμέραν, ἐκ τοῦ φωτὸς καὶ τοῦ πεφωτισμένου διαφανοῦς. καὶ ὅτι ἐνέργειαν τὸ φῶς, ὃ καὶ χωριστὸν λέγει, εἴρηκε, τεκμαίρομαι ἐκ τοῦ εἰπεῖν "στέρησις δὲ τὸ σκότος." ἄλλως δὲ ἐνεργείᾳ καὶ δυνάμει διαφέρει, ὧν μή ἐστιν ἡ αὐτὴ ὕλη, ὧν οὐκ ἔστι τὸ αὐτὸ εἶδος." ἐπειδὴ ἄνθρωπος ἄνθρωπον γεννᾷ καὶ ὁ ἥλιος, εἰσὶ δὲ ἀμφότερα ὅ τε ἥλιος καὶ ὁ Σωφρονίσκος ποιητικὰ Σωκράτους, ἡ μὲν τοῦ Σωφρονίσκου ὕλη αἱ σάρκες καὶ τὰ ὀστᾶ καὶ νεῦρα, ὁμοίως καὶ τὸ εἶδος καὶ ἐνέργεια αὐτοῦ. οὐδὲν διαφέρει τῷ λόγῳ τῆς τοῦ Σωκράτους ὕλης καὶ τοῦ εἴδους· σάρκες γὰρ καὶ νεῦρα αἱ ἀμφοτέρων ὕλαι. ὁμοίως δὴ καὶ τὰ εἴδη τὰ αὐτά, μόνῳ δὲ τῷ προτέρῳ καὶ ὑστέρῳ διαφέρει· προτέρα γὰρ ἡ Σωφρονίσκου ὕλη καὶ τὸ εἶδος τῆς τοῦ Σωκράτους φύσεως. ἡ δὲ τοῦ ἡλίου ὕλη καὶ τὸ εἶδος οὐ τῷ χρόνῳ μόνῳ προτέρα τῆς τοῦ Σωφρονίσκου ὕλης καὶ τοῦ εἴδους, ἀλλὰ καὶ τῷ λόγῳ· ἡ μὲν γὰρ τοῦ Σωφρονίσκου ὕλη σάρκες, ἡ δὲ τοῦ ἡλίου οὐ τοιαύτη, ἀλλὰ πέμπτον τι σῶμα. ὅτι δὲ καὶ τὸ τοῦ ἡλίου εἶδος ἕτερόν ἐστι τοῦ Σωφρονίσκου εἴδους, οὐ δεῖ με λέγειν. ταῦτα δὴ αἰνίττεται διὰ τοῦ "ἄλλως — εἶδος." ἐλλιπὴς δέ ἐστιν ἡ λέξις· εἴη δ' ἂν πλήρης εἰ οὕτως εἶχεν· ἄλλως δὲ ἐνεργείᾳ καὶ δυνάμει, ὧν μή ἐστιν ἡ αὐτὴ ὕλη μηδὲ τὸ αὐτὸ εἶδος, (adde διαφέρει) ὧν οὐκ ἔστι τὸ αὐτὸ εἶδος μηδὲ ἡ αὐτὴ ὕλη. εἴη δ' ἂν τὸ λεγόμενον, ἐπειδὴ καὶ ὁ Σωφρονίσκος ποιητικός ἐστι Σωκράτους, ἀλλὰ καὶ ὁ ἥλιος καὶ ὁ λοξὸς κύκλος, διαφέρει ἡ ἐνέργεια καὶ τὸ εἶδος τοῦ ἡλίου καὶ τοῦ λοξοῦ κύκλου τῆς ἐνεργείας καὶ τοῦ εἴδους τοῦ Σωφρονίσκου καὶ τοῦ Σωκράτους. ὁμοίως δὴ καὶ αἱ δυνάμεις αὐτῶν ἤτοι αἱ ὕλαι. καὶ τὴν αἰτίαν τούτου ἐπήγαγεν εἰπὼν "οὗτε ὕλη" κτλ.

πάντων δὲ ἀρχαὶ πρῶθ ἤτοι προσεχεῖς. "πρῶτον τοδί," 245 5.
τυτέςι τὸ μικρόν· τῦ γὰρ Σωκράτυς ἀρχὴ καὶ αἴτιον ὅδε ὁ Σωφρονίσκος. ἔςιν ὖν πάντων ἀρχὴ ἥδε ἡ ἐνέργεια καὶ τόδε τὸ μερικὸν δυνάμει, τυτέςιν αὕτη ἡ μερικὴ ὕλη.

πρὸς δὲ τοῖς εἰρημένοις αἰτίοις εἰσὶ καὶ ἄλλα αἴτια καὶ ἄλλαι 245 11.
ἀρχαί· ταῦτα δέ ἐςιν εἴδη τῶν ὑσιῶν· ἄλλα δὲ ἄλλων, ὥσπερ εἴρηθ. ὑ μόνον δὲ τῶν ἑτέρων γενῶν ἕτερα τὰ αἴτια, ἀλλὰ καὶ τῶν ὁμοειδῶν ἕτερα, τῷ ἀριθμῷ δὲ κτλ.

τὸ δὲ "καὶ ὡδὶ — πάντων" δυνάμει τοιῦτόν ἐςιν. ὅταν δὲ ἐρω- 245 22.
τώμενοι πότερον τὰ τῶν ὑσιῶν αἴτια καὶ τῶν συμβεβηκότων εἰσὶν αἴτια, λεκτέον ὅτι ναί, καὶ τὴν αἰτίαν προθετέον ὅτι ἀναιρυμένων γὰρ τῶν ὑσιῶν ἀναιρεῖθ καὶ τὰ λοιπά. αἴτιον δὲ τὸ συναναιρῦν τῦ συναναιρυμένυ. ἀλλὰ περὶ τύτων εἴρηθ πρὸ ὀλίγυ ἀκριβῶς. "ἔτι τ. πρ. ἐντ." ἔτι, φησίν, ἐρωτώμενοι πότερον τὸ πορρώτερόν ἐςιν αἴτιον ἢ τὸ προσεχές, ῥητέον ὅτι τὸ πρῶτον, τυτέςι τὸ προσεχές. προσεχὲς δὲ αἴτιον καὶ ἐντελεχείᾳ, ὡς πολλάκις εἴρηθ. "ὡδὶ δὲ ἕτερα πρῶτα ὅσα τὰ ἐναντία," τυτέςιν ἄλλον δὲ τρόπον λεκτέον πρῶτα αἴτια τὰ ἐναντία, ἤτοι τὸ εἶδος καὶ τὴν ςέρησιν· ὥςε τὸ λεγόμενόν ἐςιν ὅτι ποτὲ μὲ λεκτέον πρῶτον αἴτιον τὸ ἐντελεχείᾳ ἤτοι τὸ ποιητικόν, ποτὲ δὲ τὰ ἐναντία ἤτοι τὸ εἶδος καὶ τὴν ςέρησιν, ἅπερ ἐναντία, φησίν, ὅτε ὡς γένη λέγεθ, τυτέςιν ὡς ὕλη, ὅτε πολλαχῶς, τυτέςιν ὅτε ὡς καθόλυ, ἀλλ' ὡς συγκατατεταγμένα. ἐν δὲ τῇ λέξει τῇ "ὡδὶ δὲ πρῶτα ὅσα τ. ἐν." τὸ "ὅσα" παρέλκον ἐςίν.

τὸ δὲ "εἰ γὰρ μὴ ἐνεργήσει, ὑκ ἔςαι κίνησις" ταὐτόν ἐςι τῷ 246 13.
εἰ γὰρ μὴ ἐνεργεῖ ἡ παρὰ τὰ εἴδη ὑσία, ἀλλὰ μένει μὴ ἐνεργῦσα, ὡς οἱ τὰ εἴδη τιθέμενοι ἀπεφαίνοντο (λέγοντες γὰρ τὰς ἰδέας καὶ ἀκινήτυς καὶ μηδὲν ὅλως ἐνεργύσας, ἐκπίπτειν ἐξ αὐτῶν ἔφασκον ἀπορροίας τινὰς καὶ τῇδε τῇ ὕλῃ συμπιπτύσας ὕτω γίγνεθζ πάντα τὰ ἄτομα), εἰ ὖν ὕτως, ὥσπερ αἱ ἰδέαι, ἔχει ἣν ἂν ὑπόθηταί τις ὑσίαν, ὑκ ἔςαι κίνησις.

"ἡ — δύναμις." τυτέςιν εἰ συνέζευκθ αὐτῇ τις δύναμις, καὶ μὴ εἴη ἄμοιρος πάντῃ δυνάμεως, ὑδ' ὕτως ἔςαι ἡ κίνησις ἀΐδιος.

24618. τὸ "ταύτας," οἶμαι, ἀντὶ τοῦ τὰς λοιπὰς εἰλήφῃ. καὶ εἴη ἂν λέγων ὅτι οὐ μόνον τὸ κινητικὸν τῆς ἀπλανοῦς δεῖ τοιοῦτον εἶναι οἷον εἴπομεν, ἀλλὰ καὶ τὰς λοιπὰς ἀρχὰς τὰς κινούσας τὴν Κρονιακὴν ἢ τὴν Δίιον καὶ τὰς λοιπὰς σφαίρας, αἵτινες ἀρχαὶ ὑπὸ τὴν πρώτην εἰσί, καὶ ταύτας ὧν δεῖ ἀΐδιος εἶναι καὶ ἀϊδίους, εἴπερ γε καὶ ἄλλο τι ἀΐδιον· ἐπεὶ γάρ ἐστι καὶ ἄλλο τι, οἷον τὸ τῆς ἀπλανοῦς κινητικὸν ἀΐδιον, δεῖ καὶ ταύτας ἀϊδίους εἶναι. ἢ τὸ "εἴπερ γε κ. α. τι α." λέγοι ἄν, ἐπειδὴ ἡ τῶν ἑπτὰ σφαιρῶν ἑνὰς ἀΐδιός ἐστι, δεῖ καὶ τὰ τούτων κινητικὰ ἀΐδια εἶναι.

24623. "οὐδὲν ἔσται τῶν ὄντων," ὃ ἴσον ἂν εἴη τῷ ἦν ἄρα ὅτε οὐδὲν ἦν τῶν ὄντων· ἐνδέχεται γὰρ τὸ δυνάμενον εἶναι μή πω εἶναι. καὶ οἶμαι ἐν τῇ λέξει τῇ "δοκεῖ γὰρ τὸ μὴ ἐνεργοῦν" τὸ "δοκεῖ" ἐμφατικὸν εἶναι τοῦ μὴ ἀρέσκειν αὐτῷ τὴν ὅτι πᾶν τὸ ἐνεργοῦν δύναται λέγουσα πρότασιν, ἵν' ᾖ τὸ λεγόμενον ὅτι δοκεῖ ἄλλοις.

24624. ἀλλ' εἰ, ὡς ἔφαμεν, ταῦτα λύσις εἰσὶ τῆς ἀπορίας, πῶς κατιὼν πάλιν αὐτὴν λύει; ἢ οὐκ ἔστι τοῦτο ἀλλότριον τῆς Ἀριστοτελικῆς ἀγχινοίας· πρὸς παράστασιν γὰρ τῆς ἀληθείας πανταχοῦ, καὶ μάλιστα ἐν ταύτῃ τῇ πραγματείᾳ, δὶς τῶν αὐτῶν μέμνηται καὶ τοσαυτάκις τὰ περὶ αὐτῶν διαρθροῖ. δείξας οὖν ὅτι ἡ ἐνέργεια προτέρα δυνάμεως ἤτοι τὸ εἶδος τῆς ὕλης (πᾶσα γὰρ δύναμις ὡς ὕλη· ὁ γὰρ Σωκράτης δύναμις καὶ ὕλη τοῦ γράφειν ἐστίν), αἰτιᾶται τοὺς θεολόγους προτέραν ποιοῦντας τὴν δύναμιν καὶ τὴν ὕλην τῆς ἐνεργείας, ὅταν γὰρ Ἡσίοδος λέγῃ (Theog. 116)

ἤτοι μὲν πρώτιστα χάος γένετ', αὐτὰρ ἔπειτα
γαῖ' εὐρύστερνος·

καὶ

τὴν δ' ἑτέρην προτέρην μὲν ἐγείνατο Νὺξ ἐρεβεννή,

διὰ τοῦ χάους καὶ τῆς νυκτὸς τὴν ὕλην ᾐνίττετο· σκότος γὰρ καὶ νὺξ κτ' τὸ ἄληπτον αὐτῆς ἡ ὕλη, χάος δὲ διὰ τὸ χωρητικὸν καὶ δεκτικὸν αὐτῆς τῶν εἰδῶν. καὶ ὁ Ἀναξαγόρας διὰ τοῦ "ἦν ὁμοῦ πάντα χρήματα" τὴν ὕλην ᾐνίττετο. αἰτιᾶται δὲ οὐ τοὺς φυσικούς, τόν τε Ἐμπεδοκλέα καὶ Ἀναξαγόραν (οὗτοι γὰρ προτέραν τὴν ἐνέργειαν ἔλεγον δυνάμεως, ὡς ἐρεῖ· ὁ μὲν γὰρ αὐτῶν φιλίαν καὶ νεῖκος ἐτίθετο τὴν ἐνέργειαν, ὁ δὲ Ἀναξαγόρας τὸν νοῦν), ἀλλὰ τοὺς θεο-

λόγους. τὸ γὰρ "τὸ αὐτὸ αἴτιον" ὁ τοῦτο σημαίνοι ἄν, ὅτι τὰ αὐτὰ ἄτοπα ἕπεται τοῖς τε θεολόγοις καὶ τοῖς φυσικοῖς, ἀλλὰ τὸ αἴτιον ἴσον ἐστὶ τῷ τὸ αὐτὸ ἄτοπον ἕπεται πᾶσι τοῖς θεολόγοις, ὅσοι προτέραν τὴν δύναμιν τῆς ἐνεργείας ποιοῦσιν. ἢ λέγοι ἂν ὅτι τὸ αὐτὸ
5 ἄτοπον ἕψεται καὶ τοῖς θεολόγοις καὶ τοῖς φυσικοῖς, ὁ πᾶσιν ἀλλ' ὅσοις τῶν τε φυσικῶν τῶν τε θεολόγων ἐπῆλθε ποιεῖν προτέραν τὴν δύναμιν τῆς ἐνεργείας. εἰ γάρ ἐστιν ἡ δύναμις, φησί, κατ' αὐτὸς προτέρα τῆς ἐνεργείας, πῶς ἐξ αὐτοῦ κινηθήσεται ἡ ὕλη μὴ οὖσης τῆς ἐνεργείας τῆς κινούσης;

10 ἀεὶ γὰρ εἶναι κίνησιν καὶ Λεύκιππος καὶ Πλάτων ἔλεγον· παραλαβὼν γάρ, φησὶν ὁ Πλάτων (Tim. p. 30), τὴν ὕλην πλημμελῶς καὶ ἀτάκτως φερομένην. καὶ Λεύκιππος δὲ ἐν τῷ κενῷ τὰς ἀτόμους κινεῖσθαι τὸν ἄπειρον χρόνον ἔφασκεν. καὶ ὅτι ἡ μία κίνησις ἐνέργειά ἐστιν, ἀπεφαίνοντο· ἀλλὰ διὰ τί ἐστιν ἐνέργεια ἡ κίνησις, 246 30.
15 καὶ τίς ἐστιν αὕτη ἡ κίνησις, πότερον ἡ κύκλῳ ἢ ἄλλη τις, καὶ διὰ τί ὧδε μία τάδε κινεῖται ὧδε δὲ τάδε, τούτων τὴν αἰτίαν οὐ λέγουσιν.

πολὺ γὰρ διαφέρει τὸ κατὰ φύσιν τοῦ παρὰ φύσιν κινεῖσθαι, καὶ ἡ πρώτη κίνησις τῶν ἄλλων. αἰτιᾶται δὲ καὶ ἄλλο τῷ Πλάτωνι· εἰπὼν γὰρ ὁ Πλάτων ὅτι ἡ κίνησις ἦν καὶ πρὸ τοῦ τὸν κόσμον γενέσθαι, 247 4.
20 εἴπερ ἀτάκτως ἐκινεῖτο ἡ ὕλη, πάλιν λέγει ὅτι ἡ ψυχὴ ἡ ἅμα τῷ οὐρανῷ γεγονυῖα καὶ αὐτὴ ἑαυτὴν κινοῦσα ἐστὶ πηγὴ καὶ αἰτία τοῦ κίνησιν εἶναι, ὥστε πρὸ τοῦ τὸν οὐρανὸν καὶ τὴν σὺν αὐτῷ γεγονυῖαν ψυχὴν γενέσθαι εἶναι κίνησίν φησιν. εἰ οὖν πρὸ τοῦ γενέσθαι τὸν οὐρανὸν καὶ τὴν σὺν αὐτῷ γεγονυῖαν ψυχὴν ἦν ἡ κίνησις, ψεῦδος ὅτι ἡ
25 ψυχὴ ἡ αὐτὴ ἑαυτὴν κινοῦσά ἐστιν ἡ πηγὴ τῆς κινήσεως.

περὶ μὲν τούτων εἴρηται ἐν τῇ περὶ Ψυχῆς (2 4). 247 9.

ἀλλὰ τὰ αὐτὰ ἅπερ ἔστι νῦν, οἷον ἦν ἀεὶ ὁ κόσμος, ἢ περιόδῳ, ὡς Ἐμπεδοκλῆς ἔφασκεν, ἢ ἄλλως, ὡς Ἀριστοτέλης βούλεται. "εἰ δὲ τὸ αὐτὸ ἀεὶ περιόδῳ." ἐλλείποι ἂν τῇ λέξει τὸ ἢ ἄλ- 247 14.
30 λως, ἵν' ᾖ τὸ πᾶν, εἰ δὴ ὁ κόσμος οὗτος ἀεί ἐστιν, ἢ περιόδῳ, ὡς Ἐμπεδοκλῆς λέγει, ἢ ἄλλως, ὥσπερ ἡμεῖς, δεῖ τι ἀεὶ μένειν ὡσαύτως ἐνεργοῦν καὶ εἶναι τὴν φύσιν αὐτοῦ ἐνέργειαν. εἰ δὲ ἀνάγκη καὶ γένεσιν ἀεὶ εἶναι, δεῖ εἶναί τι ἐνεργοῦν ἄλλως, ἤτοι λοξῶς κινεῖσθαι, ἵνα προσάγῃ καὶ ἀπάγῃ τὸ γεννητικόν, ὅπερ ἐστὶν ὁ ἥλιος.

ἀνάγκη ἄρα τὸ λοξῶς κινούμενον καθ' αὐτὸ μὴ ὡδὶ ἐνεργεῖν, ἤτοι λοξῶς κινεῖσθαι καὶ προσάγειν καὶ ἀπάγειν τὸν ἥλιον, "ὡδὶ δὲ κατ' ἄλλο," τουτέστι τὸ γίνεσθαι δὲ καὶ καθ' ἑκάστην τὸν ἥλιον ὑπὸ γῆν καὶ ὑπὲρ γῆν κατ' ἄλλο, ἤτοι δὲ καθ' ἕτερον, τοῦτο πάσχει ὁ ἥλιος οἷον φέρε εἰπεῖν διὰ τὴν κρονιακήν, ἣ κατὰ τὸ πρῶτον, οἷον κατὰ τὴν ἀπλανῆ. καὶ διαρθρῶν τὸν λόγον λέγει, ἀνάγκη ἄρα κατὰ τὴν τῆς ἀπλανοῦς κίνησιν γίνεσθαι ὑπὸ γῆν καὶ ὑπὲρ γῆν τὸν ἥλιον, παρὸ κατὰ τὴν κρονιακήν. καὶ τὴν αἰτίαν τοῦ ἀνάγκη κατὰ τὴν ἀπλανῆ τὴν τοῦ ἡλίου ὑπὲρ γῆν καὶ ὑπὸ γῆν γίνεσθαι καθ' ἑκάστην φοράν, ἐπήγαγεν εἰπὼν "πάλιν γὰρ ἐκεῖνο αὐτῷ τὸ αἴτιον κἀκείνῳ," τουτέστι πάλιν γὰρ τὸ τῆς ἀπλανοῦς σῶμα αἴτιον ἔστι τῷ ἐν τῇ κρονιακῇ σφαίρᾳ ἀστέρι ὑπὲρ γῆν καθ' ἑκάστην γίνεσθαι καὶ ὑπὸ γῆν κἀκείνῳ, ἤτοι τῷ ἡλίῳ· ἡ ἀπλανὴς γάρ ἐστιν αἰτία τοῦ καθ' ἑκάστην καὶ τὸν κρόνον καὶ τὸν ἥλιον δύνειν καὶ πάλιν ἀνατέλλειν· ὥστε καλλιόν ἐστι τὴν ἀπλανῆ λέγειν αἰτίαν εἶναι τοῦ τὸν ἥλιον ἀνατέλλειν καὶ δύνειν ἤπερ τὴν τοῦ κρόνου σφαῖραν· ἐκεῖνο γάρ, ἤτοι ἡ ἀπλανής, ἣν αἰτία τῷ ἡλίῳ τοῦ ἀεὶ ὡσαύτως ἤτοι ὑπὸ γῆν καὶ ὑπὲρ γῆν φέρεσθαι, τοῦ δὲ ἄλλως, ἤτοι ποτὲ μὲν ἐν τῷ σκορπίῳ γίνεσθαι ποτὲ δὲ ἐν αἰγοκέρωτι, ἡ λόξωσις τοῦ ζωδιακοῦ, καθ' ἣν φέρεσθαι. τὸ δὲ "τοῦ δ' ἀεὶ ἄλλως, ἄμφω δηλονότι" (καὶ ὑποστικτέον εἰς τὸ "ἄλλως") δηλωτικὸν ἂν εἴη τοῦ δ' ἀεὶ μέν, τουτέστιν εὐτάκτως καὶ ἀνὰ μέρος γίνεσθαι νύκτα καὶ ἡμέραν καὶ γένεσιν καὶ φθοράν, αἰτιά εἰσιν ἀμφότερα, ἥ τε ἀπλανὴς καὶ ἡ λοξῶς φερομένη τοῦ ἡλίου σφαῖρα, ἡ μὲν ὂν ἀπλανὴς τοῦ νύκτας γίνεσθαι καὶ ἡμέρας, ἡ δὲ ἡλιακὴ σφαῖρα καὶ ὁ ἥλιος τοῦ γένεσιν καὶ φθοράν. ταῦτα εἰπὼν ἐπιφέρει "ἡκοῦν — κινήσεις." ἴσον λέγων τῷ ὑ μόνον ἡμεῖς ταῦτα περὶ τῶν τῆς ἀπλανοῦς καὶ τῆς ἡλιακῆς σφαίρας κινήσεων οὕτω λέγομεν, ἀλλὰ καὶ οὕτως ἔχουσιν. εἰ ὂν αὐταὶ αἱ κινήσεις αἴτια τοῦ τὰ λεγόμενα ἔχειν ὡς γίνεται, τί δεῖ ζητεῖν ἄλλας ἀρχὰς οἵας φασὶν οἱ τὰς ἰδέας τιθέμενοι; ταῦτα εἰπὼν λέγει "ἐπεὶ δ' οὕτως ἐνδέχεται, λύοιτ' ἂν ταῦτα· καὶ εἰ μὴ οὕτως" (καὶ ὑποστικτέον εἰς τὸ οὕτως), "ἐκ νυκτὸς ἔσται — μὴ ὄντος." οὕτω γάρ ἐστι τὸ συνεχές τῆς λέξεως.

248 1. ἡ μὲν ὂν τῶν λεγομένων πάντων διάνοια εἴρηται. ἐν δὲ τῇ λέξει τῇ "ἐπεὶ δὲ κινούμ. κ. κιν., καὶ μέσον τοίνυν ἐστὶν ᾗ ὑ κ. κ. πρῶτον

ὑποςικτέον εἰς τὸ "καὶ μέσον·" εἶτα προσυπακουςέον τοῦ ἔςι δὲ καὶ τὸ κινούμενον μόνως· εἶτα ἐπακτέον τὸ "τοίνυν ἔςι τι ὁ οὐ κ. κ." καὶ τὰ ἑξῆς, ἵν' ᾖ τὸ πᾶν τοιοῦτον. ἐπεὶ δέ ἐςι τοῦ κινουμένου μόνως καὶ τοῦ κινοῦντος μόνως μέσον τὸ κινοῦν ἅμα καὶ κινούμενον, εἰσὶ δὲ τὰ δύο, τό τε κινούμενον μόνως καὶ τὸ κινοῦν ἅμα καὶ κινούμενον, δεῖ εἶναι καὶ τὸ ἀκίνητον.

ὀρεγόμεθα δὲ διότι ἔδοξε καλόν, ἢ καὶ ἔμπαλιν, διότι δοκεῖ, ὀρεγόμεθα. οὕτως οὖν περὶ τούτων εἰπὼν συνάγει ὅτι τὸ πρῶτον νοητὸν καὶ τὸ πρῶτον ὀρεκτὸν τὸ αὐτό ἐςι, λέγων, "ἀρχὴ γὰρ" κτλ. 248 7.

ἑτέραν δὲ συςοιχίαν λέγει τὴν τοῦ καλοῦ, ὑφ' ἣν ἐςι καὶ τὰς Πυθαγορείους οὐσία φῶς τρίγωνον περιττὸν καὶ ὅσα ἐκεῖσε κατηρίθμηνται. εἰσὶν οὖν πάντα νοητὰ τὰ ὑπὸ τὴν τοῦ ἀγαθοῦ συςοιχίαν, ἀλλὰ μάλιςα τούτων ἐςὶ νοητὴ ἡ οὐσία, καὶ τῆς οὐσίας πάλιν μάλιςά ἐςι νοητὴ ἡ ἁπλῆ κατ' ἐνέργειαν. 248 9.

"ἔςι — αὐτό." ἔνςασίν τινα διὰ τούτων λύει δυναμένην πρὸς τὰ λεγόμενα φέρεσθαι τοιαύτην· εἰ ἡ πρώτη οὐσία καὶ ἀκίνητος ἁπλῆ ἐςί, τὸ δὲ ἁπλοῦν ἕν ἐςιν, ἡ ἄρα ἀκίνητος οὐσία μία ἐςίν. δείξει δὲ αὐτὸς ὅτι εἰσὶ καὶ ἄλλαι ἀκίνητοι οὐσίαι ἐν τούτῳ τῷ βιβλίῳ. λύει δὴ ταύτην λέγων, ὅτι οὐκ ἔςι τὸ ἁπλοῦν καὶ ἓν ταὐτόν. 248 11.

"ἐν τῇ αὐτῇ συςοιχίᾳ," ἤτοι ἐν ᾗ ἐςὶ τὸ καθ' αὐτὸ καὶ δι' αὐτὸ αἱρετὸν καὶ ἄριςον, κατ' ἀναλογίαν δέ. καὶ ὃ ἂν εἴη πρῶτον, λεχθήσεται ἄριςον. 248 14.

ταῦτα εἰπὼν λέγει, ὅτι δέ ἐςι πρὸς οἷς εἴπομεν ἐν τοῖς ἀκινήτοις καὶ τὸ οὗ ἕνεκα, δηλοῖ ἡ διαίρεσις, λέγων διαίρεσιν ἐν ᾗ πολλάκις εἴρηκε τὴν τῶν ἐναντίων πεποιηκέναι ἀναγωγήν· ταύτην δὲ πεποίηκεν ἐν τῷ περὶ τ' Ἀγαθοῦ ἐπιγραφομένῳ βιβλίῳ. ἐν δὲ τῇ λέξει τῇ "ἔςι γάρ τινι τὸ οὗ ἕνεκα," τὸ "γὰρ" ἀντὶ τοῦ δέ συνδέσμου ἐκληπτέον, ἵν' ᾖ, τὸ δὲ οὗ ἕνεκά τινί ἐςιν· τὰ γὰρ γινόμενα καὶ πραττόμενα ἕνεκα τῆς εὐδαιμονίας τινὶ πράττεται, οἷον τῷ Σωκράτει. [τοῦ δὲ] "ὧν τὸ μὲν ἔςι τὸ δ' οὐκ ἔςι" "ὧν" λέγοι ἂν τὰ ὧν ἕνεκα ἡ πρᾶξις, τὸ δὲ "τὸ δ' οὐκ ἔςι" τὸ πρᾶττον. εἴη δ' ἂν τὸ λεγόμενον· τὸ οὗ ἕνεκα, ὅπερ ἔςι, τοῦτο ἐςίν· τὸ δὲ τούτου ἕνεκα, οὐκ ἔςιν ὅπερ ἐκεῖνο. τὸ γὰρ κινούμενον ἕνεκα τοῦ ἀγαθοῦ, οὐκ ἔςιν ἀγαθόν, τὸ δὲ ἀγαθὸν ὅπερ ἐςίν, οὗ ἕνεκα ἀγαθόν ἐςιν. κινεῖται δὲ 248 15.

ἕως ὅ καταλάβοι τὸ ἀγαθόν· καταλαβὸν δὲ ἵσταῖ. εἰ δὲ τὸ πρῶτον αἴτιον, ὅπερ καὶ πρῶτον ἀγαθόν ἐστιν, ἄπειρόν ἐστιν, οὐδέποτε ἂν τὴν ὁλότητα τῆς ἀγαθότητος αὐτοῦ, ὥσπερ ἐπὶ τῶν μερικῶν ἀγαθῶν ἔχει, τὸ ἐφιέμενον αὐτοῦ καταλήψεῖ· διὰ τοῦτο ἀεὶ κινήσει ὡς ἐρώμενον ἀκατάληπτον. ταῦτα εἰπὼν λέγει καὶ πῶς κινεῖ τὸ πρῶτον αἴτιον πάντα, ὅτι κινεῖ μὴ τὸ κυκλοφορητικὸν σῶμα ὡς ἐρώμενον καὶ ἐφετόν. κινούμενον δὲ ὑπ' αὐτοῦ προσεχῶς ὁ οὐρανὸς αὐτὸς τὰ ἄλλα κινεῖ· ἐπεὶ δὲ πᾶσα κίνησις δοκεῖ ἐξιστᾶν τὸ πρᾶγμα ἀφ' ὅ ἔστιν, εἶπε δὲ ὅτι ὁ οὐρανὸς κινεῖται, ἵνα μή τις ὑπολάβῃ ὅτι τῆς ἑαυτοῦ φύσεως ἐξίσταται, λέγει "εἰ μὴ οὖν τι κινεῖται, ἐνδέχεται ἄλλως ἔχειν," τουτέστιν ἐπεὶ κινεῖται ὁ οὐρανός, ἐνδέχεται αὐτὸν ἄλλως ἔχειν. καὶ πῶς ἐνδέχεται κινούμενος ἄλλως ἔχειν κινούμενος, ἐπάγει· "ὥστε εἰ φορὰ ἡ πρ. ἐν. ἐστιν ἡ κιν., ταύτην δὲ ἐνδ. ἄλλ. ἔχ." καὶ ὑποστικτέον εἰς τὸ "κινεῖται." ὃ δὲ λέγει τοιοῦτόν ἐστιν. ἐὰν ἐστὶν ἡ ἐνέργεια τοῦ οὐρανοῦ ἡ πρώτη φορά, διότι κινεῖται καὶ καθὸ ὅλως κίνησιν ἔχει, ταύτῃ λεχθήσεται ὡς ἐνδέχεται ἄλλως ἔχειν, ἤτοι κατὰ τόπον φέρεται ἤτοι κύκλῳ κινεῖται. τὸ δὲ "καὶ εἰ μὴ κατ' οὐσίαν" ἀντὶ τοῦ, εἰ καὶ μὴ κατὰ τὴν ἑαυτοῦ φύσιν κινεῖται, μηδὲ ἐξίσταται αὐτῆς (ἀΐδιος γάρ ἐστι κατὰ τὸ κύκλῳ φέρεσθαι), οὐδὲν κωλύει, εἰ μὴ καὶ ἀναγκαῖον ἀεὶ κινεῖσθαι. ταῦτα εἰπὼν λέγει "ἐπεὶ δέ ἐστι — ἄλλως ἔχ.," ἢ ὅλως κινεῖσθαι.

248 26. "καὶ ἡ ἀνάγκη, καλῶς, καὶ οὕτως ἀρχή." ὑποστικτέον εἰς τὸ "ἀνάγκη."

249 3. ἐπεὶ γὰρ ἡ ἐνέργεια αὐτοῦ (τοῦ πρώτου αἰτίου) οὐδὲν ἄλλο ἐστὶν ἢ τὸ νοεῖν ἑαυτόν, ἡ δὲ ἐνέργεια αὐτοῦ ἡδονὴ αὐτοῦ ἐστίν, ἐπὶ τούτῳ ἄρα ταύτην ἀεὶ ζῇ τὴν ζωήν, λέγω δὴ τῷ νοεῖν ἑαυτόν. ἥτις οὖν ἡμῖν ποτὲ ζωὴ καὶ διαγωγὴ γίνεται, ταύτην ἀεί ἐστι τὸ πρῶτον αἴτιον, τουτέστιν αὐτός ἐστιν ἀεὶ ἡ ἀρίστη ζωή.

249 5. τὰς δὲ ἐλπίδας πάλιν καὶ μνήμας φιλοῦμεν διὰ τὰς ἐνεργείας... λέγοι δ' ἂν καθ' αὐτὸ νόησιν τὴν κατ' ἐνέργειαν νοῦν, ὅστις διαφέρει τοῦ καθ' ἕξιν, ὅστις πάλιν καθ' ἕξιν διαφέρει τοῦ δυνάμει· ἔστι γὰρ ὁ καθ' ἕξιν νοῦς εἶδος καὶ δύναμις καὶ τελειότης τοῦ δυνάμει νοῦ, ἥτις ἕξις ἐν ἑαυτῷ γίνεται ἔκ τε τῆς τοῦ καθόλου περιλήψεως καὶ ἐκ τοῦ τὰ εἴδη χωρίζειν ἀπὸ τῆς ὕλης δύναται, ἃ τρόπον

τινὰ ταὐτά ἐςιν ἀλλήλοις· ὅ τε γὰρ εἶδός τινος χωρὶς τῆς ὕλης λαβὼν ἔχει τὸ κοινόν τε καθόλου· ὁ γὰρ τὸ εἶδος τοῦ ἀνθρώπου λαβὼν χωρὶς τῶν ὑλικῶν περιςάσεων ἔχει τὸν κοινὸν ἄνθρωπον· ἡ γὰρ τῶν καθ' ἕκαςα πρὸς ἀλλήλους διαφορὰ παρὰ τῆς ὕλης λαμβάνεται· τοῦτο γὰρ ἐν αὐτῇ γίνεται, ἐπεὶ τά γε εἴδη αὐτῶν, καθ' ἃ εἰσιν ἄνθρωποι, ὐδεμίαν ἔχει διαφοράν. ὅ τε τὸ κοινὸν τὸ ἐπὶ τοῖς καθ' ἕκαςα συνιδὼν τὸ εἶδος πάλιν χωρὶς τῆς ὕλης λαμβάνει· τοῦτο γὰρ ἐν αὐτοῖς τὸ κοινόν τε καὶ ταὐτόν. ἐγγίνεται δὲ ἡ τοιάδε ἕξις τῷ νῷ τὴν ἀρχὴν κατ' μετάβασιν ἀπὸ τῆς περὶ τὰ αἰσθητὰ συνεχοῦς ἐνεργείας, ὥσπερ ὄψιν τινὰ ἀπ' αὐτῶν λαμβάνοντι τοῦ καθολοῦ θεωρητικήν, ὃ κατ' ἀρχὰς μὲν νόημα καὶ ἔννοια καλεῖται, πλεονάσαν δὲ καὶ ποικίλον καὶ πολύτροπον, ὡς δύναται καὶ χωρὶς τῆς αἰσθητικῆς ὑποβάθρας ποιεῖν τοῦτο, νοῦς ἤδη. ὅταν γὰρ ἐν ἕξει γένηται τοιαύτῃ διὰ τὰς συνεχεῖς ἐνεργείας, ὥςε δι' ἑαυτοῦ λοιπὸν ἐνεργεῖν δύναται, τότε ὁ ὡς ἕξις καλούμενος νοῦς γίνεται, ἀνάλογος ὢν τῷ ἐπιςήμονι, ὃς τοῦ τε κατὰ δύναμιν ἐπιςήμονος λεγομένου καὶ τοῦ κατ' ἐπιςήμην ἐνεργοῦντός ἐςι μεταξύ· ὃς ὅσον ἀπολείπεται δοκεῖ τοῦ κατ' ἐπιςήμην ἐνεργοῦντος, τοσοῦτον πλεονεκτεῖ τὸν κατὰ δύναμιν ἐπιςήμονα. ἐνεργοῦσα δὲ ἤδη ἡ ἕξις ὁ κατ' ἐνέργειαν γίνεται νοῦς· ἀποκείμενά πώς ἐςιν ἀθρόα καὶ ἠρεμοῦντα νοήματα (*). καὶ ἐπεί ἐςιν ὁ κατ' ἐνέργειαν νοῦς ὐδὲν ἄλλο ἢ τὸ εἶδος τὸ νοούμενον, ὥσπερ ἡ κατ' ἐνέργειαν αἴσθησις τὸ κατ' ἐνέργειαν αἰσθητόν, ὁ ἐν ἕξει νοῦς (οὗτος δέ ἐςιν ὁ ὑφ' αὐτοῦ νοεῖν δυνάμενος καὶ τὰ τῶν νοητῶν εἴδη λαμβάνειν καθ' αὑτά), οὗτος ἤδη δύναται καὶ ἑαυτὸν νοεῖν· ἐπεὶ γὰρ τὸ νοούμενον εἶδος αὐτός ἐςιν, εἴ γε νοῶν ὃ νοεῖ γίνεται. ὁ ἄρα ἕξιν ἔχων τοῦ τὰ εἴδη νοεῖν, οὗτος ἕξιν καὶ δύναμιν ἔχει τοῦ νοεῖν ἑαυτόν· ὃ γὰρ δύναται νοεῖν, τοῦτο αὐτὸ νοῦς γίνεται, καὶ ἔςιν, ὅταν νοῇ, προηγουμένως μὲν καθ' αὐτὸν νοῶν τὸ νοητὸν εἶδος, κατὰ συμβεβηκὸς δὲ ἑαυτόν, τῷ συμβεβηκέναι αὐτῷ, ὅταν νοῇ, γίνεται ἐκεῖνο ὃ νοεῖ. πρὸ μὲν οὖν τοῦ κατ' ἐνέργειαν τὸν νοῦν νοεῖν πρὸς ἄλληλά ἐςι τὸ νοοῦν καὶ τὸ νοούμενον καὶ ἀντικείμενα ἀλλήλοις ὡς τὰ πρός τι· ὅταν δ' ἐνεργῶσιν, ἐν γι-

(*) intellectus actu fit: intellectus enim secundum habitum est universae quodammodo intelligentiae, quae repositae sunt et quiescunt. *Sepulv.*

νόμενα παύε͵ τῆς ἀντιθέσεως· ὐδὲ γὰ ἐφαρμόζειν αὐτοῖς οἷόν τέ ἐςι τὸν τῦ πρός τι λόγον. διὸ ὁ κατ' ἐνέργειαν νῦς ὁ αὐτὸς γινόμενος τῷ νοητῷ, εὐλόγως ἑαυτὸν λέγε͵ νοεῖν. ὁ δὲ νῦς ὁ κατ' ἐνέργειαν ἑαυτὸν νοεῖ· ὁ γὰ νοεῖ, τῦτο αὐτὸ γίνε͵· τὰ γὰ εἴδη χωρὶς ὕλης νοεῖ· ὐ γὰ τόδε ἀλλὰ τὸ τῷδε εἶναι νοεῖ, ὡς προείρη͵. 5

249 11. ἔχει δὲ θεῖον τὸ νοεῖν ἑαυτόν. "τῦτο μᾶλλον ἐκεῖνυ," τυτέςι τῦ πρώτυ νοῦς ἐςιν· ἐκεῖνο ὖν φησίν, ὅπερ δοκεῖ τῦ ἐνεργείᾳ νῦ θειότατον καὶ τιμιώτατον, τῦτο δ' ἐςὶ τὸ νοεῖν ἑαυτόν.

250 1. δέδεικ͵ δὲ καὶ ἐν τῷ Θ τῆς Φυσικῆς Ἀκροάσεως ὅτι καὶ ἀσώματος καὶ ἀμερής ἐςιν ἡ τοιαύτη ὐσία· καὶ ὑπομιμνήσκει τῶν ἐκεῖ 10 ῥηθέντων.

250 6. ἄπειρον δὲ σῶμα ὅτι ὅλως ὐκ ἔςι δέδεικ͵ καὶ ἐν τῷ Γ τῆς Φυσικῆς Ἀκροάσεως (c. 5), δέδεικ͵ καὶ ἐν τῷ Α τῆς περὶ Οὐρανῦ (c. 5).

250 15. οἱ μὲ γὰ τὰς ἰδέας αἰτίας τῶν τῆδε τιθέμενοι πότερον καὶ τῶν 15 κινήσεων αἰτίας ἐτίθεντο ὐδὲν λέγυσιν.

250 21. ἀλλὰ ταῦτα μὲ προδιωρίζω, "ἡμῖν δέ," φησὶν ὁ Ἀριςοτέλης, "ἐκ τῶν ὑπ. καὶ δεδειγμένων ῥητέον" ὅτι ἡ πρώτη ἀρχὴ τὸ πρῶτον πάντων τῶν ὄντων ἀκίνητόν ἐςι καὶ καθ' αὐτὸ καὶ κ͵ συμβεβηκός, κινῦν δὲ ὡς ἐφετὸν δηλονότι τὴν πρώτην καὶ ἀίδιον καὶ μίαν 20 κίνησιν.

250 26. δέδεικ͵ γὰ καὶ τῦτο ἐν τῇ Φυσικῇ Ἀκροάσει (Θ).

250 28. λέγει δὲ πᾶν τὴν ἀπλανῆ, ἣν φαμεν κινεῖν ὡς ἐφετὸν τὴν πρώτην καὶ ἀκίνητον ὐσίαν.

251 1. δέδεικ͵ ἐν τῇ περὶ Οὐρανῦ. ἐπειδὴ ὖν τῦθ' ὁρῶμεν, ἀνάγκη 25 καὶ τῶν πλανωμένων ἑκάςην φορὰν ὑπὸ ἀκινήτυ κινεῖ͵ καὶ καθ' αὐτὴν ἀκινήτυ ὐσίας. εἰ δὲ εἴη γεγραμμένον "ὑπὸ ἀκινήτυ τε κινεῖ͵ καθ' αὐτό," καὶ διὰ ταύτης τῆς γραφῆς τὸ αὐτὸ δηλοῖ, καὶ ὐ μόνον ὑπὸ ἀκινήτυ καὶ καθ' αὐτὸ ὐσίας ἀνάγκη αὐτὴν κινεῖ͵, ἀλλὰ καὶ ὑπὸ ἀϊδίυ. 30

251 27. τῦτο εἰπὼν εὐθὺς ἱςορεῖ ἅ τε Εὔδοξος περὶ τῶν σφαιρῶν ἔλεγε καὶ τῦ πλήθυς αὐτῶν καὶ Κάλλιππος· καὶ δεξάμενος τὴν προθήκην τῶν σφαιρῶν, ἣν ὁ Κάλλιππος προσέθηκεν (ὁ γὰ Εὔδοξος εἴκοσι καὶ ἓξ τὰς πάσας ἐτίθετο, Κάλλιππος δὲ τριάκοντα καὶ τρεῖς),

ὕτως αὐτὰς ταῖς τριάκοντα καὶ τρισὶν ἄλλας εἴκοσι καὶ δύο προσίθησι. "Εὔδοξος — σφαίραις." ὅσας μὲν ὖν τὰς σφαίρας καὶ οἵως κινεῖται καὶ διὰ τίνα αἰτίαν Εὔδοξος καὶ Κάλλιππος καὶ ὕστερον Ἀριστοτέλης ἔλεγον, ἐν τῷ δευτέρῳ τῆς περὶ Οὐρανοῦ (2 12 p. 293 a 4) κατὰ τὴν τῆς λέξεως ἐξήγησιν τὴν "καὶ ἔτι διὰ τοῦτο δὲ ἐν ἔχουσι σῶμα καὶ αἱ ἄλλαι φοραί," ἕως τοῦ "παντὸς δὲ πεπερασμένου σώματος πρὸς πεπερασμένον ἡ δύναμίς ἐστι," μετὰ πολλῆς εἴρηται τῆς ἐπιμελείας. σχεδὸν δὲ καὶ τὸ ἐνεστὼς χωρίον τὸ "Εὔδοξος" κτλ. ἕως τοῦ "τὸ μὲν ὖν πλῆθος τῶν σφαιρῶν ἔστω τοσοῦτον" (p. 1074 a 14) ἐκεῖσε ἐξηγησάμεθα. διὸ ἐκεῖθεν τὴν τούτου σαφήνειαν ὁ βουλόμενος πορίζέσθω. ἐπεὶ δέ τινες τῶν λέξεων ἐκεῖσε οὐκ ἐσαφηνίσθησαν, νῦν ἄξιόν ἐστιν αὐτὰς ἐπισκέψασθαι. ὧν διὰ τῆς πρώτης τῆς "ὧν τὴν μὲν πρ. — εἶναι" οὐ τοῦτό φησιν, ὡς ἄν τῳ δόξειεν, ὅτι ἡ ἀπλανὴς πρώτη ἐστί, καίτοι καὶ οὔσης πρώτης, ἀλλ' ὅ φησι τοῦτό ἐστιν, ὅτι τριῶν οὐσῶν σφαιρῶν κατὰ Εὔδοξον τῶν φερουσῶν τὸν ἥλιον, ἡ μὲν πρώτη καὶ περιέχουσα τὰς λοιπὰς δύο καὶ τὴν αὐτὴν τῇ ἀπλανεῖ κινουμένη κίνησιν (ἀπὸ ἀνατολῆς γὰρ ἐπὶ δύσιν ἔλεγον αὐτὴν κινεῖσθαι, καὶ δι' ἣν αἰτίαν εἴπομεν ἐν τῇ περὶ Οὐρανοῦ), αὕτη ὖν ἡ πρώτη ὡς ἀπλανὴς ἐνομίζετο τῷ Εὐδόξῳ πρὸς τὰς λοιπὰς δύο τὰς ὑπ' αὐτῆς περιεχομένας. καὶ οὐ μόνον τὴν τοῦ ἡλίου πρώτην σφαῖραν ἀπλανῆ ἔλεγεν, ἀλλὰ καὶ τὴν τοῦ Κρόνου καὶ τὴν τοῦ Διὸς καὶ τὰς ἑκάστου τῶν ἄλλων ἀστέρων πρώτας καὶ μείζονας ἀπλανεῖς ἔλεγεν, ὡς εἶναι μίαν μὲν ἀπλανῆ τὴν πρώτην, ἐν ᾗ τὸ χῦμα τῶν τὰ ζῳδία ἀναπληρούντων ἀστέρων εἰσίν, ἑτέραν δὲ τὴν τοῦ Κρόνου, καὶ ἄλλην τὴν τοῦ Διός, καὶ ἑφεξῆς ἃς ἀνάστρους Θεόφραστος ἔλεγεν. τὸ δὲ "τὴν δὲ τρίτην — ζῳδίων" λελοξωμένον κύκλον ἐν τῷ πλάτει τῶν ζῳδίων ἔλεγεν, ὡς ἐν τῇ περὶ Οὐρανοῦ εἴρηται, ὃν δοκεῖ ὁ ἥλιος τῷ ἑαυτοῦ κέντρῳ γράφειν φερόμενος ὑπὸ τῆς ἐν ᾗ δέδεται σφαίρας, ὃς καὶ δοκεῖ ἐκπίπτειν τὰ τροπικὰ σημεῖα διὰ τὸ μὴ ἀεί, ὅταν τὰς τροπὰς ὁ ἥλιος ποιῆται, ὁρᾶσθαι ἀπὸ τῶν αὐτῶν τόπων ἀνατέλλων. τὸ δὲ "ἐν μείζονι δὲ πλάτει λελοξῶσθαι καθ' ὃν ἡ σελήνη φέρεται ἢ καθ' ὃν ὁ ἥλιος" ἴσον ἐστὶ τῷ τὸ δὲ πλάτος τῆς λοξώσεως τοῦ κύκλου, ὃν ἡ σελήνη τῷ αὐτῆς κέντρῳ γράφειν δοκεῖ, μεῖζόν ἐστι τοῦ πλάτους τῆς λοξώσεως τοῦ κύκλου, ὃν ὁ ἥλιος τῷ οἰκείῳ κέντρῳ

γράφειν δοκεῖ· κατείληπτο γὰρ καὶ τοῦτο ἐκ τοῦ μὴ ἐκ τῶν αὐτῶν τόπων τὰς ἀνατολὰς ἐν ταῖς τροπαῖς τὸν ἥλιον καὶ τὴν σελήνην ποιεῖσθαι. ἔστω γὰρ ὁ ὁρίζων κύκλος ὁ αηβμγδ, ἰσημερινὸς δὲ ὁ δεβ, ὁ λελοξωμένος δὲ ἐν τῷ πλάτει τῶν ζῳδίων, ὃν ὁ ἥλιος τῷ ἑαυτοῦ κέντρῳ δοκεῖ γράφειν, ἔστω ὁ αεγ, ὃν δὲ πάλιν ἡ σελήνη τῷ ἑαυτῆς κέντρῳ γράφειν δοκεῖ ἔστω ὁ ηεμ· καὶ ἀνατελλέτω ὁ ἥλιος καθ' ἣν ὥραν ποιεῖται τὴν θερινὴν τροπὴν ἀπὸ τοῦ α σημείου, καθ' ἣν δὲ τὴν ἰσημερίαν, ἀπὸ τῆς δ σημείου. δῆλον δ' ὅτι τὸ μεῖζον πλάτος τῆς λοξώσεως ἡ δα περιφέρεια ἐστίν. ἡ δὲ σελήνη ὅταν τὴν πρὸς τὸ βόρειον τροπὴν ποιῆται, ἀνατελλέτω ἀπὸ τοῦ η σημείου· φανερὸν δὴ ὅτι τὸ μεῖζον πλάτος τῆς λοξώσεως αὐτῆς ἡ δη περιφέρειά ἐστι, καὶ ἔστι μείζων τῆς δα περιφερείας, ἥτις ἦν τὸ μεῖζον πλάτος τῆς ἡλίου λοξώσεως. τούτου οὖν ἐστὶ δηλωτικὸν τὸ "ἐν μείζονι πλάτει λελοξῶσθαι καθ' ὃν καὶ ἡ σελήνη φέρεται ἢ καθ' ὃν ὁ ἥλιος." τὸ δὲ "τῆς δὲ τρίτης ἁπάντων τοὺς πόλους ἐν τῷ διὰ μέσων τῶν ζῳδίων εἶναι" ἀντὶ τοῦ, πᾶσαι αἱ τρίται σφαῖραι τοὺς πόλους ἔχουσιν ἐν ταῖς κύκλοις τοῖς γραφομένοις διὰ μέσων τῶν ζῳδίων ὑπὸ τῶν κέντρων τῶν ἄστρων. τὸ δὲ "τὴν αὐτὴν ἐτίθετο τάξιν," τουτέστι τῶν ἀποστημάτων, ἀντὶ τοῦ," ὁποίας ἔλεγεν Εὔδοξος πρώτας καὶ δευτέρας σφαίρας, ταύτας καὶ ὁ Καλλιππος πρώτας ἔφασκεν· καὶ ὅσον ἂν, φέρε εἰπεῖν, ἀφεστηκέναι τὴν Κρονιακὴν τῆς Ἑρμαϊκῆς σφαίρας ἔλεγεν ὁ Εὔδοξος, τοσοῦτον καὶ ὁ Καλλιππος ἔφασκεν αὐτὴν ἀφεστηκέναι. τὸ δὲ "καθ' ἕκαστον τῶν πλανωμένων ἑτέρας σφαίρας μιᾷ ἐλάττους εἶναι τὰς ἀνελιττούσας," ἀντὶ τοῦ ἐπειδὴ αἱ τὸν Κρόνον φέρουσαι σφαῖραι τέσσαρές εἰσιν, αἱ ἀνελίττουσαι τρεῖς ἔστωσαν· αἱ γὰρ τρεῖς μιᾷ ἐλάττονές εἰσι τῶν τεσσάρων. πάλιν ἐπεὶ αἱ τὸν Ἄρεα καὶ Καλλιππον φέρουσαι πέντε εἰσί, προσκείσθωσαν αὐταῖς ἀνελίττουσαι τέσσαρες· αἱ γὰρ τέσσαρες μιᾷ ἐλάττους εἰσὶ τῶν πέντε· καὶ ἐπὶ τῶν ἄλλων ὁμοίως. τίνα δὲ χρείαν τῷ Ἀριστοτέλει παρέχει ἡ τῶν ἀνελιττουσῶν προθήκη, εἴρηται ἐν τῇ περὶ τοῦ Οὐρανοῦ. τὸ δὲ "καὶ εἰς τὸ αὐτὸ ἀποκαθιστάσας τῇ θέσει τὴν πρώτην σφαῖραν ἀεὶ τοῦ ὑποκάτω τεταγμένου ἄστρου" δῆλον ἔστι γράψασι κύκλους τινάς. ἔστωσαν γὰρ τρεῖς κύκλοι, ὁ αβ καὶ ὁ δε καὶ ὁ ζη. ἐν δὲ τῷ ζη ἔστω ἀστήρ, οἷον ὁ Ζεύς, καὶ ἔστω

τὸ κ σημεῖον. τὸ δὲ α ἔςω σημεῖόν τι καὶ τὸ δ καὶ τὸ ζ καὶ τὸ βη· μὴ ἔςωσαν δὲ ἀςέρες, ἀλλὰ νενοήθωσαν μόνον σημεῖά τινα, καὶ τὸ α καὶ τὸ δ καὶ τὸ ζ ἐπὶ τῆς αὐτῆς εὐθείας· ὁμοίως καὶ τὰ βη· καὶ κεκινήθω ἡ μὲν αβ σφαῖρα ὡς ἐπὶ τὸ β σημεῖον ὥςε ἐλθεῖν τὸ α
5 ἐν ᾧ τὸ β ἐςίν· ἡ δὲ δε καὶ ἡ ζη κεκινήσθωσαν ἰσοταχῶς ὡς ἐπὶ τὰ δζ· ὥςε ἔρχεσθαι τὰ εη ἐπὶ τὰ δζ. ἐπεὶ οὖν ἐπὶ τὰ αὐτὰ κινοῦνται ἡ εδ καὶ ἡ ηζ σφαῖραι ἰσοταχεῖς οὖσαι, δηλονότι ἡ τῆς ηζ σφαίρας κίνησις διπλασίων ἐςὶ τῆς εδ σφαίρας κινήσεως· ὅση γάρ ἐςιν ἡ τῆς ηζ σφαίρας κίνησις, τοσαύτην αὐτῇ ἐνδίδωσι καὶ
10 ἡ τῆς εδ σφαίρας κίνησις, ἐπειδὴ ἐπὶ τὰ αὐτὰ φέρονται· ὥςε ἐν ᾧ χρόνῳ τὸ ε ἐπὶ τὸ δ ἦλθεν, ἐν τῷ αὐτῷ χρόνῳ τὸ η τὸν ηζ κύκλον ὅλον διελθὸν ἦλθεν ἂν πάλιν ἐπὶ τὸ η, εἰ μὴ ἡ αβ σφαῖρα ἀντιφερομένη τῇ δε καὶ ὡς ἐπὶ τὸ β αὐτὴν ἔλκυσα οὐκ εἴα αὐτὴν ἐνδιδόναι τῇ ζη σφαίρᾳ ἄλλην τοσαύτην κίνησιν ὅσην αὐτὴ κι-
15 νεῖται· ὥςε ἡ αβ ἐμποδίζουσα τὴν δε καὶ ὡς ἐπὶ τὸ β ἕλκυσα, καὶ ἡ δε ἐμποδίζει τὴν ζη, καὶ ἐπὶ τούτῳ ἀεὶ τὴν αὐτὴν θέσιν ἡ ζη περιφέρεια φυλάξει τῇ θέσει τῆς αβ· ὥςε ὅταν τὸ η ἐπὶ τὸ ζ ἔλθῃ, καὶ τὸ ζ ὅπου νῦν τὸ η ἐςί, τότε καὶ τὸ α ἐλεύσεται ὅπου νῦν τὸ β ἐςί, τὸ δὲ β ὅπου τὸ α, καὶ εἰσὶ πάντοτε ἐν τῇ αὐτῇ εὐθείᾳ τὰ
20 αζ καὶ βη σημεῖα, καὶ ὅταν μὲν ἀνατέλλῃ τὸ α, ἀνατέλλει καὶ τὸ ζ, καὶ πάλιν ὅταν δύνῃ τὸ β, τότε καὶ τὸ η, καὶ οὐδέποτε οὔτε προανατέλλουσιν οὔτε προδύνουσι τοῦ αζ. κἂν ἡ αβ καὶ ἡ ηζ ἐπὶ τὰ αὐτὰ φέρωνται, τὸ αὐτὸ συμβήσεται. ἡ δὲ δε σφαῖρα νενοήθω ἀνελίττουσα. τοῦτο οὖν ἔςιν ὃ φησι "καὶ εἰς τὸ αὐτὸ ἀποκαθιςάσας τῇ θέσει τὴν
25 πρώτην σφαῖραν ἀεὶ τοῦ ὑποκάτω τεταγμένου ἄςρου." καὶ εἴη ἂν τὸ λεγόμενον οὕτω. κινεῖσθαι νενοήθωσαν αἱ ἀνελίττουσαι, ὥςε ποιεῖν τὴν πρώτην καὶ ἐξωτάτην τῶν σφαιρῶν τῶν φερουσῶν τὸν Δία σφαῖραν ἀεὶ τὴν αὐτὴν θέσιν φυλάττειν πρὸς τὴν σφαῖραν ἐν ᾗ ἐνδέδεται ὁ ἀςήρ, καὶ μηδέποτε ἡγεῖσθαι τὰ λαμβανόμενα ἐν τῇ
30 πρώτῃ σφαίρᾳ σημεῖα τῶν λαμβανομένων ἐν τῇ σφαίρᾳ ἐν ᾗ ὁ ἀςὴρ ἐνδέδεται σημείῳ, ἀλλ' ἀεὶ συναναπέλλειν καὶ συνδύνειν. τὸ δὲ "ἐν αἷς μὲν αὐτὰ φέρεται σφαίραις, αἱ μὲν ὀκτὼ αἱ δὲ πέντε καὶ εἴκοσίν εἰσιν," ἴσον ἐςὶ τῷ ὥςε κατὰ τὸν Καλλιππον ὀκτὼ μὲν εἶναι τὰς τοῦ ἡλίου καὶ τῆς σελήνης, εἴκοσι δὲ καὶ πέντε τὰς τῶν ἄλλων, Κρόνου

Διὸς καὶ τῶν λοιπῶν· τὸ γὰρ πρὸ ὀλίγου ῥηθέν, "τῷ δ' ἡλίου καὶ τῆς σελήνης δύο ᾤετο προσθετέας εἶναι," ἴσον ἐστὶ τῷ ἀνὰ μίαν· ἐπεὶ γὰρ ὁ Εὔδοξος ἓξ ἐτίθετο τὰς τοῦ ἡλίου καὶ τῆς σελήνης, ὁ δὲ Καλλιππος ὀκτὼ αὐτάς φησι, δηλονότι ἀνὰ μίαν αὐταῖς προσέθηκεν. ὁμοίως καὶ ταῖς λοιπαῖς τῶν πέντε ἀστέρων σφαίραις ἀνὰ μίαν προσέθηκε· τοῦ γὰρ Εὐδόξου τέτταρας λέγοντος εἶναι ἑκάστου τῶν λοιπῶν πέντε ἀστέρων, οὗτος πέντε αὐτὰς πεποίηκεν. τὸ δὲ "τούτων δὲ μόνας ἀνελιχθῆναι οὐ δεῖ, ἐν αἷς τὸ κατωτάτω τεταγμένον φέρει," ἀντὶ τοῦ μόνας τὰς τὴν σελήνην (αὕτη γάρ ἐστι κατωτάτω πάντων τῶν ἀστέρων) φερούσας οὐ δεῖ ἔχειν ἀνελιττούσας. τὸ δὲ "αἱ μὲν τὰς τῶν πρώτων δύο ἀνελίττουσαι ἓξ ἔσονται," ἀντὶ τοῦ αἱ τοῦ Κρόνου καὶ Διὸς ἀνελίττουσαι ἓξ ἔσονται· ἐπεὶ γὰρ τέτταρές εἰσιν αἱ τὸν Κρόνον φέρουσαι καὶ τέτταρες αἱ τὸν Δία, δεῖ δὲ καθ' ἕκαστον ἀστέρα τὰς ἀνελιττούσας μιᾷ ἐλάττους εἶναι, ἓξ ἔσονται αἱ τοῦ Κρόνου καὶ Διὸς ἀνελίττουσαι. ἐπὶ δὲ τῶν λοιπῶν τεττάρων, Ἄρεος Ἀφροδίτης Ἑρμοῦ ἡλίου, πέντε καθ' ἕκαστον οὐσῶν τῶν φερουσῶν, τέτταρες. γίνονται οὖν αἱ πᾶσαι ἀνελίττουσαι δὶς μὲν τρεῖς αἱ Κρόνου καὶ Διός, τετράκις δὲ τέτταρες Ἄρεος Ἀφροδίτης Ἑρμοῦ ἡλίου· ὥστε πᾶσαι δύο καὶ εἴκοσιν, ἦσαν δὲ αἱ φέρουσαι ὀκτὼ μὲν αἱ Κρόνου καὶ Διός, πέντε δὲ καὶ εἴκοσι τῶν λοιπῶν πέντε· τριῶν οὖν τούτων καὶ τριάκοντα ταῖς δύο καὶ εἴκοσι συντεθεισῶν ἀνελιττούσαις, ἅπασαί εἰσι πέντε καὶ πεντήκοντα. ταῖς γὰρ τὴν σελήνην φερούσαις, ὡς εἴρηται, οὐδὲν δεῖ ἀνελιττουσῶν, ἐχάτης οὔσης· οὕτω γὰρ Ἀριστοτέλης εἴρηκεν, ὅτι μόνας οὐ δεῖ ἀνελιχθῆναι ἐν αἷς φέρεται τὸ κάτω τεταγμένον ἄστρον. τὸ δὲ ἐπαχθὲν "εἰ δὲ τῇ σελήνῃ τε καὶ τῷ ἡλίῳ μὴ προσθείη τις ἃς εἴπομεν κινήσεις, αἱ πᾶσαι σφαῖραι ἔσονται ἑπτὰ καὶ τετταράκοντα," τοῦτο ταραχὴν ποιεῖ. ἐὰν γὰρ ἀφέλωμεν τὰς τοῦ ἡλίου δύο καὶ τὰς τῆς σελήνης δύο, ἃς προσέθηκε Καλλιππος, καὶ δῆλον ὅτι δύο ἄλλας ἀπὸ τοῦ ἡλίου τὰς ἀνελιττούσας ἐκείνας (ἀφῃρημένων γὰρ ἐκείνων δεῖ συναφαιρεῖν καὶ τὰς μελλούσας αὐτὰς ἀνελίττειν), ἓξ μὲν ἔσονται ἀφῃρημέναι, δύο αἱ φέρουσαι τὸν ἥλιον καὶ δύο αἱ ταύτας ἀνελίττουσαι πρὸς ταῖς δύο ταῖς τῇ σελήνῃ προστεθείσαις ὑπὸ Καλλίππου, οὐκέτι δὲ συμβαίνει τούτων ἀφαιρεθεισῶν ἀπὸ τῶν πέντε καὶ πεντήκοντα λοιπὰς εἶναι πάσας ἑπτὰ καὶ τετταράκοντα, ἀλλὰ ἐννέα καὶ τεττα-

ράκοντα καταλιμπάνει, ἢ ὡς ἐπιλελησμένος ὅτι τῆς σελήνης ὑ τέτταρας ἀλλὰ δύο μόνας ἀφεῖλεν. εἰ μὴ ἄρα δεῖ λέγειν ὅτι τῷ μὲ ἡλίῳ τὰς τέτταρας ἀφεῖλεν, ἃς αὐτὸς προσέθηκεν ἀνελιττύσας, καὶ ἀμφοτέρων, ἃς ὁ Καλλιππος· καὶ ὕτως ὀκτὼ τῶν ἀφαιρεθεισῶν
5 ὑσῶν ἀπὸ τῶν πεντήκοντα καὶ πέντε, αἱ λοιπαί εἰσιν ἑπτὰ καὶ τετταράκοντα, καὶ ὕτως συμβαίνει εἶναι ὃν Ἀριστοτέλης φησὶν ἀριθμόν. ἢ ὡς φησιν ὁ Σωσιγένης ἐπιστήσας, βέλτιον εἶναι φησὶ λέγειν τῷ ἀριθμῷ παρόραμα νομίζειν τοῖς γράφυσι γεγονέναι, ἢ τὰς αὐτὰς ἑβδόμας καὶ ὀγδόας σφαίρας ποιεῖν. "ὥστε καὶ τὰς — ἀκινήτ."

10 ἀλλὰ τίνα τὰ τῶν σφαιρῶν ποιητικὰ αἴτια, ἃ νῦν παραδί- 2536.
δωσι; πότερον αἱ ψυχαὶ καὶ τὰ εἴδη αὐτῶν; ἢ ὑ τὰς τύτων ψυχάς φησιν, ἐπεὶ ὑχ αὗ θεοί; αὗ γὰ εἴδη ὕσαι τῶν σφαιρῶν ἐν αὐταῖς εἰσί, καὶ κινεῖ αὐτὰς κύκλῳ διὰ μέσης τῆς φύσεως μιᾶς ὕσης καὶ τῆς αὐτῆς κινήσεως· ὑ γὰ ἄλλη ἡ τῆς ψυχῆς καὶ ἄλλη ἡ
15 τῆς φύσεως κίνησις, καὶ ἔχυσιν ἀπὸ μὲ τῆς φύσεως αἱ σφαῖραι τὴν αὐτοφυῆ καὶ ἀβίαστον καὶ κατ' αὐτὸ τὸ εἶδος ἐπιτηδειότητα πρὸς τὸ κινεῖσθαι, ἀπὸ δὲ τῆς ψυχῆς τὴν μεταβατικὴν ἐνέργειαν, πρὸς ἣν πεφύκασι διὰ τὴν φύσιν. ὑ τὰς τύτων ὕν ψυχὰς λέγει, ἀλλ' ἑτέρας ὑσίας ἀσωμάτυς καὶ χωρὶς σώματος ὕσας, ὑφειμένας μὲ
20 τῷ πρώτυ νῷ ὅσον αἱ σφαῖραι, εἰ χρὴ λέγειν, τῆς ἀπλανῦς, ὑπερτέρας δὲ τῶν ψυχῶν τῶν σφαιρῶν· ὥστε καὶ αἱ σφαῖραι ὑπὸ μὲ τῶν οἰκείων ψυχῶν κινῦνται, ὥσπερ εἴρηται, ὑπὸ δὲ τῶν τοιύτων θεῶν, ὡς ἡ ἀπλανὴς ὑπὸ τῷ πρώτυ νοός. κινεῖται δὲ ἡ ἀπλανὴς ὑπὸ τῷ πρώτυ κινητικῷ τὴν ἐπ' ἄπειρον κίνησιν· ὑ γάρ ἐστιν ἡ
25 ψυχὴ τῆς ἀπλανῦς αἰτία τῷ ἐπ' ἄπειρον κινεῖσθαι, ὑδ' ὑπ' αὐτῆς τῦτο ἔχει, ἀλλ' ὑπὸ τῷ πρώτυ κινητικῷ. ὥσπερ γὰ τὴν κίνησιν ἀπὸ ψυχῆς ἔχει, ὥσπερ εἴρηται, ὕτω τὸ ἐπ' ἄπειρον καὶ ἀεὶ κὲ τὰ αὐτὰ καὶ ὡσαύτως καὶ περὶ τὰ αὐτὰ καὶ ἐν τῷ αὐτῷ καὶ ὅσα τοιαῦτα ἀπὸ τῆς ἀκινήτυ νοερᾶς αἰτίας ἐφήκει τῷ ὑρανῷ. ὡς ὕν ὁ ὑρανὸς
30 ὑπὸ τῷ πρώτυ κινεῖται κινητικῷ, ὕτω καὶ αἱ πλανώμεναι σφαῖραι ὑπὸ τῶν οἰκείων κινητικῶν τελειωμένων καθ' ἑκάστην καὶ ἀγαθυνομένων ὑπὸ τῷ πρώτυ κινητικῷ, ἄλλα μὲ μᾶλλον ἄλλα δὲ ἧττον, τὰ μὲ τῆς Κρονιακῆς σφαίρας μᾶλλον, τὰ δὲ τῆς ἡλίυ ἧττον, καὶ τὰ λοιπὰ ὁμοίως λέγονται. καὶ τὰ τοιαῦτα κινητικὰ αἴτια ἄριστα,

ὑχ ὡς τὸ πρῶτον καὶ ὃ ταῦτα ἐξήρτηται (ἐκεῖνο μὲν γὰρ ἀνενδεὲς τῶν ἑαυτῷ καλῶν ὑπέρπληρες, ταῦτα δὲ ἐπιστρέφεται πρὸς ἐκεῖνο καὶ τῆς ἐκείνου πληρῶται ἀγαθοδοσίας), ἀλλὰ λέγεται ἄριστα ὡς πρὸς τὰς σφαίρας ἃς κινοῦσιν· ὡς γὰρ ἀρίστων τούτων ἐφίεται· ὃ γάρ τι ἐφίεται ὡς ἀρίστου, τούτου ἐρᾷ. ὥστε ὁ πολυτίμητος νοῦς ἁπλῶς λέγεται ἄριστον, ὡς καὶ ὁ πρῶτος οὐρανὸς ἁπλῶς μέγας· ταῦτα δὲ λέγεται ἄριστα ὡς πρὸς τὰς ὑπ' αὐτῶν κινουμένας σφαίρας.

253 30. κατὰ δὲ τὴν λέξιν τὴν "εἷς γὰρ λόγος καὶ ὁ αὐτὸς πολλῶν, οἷον ἀνθρώπου," τὸ "εἷς" ἀντὶ τοῦ ἕτερος γὰρ ὁ λόγος τοῦ ἀνθρώπου καθὸ ἄνθρωπος, ὁ δὲ Σωκράτης εἷς, ἤτοι καὶ ὁ Σωκράτους καθὸ Σωκράτης ἕτερος. εἰ δὲ τοῦτο, εἴπερ εἰσὶ τὰ πρῶτα αἴτια πολλά, ἕτερος ἔσται ἑνὸς ἑκάστου αὐτῶν ὁ λόγος καθὸ ἄτομα καὶ μερικά· ὥστε καὶ σύνθετα ἔσται καὶ ἔνυλα, καὶ ἕτερος ὁ λόγος τοῦ κοινῶς κατηγορουμένου αὐτῶν εἴδους, ὅπερ ἀδύνατον. τὸ δὲ "τὸ δὲ τί ἦν εἶναι οὐκ ἔχει ὕλην τὸ πρῶτον" ἀντὶ τοῦ, τὸ δὲ πρῶτον τί ἦν εἶναι, ἤτοι τὸ πρῶτον εἶδος καὶ ὁ λόγος καὶ ἡ ἐνέργεια, αὐτό φημι τὸ ζῷον ἀΐδιον ἄριστον, οὐκ ἔχει ὕλην. "παραδ. δὲ παρὰ τ. ἀρχ. καὶ παμπαλαίων ἐν μ. χ." δείξας ὅτι εἰσὶ θεοὶ καὶ τοσοῦτοι ὅσαι αἱ σφαῖραι ἐξηρτημένοι τῆς θειοτάτης καὶ ἀρίστης οὐσίας, καὶ ὑπ' ἐκείνης ὄντες, καὶ ἐκεῖθεν τὸ ἄριστοι εἶναί τε καὶ λέγεσθαι ἔχοντες, λέγει ὅτι οὐ μόνον ἡμεῖς ταύτην περὶ τούτων τὴν ἔννοιαν ἔχομεν.

254 26. εἴτε νοεῖ, φησί, τούτου δὲ ἄλλο κυριώτερον, τυτέστιν, εἴτε νοεῖ, μὴ ὅλη δὲ ἡ οὐσία αὐτοῦ νοῦς ἐστίν, ἀλλὰ τούτου ἤτοι τοῦ νοεῖν ἄλλο ἐστὶ κύριον τοῦ νοεῖν τὸν νοῦν· οὐ γάρ ἐστι τοῦτο αὐτοῦ οὐσία ἡ νόησις, τυτέστιν οὐκ ἐνδέχεται εἶναι τὴν οὐσίαν αὐτοῦ νόησιν καὶ νοῦν, εἴπερ μὴ ὅλη ἡ οὐσία αὐτοῦ νοεῖ, ἀλλὰ μέρος τι, οὐκ ἂν εἴη οὐσία αὐτοῦ ἡ ἀρίστη, ἀλλ' ἐκεῖνο ἔσται τὸ ἄριστον καθ' ὃ νοεῖ.

255 10. τὸ δὲ "καὶ γὰρ νοεῖν καὶ νόησις ὑπ. κ. τὸ χ. ν." οἶμαι ἐλλιπῶς ἀπηγγέλθαι, ὥστε λείπειν τὸ ἔτι, ἵν' ᾖ ἀρχὴ ἄλλου ἐπιχειρήματος, ὅτι τὸ πρῶτον αἴτιον οὐκ ἔστι δύναμις. ὥστε τὸ "καὶ γὰρ" κατ' ἐμὴν γνώμην ἴσον ἐστὶ τῷ ἔτι, ὡς εἶναι τὸ πᾶν τοιοῦτον, ἔτι νοεῖν καὶ ἡ νόησις ὑπ. κ. τ. χ. ν. πρόεισι δὲ ἡ δεῖξις ἐπὶ ἀξιώματι τῷ τῶν ἐναντίων ἡ αὐτὴ δύναμις. εἴη ἂν ὧν λέγων· ἔτι εἰ μή ἐστιν ἡ οὐσία αὐτοῦ νόησις καὶ νοῦς ἀλλὰ δύναμις, ἡ δὲ αὐτὴ καὶ μία δύνα-

μίς ἐςι τῶν ἐναντίων, τῷ πρώτῳ αἰτίῳ νοῦντι τὰ κάλλιςα ὑπάρξει αὐτῷ ἡ νόησις ἤτοι καὶ τὸ νοεῖν τὰ χείριςα, ὅπερ ἄτοπον.

τὸ "ἡ νόησις" ἀντὶ τοῦ δύναμις νῦν εἴληπται. 255 13.

τὸ δὲ "ἐπ' ἐνίων" πρόσκειται διὰ τὰ σύνθετα. 255 19.

5 τὰ γὰρ κυρίως νοητά, ὡς ἐν τῇ περὶ Ψυχῆς (1 3, 3 6 sqq.) 255 24.
εἴρηται, νοῖ εἰσὶ καὶ αἱ νοῖ νοητά. εἰ δὲ τοῦτο, καὶ ἡ νόησις τῷ νουμένῳ μία, τουτέςιν ἡ αὐτή.

εἴη ἂν λέγων, εἰ ἔςι τὸ νούμενον πᾶν (καθόλου γὰρ ἐπὶ παντὸς 255 25.
νουμένου ἀκουςέον τοῦ λεγομένου) σύνθετον, οὐκ ἐν τῷ νῦν οὐδ' ἐν
10 ἀκαρεῖ χρόνῳ ὁ νοῦς νοήσει τὸ νούμενον, ἀλλὰ μεταβάλλοι ἂν ἐκ τοῦ νοεῖν τόδε εἰς τὸ νοεῖν τόδε τὸ μέρος αὐτοῦ, τοῦτο δὲ γενήσεται διὰ χρονικῆς παρατάσεως· ἐν ἄλλῳ γὰρ χρόνῳ τόδε τὸ μέρος νοήσει καὶ ἐν ἄλλῳ τόδε. καὶ λύει λέγων ὅτι πᾶν τὸ μὴ ἔχον ὕλην, οἷά ἐςι τὰ νοητά, ἀδιαίρετον καὶ ἀμερὲς καὶ οὐδέν ἐςιν αὐτῶν σύνθετον.
15 πρὸς τούτοις λέγει καὶ πῶς ἑαυτὸν ὁ πρῶτος νοῦς νοεῖ, καὶ λέγει ὅτι οὐ διὰ χρόνου, ὡς φέρε εἰπεῖν ὅτι ἐν τῷδε μὲ τῷ τοῦ χρόνου μέρει τόδε τὸ μέρος αὐτοῦ νοεῖ, ἐν τῷδε δὲ τόδε (μεριςὸν γὰρ ἂν ἦν), ἀλλ' ἀμερὴς ὢν ἐν ἀμερεῖ, εἰ θέμις λέγειν, τῷ νῦν τῷ ἀτόμῳ ἑαυτὸν νοεῖ· ὥσπερ γάρ, φησίν, ὁ ἀνθρώπινος νοῦς (ἢ εἴ τις μὴ βούλοιτο
20 λέγειν ὅτι ὁ ἀνθρώπινος νοῦς, λεγέτω καθολικώτερον ὅτι ὁ τῶν συνθέτων νοῦς), ὥσπερ ὃν ὁ ἀνθρώπινος ἢ ὁ τῶν συνθέτων νοῦς ἔχει ἔν τινι χρόνῳ, οἷον ὅταν ἐνεργήσῃ καὶ τὸ τρισμακάριςον πάθος πάθῃ (τότε γὰρ ὁ ἀνθρώπινος νοῦς οὐκ ἐν τῳδὶ τοῦ χρόνου μέρει ἢ ἐν τῳδὶ τόδε ἢ τόδε τοῦ ἀρίςου νοεῖ καὶ ἐφάπτεται) αὐτοῦ ὡς δυνατὸν ἐφάψασθαι
25 αὐτοῦ (μεριςὸν γὰρ ἂν καὶ οὕτως ἦν τὸ πρῶτον αἴτιον), ἀλλὰ νοεῖ αὐτὸ ἐν ὅλῳ τινί, οἷον ἐν τῷ ἀμερεῖ καὶ ἀτόμῳ νῦν), οὕτως τὸν ἅπαντα αἰῶνα ὁ πρῶτος νοῦς αὐτὸς ἑαυτὸν νοεῖ ἀμερῶς καὶ ἀχρόνως. εἴρηται δὲ διαρκῶς ἐν τῷ τρίτῳ τῆς περὶ Ψυχῆς (c.) πραγματείας πῶς ὁ κατ' ἐνέργειαν νοῦς τὸ κυρίως νοεῖ νοητόν. οὐχ ἔχει
30 ὕν, φησίν, ὁ ἀνθρώπινος νοῦς τὸ εὖ ἤτοι τὴν ἀρίςην διαγωγὴν ἤτοι τὴν νόησιν ἤτοι τὴν ἀφὴν καὶ θεωρίαν τοῦ ἀρίςου καὶ πρώτου νοῦ, ὑπάρχοντος δηλαδὴ τοῦ πρώτου νοῦ ἑτέρου παρὰ τὸν ἀνθρώπινον νοῦν. ταύτην δὴ τὴν ἀρίςην διαγωγὴν οὐκ ἔχει ὁ ἀνθρώπινος νοῦς ἐν χρόνῳ καὶ διὰ χρόνου, ἀλλ' ἐν ὅλῳ τινί. λέγει δὲ

ὅλον τι τὸ ἄτομον νῦν, ὃ πέρας μέν ἐςι χρόνου, ὁ χρόνος δέ. ἐπειδὴ γὰρ οἷον εἶδός ἐςι τοῦ ἀνθρωπίνου νοῦ ὁ θεῖος νοῦς, ὅταν αὐτοῦ ἅψασθαι δυνηθῇ, πᾶν δὲ εἶδος ἐν τῷ ἀτόμῳ νῦν ἐπιγίνεται, δῆλον ὅτι καὶ τῷ ἀνθρωπίνῳ νῷ ἐν τῷ αὐτῷ νῦν ἡ τοῦ πρώτου νοῦ γνῶσις καὶ ἁφὴ ἐπιγίνεται. 5

256.1. λέγει δὲ ὅλον τὸν κόσμον τοῦτον τὸν αἰσθητόν.

256.12. ὁ γὰρ ἐξῆν τότε τοῖς δούλοις ἢ ςρατεύεσθαι ἢ νόμους μετέρχεσθαι ἢ φιλοσοφεῖν ἢ ἄλλο τι τῶν μεγάλως πρὸς πολιτείας σύςασιν συντεινόντων πράττειν.

256.14. τουτέςιν ἡ φύσις καὶ ἡ ἀρχὴ τῶν εἰς τὴν τοῦ ὅλου φύσιν συντεινόντων. καὶ οὐ λέγει περὶ πάντων ἁπλῶς νῦν, ἀλλὰ περὶ τῶν ἐν γενέσει ὄντων καὶ φθορᾷ. ἡ φύσις οὖν καὶ ἀρχὴ τούτων τοιαύτη, καὶ ποδαπή, ἐπάγει, "λέγω δ' οἷον εἴς γε τὸ διακριθῆναι ἀνάγκη ἅπασιν ἐλθεῖν," τουτέςιν ἀνάγκη ἅπασι τοῖς ἐν γενέσει (περὶ γὰρ τούτων νῦν, ὡς εἴρηται, λέγει) ἐλθεῖν εἰς τὸ διακριθῆναι, ἤτοι ἄλλο ἐξ ἄλλου γενέσθαι· εἰς τοῦτο γὰρ συνῆλθεν ἡ φύσις τῶν ἐν γενέσει, καὶ τοῦτο αὐτοῖς κοινόν, τὸ γίνεσθαι πάντα ἐκ πάντων, ἐκ ςοιχείων σύνθετα καὶ ἐκ συνθέτων ςοιχεῖα ἄλλον τρόπον· ὥςε δηλονότι τὰ ἐν γενέσει ἅπαντα κοινὸν ἔχουσι τὸ ἐξ ἀλλήλων γίνεσθαι. εἰπὼν δὲ ὅτι τὰ ἐξ ἀλλήλων, ἐπάγει "καὶ ἄλλα — ὅλον," τουτέςιν οὐ μόνον κατὰ τὸ γίνεσθαι ἐξ ἀλλήλων κοινωνεῖ εἰς συμπλήρωσιν τοῦ ὅλου, ἀλλὰ καὶ κατὰ τὰ ἄλλα, οἷον χρώματα σχήματα μεγέθη. ταῦτα γὰρ πάντα συντελεῖ εἰς τὴν τοῦ ὅλου φύσιν· οὐδὲν γὰρ αἰσθητὸν χωρὶς μεγέθους καὶ σχήματός ἐςιν. οὕτω μὴ οὖν ὁ ἡμέτερος καθηγεμὼν τὸ παρὸν ἐξηγεῖτο χωρίον. μήποτε δὲ τὸ "εἴς γε τὸ διακριθῆναι ἀνάγκη ἅπασιν ἐλθεῖν," τὸ "ἅπασιν" οὐκ ἐπὶ τῶν ἐν γενέσει μόνον ἀκούειν δεῖ, ἀλλ' ἐπὶ πάντων, καὶ αὐτῶν φημὶ τῶν κυκλοφορητικῶν καὶ θείων σωμάτων, ἵν' ᾖ τὸ λεγόμενον, ἀνάγκη ἅπασι καὶ τοῖς ἐν γενέσει καὶ τοῖς κυκλοφορητικοῖς ἐλθεῖν εἰς τὸ διακριθῆναι ἤτοι συςῆναι τὸν ὅλον κόσμον. ἵν' ᾖ τὸ διακριθῆναι ἀντὶ τοῦ συςῆναι· οὕτως γὰρ Ἀναξαγόρας ἔλεγεν ὅτι διακρίνας ὁ νοῦς ἀπ' ἀλλήλων τὰς ὁμοιομερείας συνέςησε τὸ πᾶν. τὸ δὲ "καὶ ἄλλα οὕτως ἐςὶν ὧν κοινωνεῖ ἅπαντα εἰς τὸ ὅλον" συνεχὲς ἂν εἴη τῷ περὶ τῆς πολιτείας ὑποδείγματι· ὡς εἰ ἔλεγεν, ὥσπερ ἐπὶ τῆς πολιτείας συςάσει πάντα κοινω-

νεῖ ἀλλήλοις, ὕτως εἰσὶ καὶ ἄλλα τινὰ κοινωνοῦντα καὶ βοηθοῦντα ἀλλήλοις εἰς τὴν τοῦ ὅκου συμπλήρωσιν.

οἱ δέ, ὥσπερ ὁ Πλάτων, τὸ ἕτερον τῶν ἐναντίων ἐποίουν ὑπο- 256 25.
κείμενον τῷ ἑτέρῳ· τὸ γὰρ κακὸν καὶ τὸ ἄνισον (ἔλεγε δὲ διὰ τοῦ κακοῦ
5 καὶ ἀνίσου τὴν ὕλην) ὑποκείμενον ἐποίει τῷ ἑτέρῳ τῶν ἐναντίων τῷ ἀγαθῷ καὶ ἴσῳ, διὰ τοῦ ἀγαθοῦ καὶ ἴσου πάλιν τὸ εἶδος αἰνιττόμενος. ἐπεὶ δὲ ὁ Πλάτων τὴν ὕλην ποτὲ μὲν κακὸν ἐκάλει ποτὲ δὲ ἄνισον καὶ ἄλλοτε πολλά, ὁμοίως καὶ τὸ εἶδος ὁτὲ μὲν ἀγαθὸν ὁτὲ δὲ ἴσον καὶ ἄλλοτε ἕν, εἰπὼν ὅτι τὸ ἄνισον ὑποκείμενον ποιοῦσι τῷ ἴσῳ, ἐπή-
10 γαγεν "ἢ τῷ ἑνὶ τὰ πολλά." ἀλλ' οὐδὲ οὗτοι, φησίν, εἰρήκασι τὸν τρόπον καθ' ὃν τὸ ἐναντίον τῷ ἐναντίῳ ὑπόκειται. ἐγκαλεῖ δὲ αὐτοῖς ὅτι τὴν ὕλην ἔλεγον ἐναντίον· οὐ γάρ ἐστιν ἡ ὕλη ἐναντίον τῷ εἴδει, ἥτις καὶ συνυπάρχει αὐτῷ, ἀλλ' ἡ στέρησις· ὥστε τὸ μὲν τὴν ὕλην λέγειν ὑποκείμενον τῷ εἴδει καλῶς λέγεται αὐτοῖς, τὸ δὲ λέγειν ἐναν-
15 τίον τῷ εἴδει, οὐ καλῶς· τὰ γὰρ ἐναντία οὐδέποτε συνυπάρχειν δύναται. ἐπειδὴ δὲ καὶ ὁ Ἀριστοτέλης καὶ μᾶλλον καὶ μάλιστα τὴν ὕλην ὑποκείμενον φησίν, ὥσπερ ἀπολογούμενος ὑπὲρ ἑαυτοῦ λέγει, ἀλλ' ἡμῖν λύεται τὸ τοιοῦτον ἄτοπον· εἰ γὰρ καὶ ὑποκείμενον λέγομεν τὴν ὕλην, ἀλλ' οὐδενὶ αὐτήν φαμεν ἐναντίαν, ἀλλὰ χάριν αὐτῆς ما-
20 χόμενα τὸ εἶδος καὶ τὴν στέρησιν. φέρεται δὲ καὶ ἄλλη γραφὴ ἔχουσα ὧδε "καὶ γὰρ ἡ ὕλη ἡ μία·" καὶ εἴη ἂν λέγων, καὶ γὰρ ἡ ὕλη ἡ πρώτη οὐδενί ἐστιν ἐναντία· ἄποιος γάρ ἐστιν, ἡ γῆ δὲ καὶ τὸ πῦρ καὶ τὰ μεταξύ, ἅπερ εἰσὶ προσεχεστέρα ὕλη, ἔχει πρὸς ἄλληλα ἐναντίωσιν. ἔτι φησίν, εἰ ὑπόκειται τὸ κακὸν καὶ πάντα ἐστὶν ἐκ τοῦ κακοῦ, πάντα
25 μεθέξει τοῦ κακοῦ καὶ οὐδὲν ἔσται ἀγαθὸν πλὴν τοῦ ἑνός, ὃ καθ' αὑτὸ εἶναι ἔλεγον. ἀλλ' οἱ μὲν περὶ Πλάτωνα ἀρχὰς τὸ ἀγαθὸν καὶ τὸ κακὸν ἐτίθεντο, οἱ δὲ ἄλλοι, οἷον οἱ Πυθαγόρειοι, ἐνίστανται φάσκοντες ὅτι τὸ ἀγαθὸν οὐκ ἔστιν ἀρχή, καί πως οἱ Πυθαγόρειοι τὸ ἀγαθὸν καὶ ἄριστον ἀρχὴν εἶναι οὐκ ἐβούλοντο. εἴρηται δ' ἡμῖν περὶ
30 τούτου ἐν τῷ παρόντι βιβλίῳ ἐξηγουμένοις τὴν λέξιν τὴν "ὅσοι δὲ ὑπολαμβάνουσιν ὥσπερ οἱ Πυθαγόρειοι καὶ Σπεύσιππος" (c. 7 p. 1072 *b* 30).

alii vero principia dividunt in bonum atque malum, et 257 1.
malum in materia ponunt, bonum autem in forma, materiam

vero omnibus subiectam ponunt et ipsum bonum primam formam dicunt: nam notum est apud omnes bonum esse formam primi principii. alii bonum primum principium dixere: at quonam pacto sit principium non explicant, nnmquid nt finis, an ut id quod movet, an ut forma. absurde et Empe- 5
docles censet ect. Themist. f. 23.

257 4. συναγωγὸν γὰρ λέγων τὴν φιλίαν (ὁ Ἐμπεδοκλῆς) καὶ ποιητικὸν τοῦ σφαίρου φαίνεται ὅτι ποιητικὸν εἶναι αἴτιον αὐτὴν βούλεται· πάλιν δὲ μέρος αὐτὴν ποιῶν τοῦ μίγματος καὶ τοῦ σφαίρου ἐμφαίνει ὅτι ὑλικὸν εἶναι αὐτὴν αἴτιον ἀποδέχεται. τοῦτο θεὶς λέγει, εἰ καὶ 10
συγχωρήσομεν τὴν φιλίαν τῷ ὑποκειμένῳ εἶναι καὶ ὡς ὕλην καὶ ὡς κινοῦν, ἀλλὰ τῷ γε λόγῳ διαφέροι ἂν πάντως.

ἄλλως τε εἰ ἔστι φιλία, ὡς Ἐμπεδοκλῆς βούλεται, τὸ ἀγαθόν, τὸ νεῖκος ἔσται κακόν. εἰ γὰρ τὸ ἐναντίον τῷ ἐναντίῳ, καὶ τῷ ἐναντίῳ τὸ ἐναντίον· εἰ δὲ τοῦτο, πῶς οἷόν τε λέγειν ἄφθαρτον τὸ νεῖκος; 15
ὅταν γὰρ ἡ φιλία συνελθοῦσα μετὰ τῶν πάντων ποιήσῃ τὸν σφαῖρον, ἀναγκαῖον τὸ νεῖκος φθείρεται.

257 13. πλήν, φησίν, ἐὰν λέγῃ ὁ Ἀναξαγόρας, ὥσπερ καὶ ἡμεῖς φαμέν. ἡμεῖς μὲν λέγομεν ὅτι ἡ ἰατρικὴ τὸ εἶδός πως ὑγιείας, ὅταν τι κινῇ ἕνεκεν τῆς ὑγιείας, ἕνεκεν ἑαυτῆς τοῦτο κινεῖ. 20
εἰ οὖν καὶ ὁ Ἀναξαγόρας περὶ τοῦ νοῦ οὕτω λέγει ὅτι τὸ κινοῦν καὶ ὃ ἕνεκεν κινεῖ αὐτός ἐστι, καὶ διὰ τοῦτο πᾶν ὃ ἂν κινῇ ἕνεκεν αὐτοῦ τὸ κινούμενον κινεῖται, λέγοι ἂν οὕτω λέγων εὔλογα.

quare aliud quodpiam erit: nam idem est quod movet et ipsum primum; nec potest alicuius gratia movere. verum 25
ita res se habet ut nos dicemus: est enim facultas ipsa medendi principium quoddam, sed gratia sanitatis movet; sanitas quoque quodammodo est facultas medendi: nihil igitur prohibet primum movere et sui ipsins gratia movere, nt ostendunt rationes appositae. sed adhuc absurdius quam 30
Anaxagoras dicunt ii qui idem putavere principium boni et mali, ita ut intellectus sit movens et materia sit obediens et consentiens ipsi intellectui. a quonam igitur malum proveniet? an dicet malum provenire ab imbecillitate materiae et

a privatione ipsi inhaerente, uti nos diximus et omnes qui posuerunt principia contraria, ut est raritas et densitas, congregatio et disgregatio. nam, ut videtur, ex rectitudine et ordine moventis impossibile est quin contraria faciat: nulla
5 enim materia sufficit ad generanda ea quae nascuntur ex ipsa, sed eget causa movente, quae quidem formet et in ordinem redigat res illas. Themist. f. 24.

ἔτερον ἐπάγει κοινὸν πᾶσιν ἔγκλημα λέγων, εἴ τις μὴ ῥα- 257 17.
θυμήσῃ μηδ' ἀποκνήσῃ τὰ αὐτῶν μετελθεῖν, ἀλλὰ ἀκριβῶς με-
10 τέλθῃ, εὑρήσει πάντας ἐξ ὧν λέγουσιν ἀρχὰς ποιοῦντας τὰ ἐναντία, μὴ χρωμένους δὲ ἐν τῇ τῶν πραγμάτων γενέσει, ἀλλὰ τρεπομένους εἰς ἕτερα. τοῦτο δὲ πολλαχῶς αὐτοῖς ἐνεκάλεσε καὶ πολλαχοῦ τῆς προσηκούσης τετύχηκε σαφηνείας. ἀλλὰ καὶ ὅσοι ἀρχὰς λέγουσι πάντα ἐκ τῆς ὑποτεθείσης αὐτοῖς ἀρχῆς γεννῶντες, οἷον οἱ
15 τὸ ὕδωρ ἀρχὴν τιθέμενοι ἐξ αὐτοῦ καὶ οὐρανὸν καὶ γῆν καὶ πάντα γενέσθαι λέγοντες, τὴν αἰτίαν τοῦ διὰ τί τὰ μὲν αὐτῶν ἐστὶ φθαρτὰ τὰ δὲ ἄφθαρτα, λέγειν ἐρραθύμησαν. ὁ μὲν γὰρ Ἀριστοτέλης ἐξ ἄλλου μὲν ποιῶν (ἐκ γὰρ τοῦ πέμπτου σώματος) τὰ οὐράνια, ἐξ ἄλλων δὲ τὰ ἐν γενέσει, ἔχε λέγειν καὶ διὰ τί τὰ μὲν αὐτῶν ἐστὶ φθαρτὰ τὰ δὲ
20 ἄφθαρτα· ἐκεῖνοι δὲ οὐκ ἔξουσι, τὸ αὐτὸ πᾶσιν ὑποκείμενον πειθοῦντες. ἔτι, φησίν, ἄλλοι μέν, ὡς οἱ περὶ Ἡσίοδον, ἐκ τοῦ μὴ ὄντος πάντα γεννῶσι, καὶ λεγέτωσαν διὰ τί· οἱ δ' ὥσπερ οἱ περὶ Παρμενίδην . . . ἕν φασι τὸ ὂν καὶ ἀγέννητον.

ἤγουν εἰ μὴ ἐξ ἀμελείας οἰκείας λεληθότως τις ἐρεῖν ἀναγ-
25 καζοῖ τὴν ἀλήθειαν. εἰ δὲ "ῥυθμίσῃ" γράφοιτο, εἴη ἂν ἀντὶ τῶν εἰ μὴ ἕτερός τις παιδαγωγήσειέ τε καὶ καταστήσειε τὸν λόγον καὶ τὴν δόξαν ἐκείνων καὶ εἰς τοῦτ' αὐτὸ ἀνάξειε τὸ ὅτι χρῶνται τοῖς ἐναντίοις. cod. Reg.

adhuc quidam intelligibilia transcendentes atque apud 257 19.
30 omnes nota, aiunt ea quae sunt ex eo quod non est fieri; quidam vero ex ente actu: indivisibilia namque Anaxagorae et Empedoclis elementa ea quae sunt ex eo quod actu est fieri cogunt; quod quidem absurdum est. absurdius autem putant qui plura principia ponunt, sive tria sint sive quattuor

sive duo . . . fateri ergo cogitur nobilius quam ipsa sint principium reperiri. Themist. f. 24.

257 23. καὶ τοῖς δύο ἀρχὰς ποιοῦσιν, οἷον τὰ ἐναντία, καὶ τοῖς τὰ εἴδη, οὐκ ἀρκεῖ ταῦτα πρὸς τὸ τὰ ὄντα ἔχειν ὥσπερ ἔχει, ἀλλ' ἀνάγκη ἄλλην ἀρχὴν κυριωτέραν τούτων ὑποθέσθαι, ἣν οὗτος εἶπε τὸν πολυτίμητον νοῦν.

257 26. καὶ τοῖς μὴ ἄλλοις θεολόγοις τὰς ἀρχὰς ἐναντία λέγουσιν ἀνάγκη κατ' αὐτοὺς τῇ φιλοσοφίᾳ καὶ τιμιωτάτῃ καὶ βεβαιοτάτῃ ἐπιστήμῃ εἶναί τι ἐναντίον, εἰ ἡ ἐπιστήμη ταὐτόν ἐστιν, ὥσπερ πρὸ ὀλίγου εἴρηται, τοῦ ἐπιστητοῦ· εἰ γὰρ ἐστι τῇ ἀρχῇ τοῦ κυρίως ἐπιστητοῦ ἐναντίον, ἔσται καὶ τῇ ἐπιστήμῃ.

257 28. πάντα γὰρ τὰ ἐναντία ὕλην ἔχει καὶ ἐν ὕλῃ ἐστι, καὶ δυνάμει ἔστι τὸ ἐναντίον· τὸ γὰρ λευκὸν δυνάμει τὸ μέλαν ἐστίν. ὥστε εἴπερ ἐστὶ τῇ πρώτῃ ἀρχῇ ἐναντίον, οὐδὲν δὲ ἐναντίον καθ' αὑτό ἐστιν, ἀλλ' ἐν ὑποκειμένῳ καὶ ἐν ὕλῃ, ἡ δὲ πρώτη ἀρχὴ ἀϋλότατον καὶ ἐνεργείᾳ οὖσα καὶ πάντῃ τοῦ δυνάμει ἀμοιροῦσα ἐστίν, οὐκ ἂν εἴη αὐτῇ ἐναντίον τι. ὥστε οὐδὲ τῇ περὶ αὐτὴν ἐπιστήμῃ ἔσται ἐναντία ἡ ἄγνοια· εἰ γὰρ ἐστιν ἡ ἄγνοια ἐναντίον τῇ τοιαύτῃ ἐπιστήμῃ, ἔσται καὶ τὸ περὶ ὃ ἡ ἄγνοια ἐναντίον τῇ τοιαύτῃ ἀρχῇ. "εἴτε — τάξις." οὐ παρέργως νῦν τοῦτο τίθησιν, ἀλλ' ἐπεὶ μέλλει ἀντιλέγειν τοῖς Πυθαγορείοις καὶ Πλάτωνι, συνίστησι πρῶτον ὅτι εἰσὶν οὐσίαι νοηταί, καὶ ὅτως ἀκολούθως ζητεῖ ὅ τι καὶ τίνες αὗταί εἰσιν αἱ τοῦ Πλάτωνος ἰδέαι ἢ οἱ Πυθαγόρειοι ἀριθμοί. εἰ ὄν μή ἐστι, φησί, νοητὴ ἀρχὴ κτλ.

258 2. εἰ γὰρ ἐστι τοῦ Ἡρακλέος ἀρχὴ ὁ Ζεὺς καὶ τούτου ὁ Κρόνος καὶ τούτου ἕτερος, ἢ πάλιν εἰ ἔσονται τῶν τῆδε ἀρχαὶ τὰ εἴδη καὶ τούτων οἱ ἀριθμοὶ καὶ τούτων ἡ δυὰς καὶ τὸ ἕν, ἐπ' ἄπειρον ἡ πρόοδος ἥξει. ἄλλως τε εἰ εἰσὶν ἀρχαὶ αἱ ἰδέαι, ὡς ὁ Πλάτων λέγει, ἢ οἱ ἀριθμοί, ὡς οἱ Πυθαγόρειοί φασιν, οὐδενὸς ἔσται αἴτια, ὥσπερ ἐν τῷ μείζονι Α δεδείκται καὶ ἐν τοῖς ἐφεξῆς δύο δεικθήσεται βιβλίοις. "εἰ δὲ μή," τουτέστιν εἰ δὲ λέγοι τις ὅτι ψεῦδος τὸ μὴ εἶναι τὰ εἴδη καὶ τοὺς ἀριθμούς τινων αἴτια, εἰσὶ γάρ, συγχωρητέον αὐτῷ τοῦτο νῦν, ἀλλὰ κινήσεως αἴτια οὐδαμῶς ἔσονται τὰ εἴδη καὶ οἱ ἀριθμοί.

"τῶν ἐναντίων." οἷον φέρε τὸ κακὸν ἢ τὸ ἄνισον· τὸ γὰρ ἐναν- 253 9.
τίον δύναμίς ἐςι καὶ δύναται ἐνεργῆσαι. ὥςε ἢν ὅτε μὴ ἐνήργει· πᾶσα γὰρ ἐνέργεια δυνάμεως ὑςέρα.

ἀναιρετέον ἄρα τὸ λέγειν ὅτι τὸ ἕτερον τῶν ἐναντίων ἐςὶ ποιη- 253 11.
5 τικόν· δύναμις γὰρ ὂν τὸ ἐναντίον, ὡς εἴρηται, ὕςερον ἐκβαίνει εἰς ἐνέργειαν. ὅτι δέ, φησίν, ἡ δύναμις τρόπον τινὰ προτέρα ἐςὶν ἐνεργείας, εἴρηται· εἴρηται γὰρ ὅτι ἐπὶ τοῦ αὐτοῦ καὶ ἑνός, οἷον τοῦ Σωκράτους, ἐςὶν ἡ δύναμις προτέρα τῆς ἐνεργείας, πρὸς δὲ τὸ πᾶν ὁδαμῶς.

10 "καὶ τὸ πρᾶγμα" οἶμαι πρᾶγμα λέγων τὴν ὕλην. 253 13.

ἀλλὰ τὴν ψυχὴν τί τὸ ἑνῶσαν μετὰ τοῦ σώματος καὶ ποιῆσαν ἕν 253 14.
τι; καὶ ὅλως, φησί, τὸ εἶδος καὶ τὸ πρᾶγμα, οἶμαι πρᾶγμα λέγων τὴν ὕλην, τὸ δὴ εἶδος καὶ ἡ ὕλη πῶς ἓν γίνεται, οὐδεὶς λέγει, οὐδὲ ἐνδέχεται εἰπεῖν, ἐνεργείᾳ ποιοῦντες καὶ καθ' αὐτὰ τὰ εἴδη.

15 nec aliter dici potest quam dixerimus nos, quod prima 253 15.
natura movens munda, sincera, partium expers, materiae immunis, vere una movet omnia ordinate, indeficienti sempiternoque motu... finis enim in quacunque re est, quatenus ea est una. Themist. f. 26.

20 ἀλλὰ καὶ οἱ Πυθαγόρειοι, φησίν, ἢ καὶ ὁ Πλάτων, οἱ λέγον- 253 17.
τες ὅτι ἐκ μιᾶς τοῦ τρία ἀριθμοῦ γέγονε τὸ ἐπίπεδον καὶ ἐξ αὐτοῦ τὰ τρίγωνα καὶ ἐξ αὐτῶν αἱ πυραμίδες καὶ ἐξ αὐτῶν τὸ πῦρ, καὶ πάλιν ἐκ μιᾶς τῆς πεντάδος ἡ δικαιοσύνη ἐκ δὲ τῆς μονάδος ὁ οὐρανὸς καὶ ἄλλο ἐξ ἄλλου, ἐπεισοδιώδη τὴν τῶν ὄντων φύσιν ποιοῦσι, τουτέςιν
25 οὐδὲν κοινὸν ἕτερον ἑτέρῳ ἔχειν φασίν, ἀλλ' ἠλλοτριωμένα.

qui vero hoc dicit concedit universi substantiam adventiciam esse, exceptis iis quae a principiis continuorum corporum comprehenduntur. Themist. f. 26.

τὰ γὰρ τῶν πλανωμένων αἴτια θεοὶ μέν, ἀλλὰ μεθέξει καὶ τῷ 253 22.
30 βουλήματι τοῦ πρώτου καὶ μακαριωτάτου ἐξήρτηται νοός.

Ἐν τῷ Λ τῆς προκειμένης πραγματείας, ἣν καὶ Μετὰ τὰ 253 27.
Φυσικὰ ἐπιγράφει, εἰπὼν περὶ τῆς πρώτης καὶ θείας καὶ ἀκινήτου ἀρχῆς ὅτι νοῦς ἐςὶ καὶ ἐνέργεια πάντῃ πάντως ἀμοιροῦσα τοῦ δυνάμει, εὑρὼν δὲ καὶ ἀπὸ τοῦ πλήθους τῶν φερομένων σφαιρῶν ὁπόσαι

εἰσὶν αἱ ὑφειμέναι μὲν τῆς πρώτης ἀρχῆς κινητικὴ δὲ τοῦ πλανωμένου παντὸς σώματος, ἀσώματοι καὶ αὐταὶ καὶ ἀκίνητοι οὖσαι, ἐν τῷ παρόντι βιβλίῳ, ὃ Μ ἐπιγράφει, καὶ τῷ ἐφεξῆς τούτῳ Ν, ὃ τέλος ἐστὶ τῆς ὅλης πραγματείας, ἐπισκέπτεται τάς τε τῶν Πυθαγορείων περὶ ἀρχῶν δόξας καὶ τὰς τοῦ Πλάτωνος, ζητῶν πάνυ ἐντρεχέστατα εἰ ἔστι τὰ μαθήματα καὶ πῶς ἔστιν, εἰ εἰσὶν αἱ ἰδέαι καὶ ὁ τῶν ἰδεῶν ἀριθμός, καὶ τρίτον εἰ τῶν ὄντων ἀρχαί εἰσιν αἱ ἰδέαι καὶ οἱ ἀριθμοί. καὶ ἐν μὲν τῷ Μ διαλέγεται περὶ τῶν προτέρων δύο, ἐν δὲ τῷ Ν περὶ τοῦ τρίτου. λέγει οὖν ὅτι περὶ μὲν τῆς τῶν αἰθητῶν ὑλικῆς οὐσίας εἴρηται ἐν τῷ Α τῆς Φυσικῆς Ἀκροάσεως, ὕστερον δέ, τουτέστιν ἐν τῷ Β τῆς πραγματείας ἐκείνης, περὶ τῆς κατ' ἐνέργειαν καὶ εἰδικῆς οὐσίας. ἀλλὰ περὶ μὲν ὕλης καὶ εἴδους εἴρηται ἐν ἐκείνοις· ἐπεὶ δέ, φησίν, ἡ σκέψις ἡμῖν ἐστὶν ἐν τῇ παρούσῃ πραγματείᾳ ἰδεῖν εἰ ἔστι τις παρὰ τὰς αἰθητὰς οὐσίας ἀκίνητος καὶ ἀΐδιος καὶ ἀσώματος, ἢ οὐκ ἔστι, καὶ εἰ ἔστι, τίς ἔστι, εἴρηται δὲ ἡμῖν τὰ δοκοῦντα περὶ τῆς τοιαύτης οὐσίας, μετὰ ταῦτα τὰ παρὰ τῶν ἄλλων λεγόμενα θεωρητέον (οὐ γὰρ ἐνδεικτικόν ἐστι τὸ "πρῶτον" τοῦ μετὰ τὰ παρὰ τῶν ἄλλων ἐπισκέψασθαι ἐρεῖν αὐτὸν περὶ ἐκείνης· εἴρηκε γάρ· εἰ μὴ ἄρα τὸ "πρῶτον" ἀντὶ τοῦ προηγουμένως καὶ ἐπιμελῶς τὰ παρὰ τῶν ἄλλων λεγόμενα θεωρητέον εἴληπται). καὶ τὴν αἰτίαν δι' ἣν τὰ παρὰ τῶν ἄλλων λεγόμενα τεθεωρηκέναι βούλεται [διὸ] ἐπήγαγεν εἰπὼν "ὅπως εἴτε τι μὴ καλῶς λέγουσι, μὴ τοῖς αὐτοῖς ἔνοχοι ὦμεν." εἴη δ' ἂν λέγων ὅτι τὸ ἀντιλέγειν τε τοῖς ὑπ' αὐτῶν λεγομένοις, καὶ εὐθύνειν εἴ τι μὴ καλῶς λέγουσιν. ἅμα τε δείξει ἡμᾶς μὴ ἀρεσκομένους τοῖς τούτων δόγμασι, καὶ σὺν αὐτοῖς εἰς εὐθύνας ὑποπεσεῖν οὐκ ἐάσει.

259 4. τουτέστιν οὐ δυχερανοῦμεν ὡς καθ' ἡμῶν μόνον ὂν τὸ ἔγκλημα.

259 10. καὶ ἐπεὶ οἱ μὲν τῶν Πυθαγορείων δύο γένη καὶ δύο φύσεις ποιοῦσι τὰ μαθηματικὰ καὶ τὰς ἰδέας, ἄλλην μὲν τὴν τῶν μαθηματικῶν καὶ ἄλλην τὴν τῶν ἰδεῶν, ἄλλοι δὲ τοὺς ἀριθμοὺς καὶ τὰς ἰδέας τῆς αὐτῆς ποιοῦσι φύσεως, μηδὲν διαφέρειν ἀλλήλων λέγοντες, ἕτεροι δὲ καὶ αὐτοὶ Πυθαγόρειοι τὰς μὲν ἰδέας ἀποδοκιμάζουσι καὶ οὐδαμῶς προσίενται, μόνας δὲ τὰς μαθηματικὰς οὐσίας εἶναί φασι, σκεπτέον φησὶ πρῶτον περὶ τῶν μαθηματικῶν.

ἀλλὰ μόνον τοῦτο ἐξεταστέον εἰ ὅλως εἰσὶν ἐν ὑπάρξει, καὶ ἂν 259 16.
ὦσι, πῶς εἰσί, πότερον ἐνεργείᾳ καθ' αὑτά, ὡς οἱ ταῦτα τι-
θέμενοι βούλονται, ἢ ἐξ ἀφαιρέσεως παρ' ἡμῶν γεννῶνται καὶ τοῦ
εἶναι τυγχάνουσιν, ὡς αὐτῷ τε τῷ Ἀριστοτέλει καὶ τῇ φίλῃ δοκεῖ
5 ἀληθείᾳ.

ἐπεὶ γὰρ νόμος καὶ ἔθος ἐστίν, ὅταν τις περί τινων ἀποφαίνηται, 259 19.
ἐπισκέπτεται καὶ τὰς τῶν ἄλλων περὶ τῶν τοιούτων δόξας, ἵνα μὴ
μένουσαι ἀνεξέταστοι ταράττωσι τοὺς ἐντυγχάνοντας, εἴρηκε δὲ
αὐτὸς περὶ τῶν πρώτων καὶ ἀκινήτων ἀρχῶν, τίνες καὶ πόσαι εἰσί,
10 διὰ τὸν νόμον, φησί, τοῦτον καὶ τὸ ἔθος ἐπισκέψασθαι τὰ περὶ τῶν ἰδεῶν
βούλομαι. ἐπεὶ ὅτι οὐκ εἰσὶν ἰδέαι, δέδεικται μὲν πολλαχοῦ, τεθρύλ-
λητοι δὲ καὶ εἰς ἐξέτασιν τὰ περὶ αὐτῶν ἦχθη καὶ ἐν τοῖς ἐξωτερικοῖς
λόγοις, καὶ οὐκ ἔδει πάλιν τὸν περὶ αὐτῶν ἀνακινεῖν λόγον.

ἀνάγκη, εἴπερ εἰσὶ τὰ μαθηματικὰ οὐσίαι τινὲς καὶ φύσεις καὶ 259 26.
15 ἐνεργείᾳ ἀλλὰ μὴ δυνάμει, ἢ ἐν τοῖς αἰθητοῖς εἶναι, ὥσπερ τινὲς
τῶν Πυθαγορείων λέγουσι· λέγουσι γάρ τινες τούτων ὅτι ὥσπερ ἡ
λογικὴ ψυχή, οἷον φέρε τοῦ Σωκράτους ἢ τοῦ οὐρανοῦ, εἰ καὶ ἐν ὑπάρ-
ξει ἐστὶ καὶ ὀντότητος μετέχει καθ' αὑτήν ἐστιν, ὅμως ἐν σώματι
ἔστιν, ἡ μὲν οὐρανία τοῦ παντός, ἡ δὲ τοῦ Σωκράτους ἐν τῷ τοῦ Σω-
20 κράτους σώματι, οὕτω καὶ τὰ μαθηματικὰ ἐνεργείᾳ καθ' αὑτὰ
ὄντα ἐν τοῖς αἰθητοῖς εἰσίν.

"ὅτι μὲν οὖν," φησίν, ὅτι μὲν οὖν οὐκ εἰσὶ τὰ μαθηματικὰ ἐν τοῖς 259 30.
αἰθητοῖς, εἴρηται καὶ ἐν τῷ Β ταύτης τῆς πραγματείας· ἐκεῖ γὰρ
περὶ τούτων ἠπόρησεν.

25 ἄλλας μὲν δυνάμεις βούλεται δηλοῦν τὰ πέρατα τούτων, οἷον ἐπί- 260 2.
πεδα καὶ γραμμάς, εἰ μὴ ἄρα καὶ τὰ τῇ ὀπτικῇ καὶ τῇ ἁρμονικῇ καὶ
ταῖς συστοίχοις ἐπιστήμαις ὑποβεβλημένα περιλαμβάνει, ἀνάγκην
δὲ οὐδ' ἡντινοῦν αὐτοῖς ἐπιφέρει τοῦ μηδεμίαν κεχωρισμένην τούτων
ἀποτίθεσθαι φύσιν. εἰ μὴ ἄρα ἐν μόνοις τοῖς αἰθητοῖς ὑπετίθεντο
30 ταῦτα εἶναι, ἀλλ' οὐχὶ καὶ ἐν τοῖς νοητοῖς καὶ ἔξω τῶν φαινομένων
ἔν τισι λόγοις τούτων ἀποτελεστικοῖς. καὶ ταῦτα μὲν εἰρήσθαι καὶ πρό-
τερον ἐν τῷ Β φησὶ πρὸς αὐτούς· ὃ δὲ νῦν ἐγκαλεῖ, τοιοῦτόν ἐστιν.
εἰ γάρ, φησί, τὸ ἐν τῷ αἰθητῷ στερεὸν διαιρεθείη πάντως, ἐπι-
πέδῳ διαιρεθήσεται. οὐκοῦν καὶ τὸ ἐπίπεδον γραμμῇ καὶ ἡ γραμμὴ στη-

μείῳ. ἀλλ' εἰ μὴ ἦν ἀκίνητα ταῦτα, καθάπερ ἔςι παρὰ τοῖς γεωμέτραις, ὐδὲν ἂν ἠκολούθησεν ἄτοπον· νυνὶ δὲ ἐπειδὴ ἐν αἰθητοῖς καὶ φυσικοῖς ὑπόκειται σώμασιν ὄντα, κινουμένης τῆς γραμμῆς κατὰ τὴν διαίρεσιν ἀνάγκη καὶ τὸ σημεῖον διαιρεῖσθαι. διαφέρει δὲ ὐδὲν ἢ αὐτὰ τὰ φυσικὰ σημεῖα καὶ ἀμερῆ λέγειν εἶναι καὶ ἀδιαίρετα, ἢ ἐν αὐτοῖς εἶναι ταῦτα σημεῖα· δῆλον γὰρ ὅτι τὸ ἔν τινι ὐ διαιρεῖται ἄνευ τοῦ ὑποκειμένου, ὅταν ὡς ἐν ὑποκειμένῳ ἔν τινι λέγηται. Syrianus.

260 8. ἐν δὲ τῇ λέξει τῇ "τί οὖν δ. ἢ ταύτας εἶναι ἢ ταύτας μὴ μή, εἶναι δ. ε. α. τ." ὑποςικτέον εἰς τὸ "μή." εἶτα δὲ ἐπακτέον τὸ "εἶναι δὲ ἐν αὐταῖς τ. φ.," ἵν' ᾖ, τί διαφέρει τὰς φυσικὰς ςιγμὰς ἀδιαιρέτους λέγειν, ἢ ταύτας μὴ λέγειν, ἐπεὶ μηδ' ὅλως εἰσὶν ἐνεργείᾳ ἀλλὰ δυνάμει, εἶναι δ' ἐν αὐταῖς ταῖς δυνάμει ςιγμαῖς τὰς μαθηματικάς, αἵ τινες ἐνεργείᾳ εἰσίν.

261 12. ἐπεὶ ὁ Σωκράτης καθὸ ἄνθρωπος ἕν ἐςι καὶ ὁ Πλάτων καὶ ἁπλῶς πάντα τὰ αἰθητὰ καθὸ τόδε τί ἐςιν ἕν εἰσιν, ἔςαι ἄλλη μὴ μονὰς παρὰ τὸ ἐν τῷ Σωκράτει ἕν, καὶ ἄλλη παρὰ τὸ ἐν τῷ Πλάτωνι, καὶ ἄλλη παρὰ τὸ ἐν ἐμοί, καὶ οὕτως ἐπὶ πάντων τῶν αἰθητῶν. ἀλλ' ἐπεὶ καὶ τὰ νοητὰ ἕκαςον αὐτῶν ἕν ἐςι καὶ μᾶλλον ἕν (τοῦτο γὰρ δηλωτικόν ἐςι τὸ "εἶτα τὰ νοητά"), ἔσονται καὶ παρὰ τὸ ἐν ἑκάςῳ τῶν νοητῶν ἓν ἄλλαι ἁπλούςεραι μονάδες καθ' αὐτάς· τὸ γὰρ ἐν ἑκάςῳ ἕν, ἐπειδὴ ἐν ἐκείνῳ καθ' ὃ λέγεται ἐςίν, οὐχ ἁπλοῦν ἐςὶν ἀλλὰ σύνθετον· ὥςε ἔσονται ἄπειρα γένη τῶν μαθηματικῶν μονάδων καὶ ἀριθμῶν. ἡ μὲν οὖν σύμπασα διάνοια τῶν λεγομένων αὕτη, τὰ δὲ κατὰ τὴν λέξιν ὧδέ πη ἔχει. εἰσί, φησί, παρὰ τὰ αἰθητὰ ςερεά κτλ.

261 14. ἀπορῶν ἐν τῷ Β τῆς προκειμένης πραγματείας ἐζήτησε καὶ τοῦτο κτλ.

261 23. "ἔτι — αἰθητῶν." τὸ μὲν "γράφεται" δείκνυται δηλοῖ, τὸ δὲ ἐπιχείρημα πᾶν τοιοῦτον. εἰ δείκνυταί τινα παρὰ τοῖς μαθηματικοῖς καὶ τοῖς φυσικοῖς διὰ τῶν καθόλου λόγων καὶ διά τινων ἀξιωμάτων, οἷον διὰ τοῦ ἐὰν ἀπὸ ἴσων ἴσα ἀφέλῃς, τὰ καταλειπόμενά ἐςιν ἴσα, καὶ διὰ τοῦ ἐὰν δ' ᾖ ἀνάλογον, τὸ ὑπὸ τῶν ἄκρων ἴσον ἐςὶ τῷ ὑπὸ τῶν μέσων, καὶ ἄλλων πολλῶν τοιούτων, ἀνάγκη, φησίν, ὄντων μεγεθῶν καὶ ἀριθμῶν χωριςῶν, καὶ τὰ ἀπὸ τῶν τοιούτων

ἀξιωμάτων δηλούμενα εἶναι χωριστά, ὑπέρτερα μὲν ὄντα τῶν μεγεθῶν καὶ τῶν ἀριθμῶν τῶν μαθηματικῶν, κοιλότερα δὲ τῶν ἰδεῶν, ὡς μεταξὺ τετάχθαι τοῦ τε αὐτομεγέθους καὶ τοῦ μαθηματικοῦ μεγέθους. τοῦτο δὲ αὐτὸς μὲν ὡς ἀδύνατον ἀποδοκιμάζει, ἵνα τὸ ἡγούμενον ἀνέλῃ, τὸ εἶναι χωριστὰ τὰ μαθηματικά. ἔστι δέ πως ἀληθές κτλ. Syrianus.

λέγει δὲ ἰδέας μὲν τὸ αὐτοποσὸν καὶ τὰ τοιαῦτα, μεταξὺ δὲ 261 26.
τὰ μαθηματικά· μεταξὺ γὰρ τῶν τε ἰδεῶν καὶ τῶν αἰσθητῶν ἐτίθεντο τὰ μαθηματικά.

"ὅλως δὲ τ. σ. καὶ τοῦ εἰωθ. ὑπολ." καὶ ἡ ἀλήθεια, φησί, βοᾷ 261 29.
καὶ πάντες οἱ σοφοὶ εἰώθασιν ὑπολαμβάνειν ὅτι τὸ ἀτελὲς τῷ μὲν χρόνῳ πρότερόν ἐστι τοῦ τελείου, τῇ δὲ φύσει ἤτοι τῷ τελείῳ ὕστερον. ἐξ ὧν δ' ὅτοι λέγουσι (λέγουσι δὲ ὅτι τὰ μαθήματα ἄλλα ἐστὶ τῶν αἰσθητῶν καὶ καθ' αὐτὰ ὄντα καὶ χωριστά), συμβαίνει τἐναντίον τοῦ εἰωθότος ὑπολαμβάνειν καὶ τῆς ἀληθείας· τοῦτο δ' ἔστι τὸ τὰ μαθηματικὰ ἀτελέστερα τῶν φυσικῶν ὄντα πρότερα εἶναι οὐ τῷ χρόνῳ ἀλλὰ καὶ τῇ φύσει· ὁμοίως δὲ καὶ ὕστερα· οὐδὲν δέ ἐστι καὶ πρότερον καὶ ὕστερον τῇ φύσει.

καὶ τὴν αἰτίαν ἐπήγαγεν εἰπών, τὸ γὰρ ἀτελὲς μέγεθος τῷ 262 6.
χρόνῳ μὲν ἀεὶ πρότερόν ἐστι τῇ οὐσίᾳ δὲ ὕστερον, οἷον ἄψυχον ἐμψύχου. ὥσπερ γὰρ πρότερον μὲν γίνεται τὸ ἄψυχον σῶμα καὶ οὕτως ἐμψυχοῦται καὶ τελειοῦται, οὕτως καὶ ἐπὶ τῶν ἄλλων· πρότερον μὲν ὁ λόγος ὑπονοεῖ τὸ τριχῇ διαστὸν γινόμενον, ὅπερ ἀναλογεῖ τῷ μαθηματικῷ σώματι, καὶ οὕτως ὅτι εἰσῆλθον ἐν αὐτῷ ὑπὸ τῆς φύσεως θερμότητες κυφότητες ἢ ἄλλη τις ποιότης, καὶ ἀπετέλεσαν τὸ φυσικὸν τέλος. ὡς οὖν τὸ ἄψυχον πρότερον ὂν τῇ γενέσει (πρότερον γὰρ αὐτὸ γίνεται) ἀτελέστερόν ἐστι τοῦ ἐμψύχου, οὕτως καὶ τὰ μαθηματικὰ τῇ μὲν γενέσει πρότερά ἐστι τῶν φυσικῶν σωμάτων, τῇ δὲ φύσει καὶ τῷ τελείῳ ὕστερα· ὥστε κατὰ μὲν τὴν ἀλήθειαν καὶ ἀτελέστερά ἐστι τὰ μαθηματικὰ τῶν φυσικῶν, καὶ διὰ τοῦτο καὶ ὕστερα τῇ φύσει· ἀλλὰ καὶ πρότερα κατὰ τοὺς χωρίζοντας αὐτὰ καὶ ἄλλα τῶν φυσικῶν εἶναι λέγοντας. ταῦτα εἰπὼν διὰ μέσου ζητεῖ τινὰ ζήτησιν καὶ οὕτως πάλιν ἐπάνεισιν ἐπὶ τὸ προκείμενον. ὃ δὲ ζητεῖ τοιοῦ-

τόν ἐςιν· ἐπεὶ τὰ μαθηματικὰ σώματα ἐξ ἐπιπέδων εἰσί, τί τὸ αἴτιον αὐτοῖς τῆς ἑνώσεως;

2629. "ἢ μέρει ψυχῆς," ὡς ἐπὶ τῶν ἐχόντων ἀφὴν μόνην ἢ ἄλλο τι εὔλογον, κόλλα δηλαδὴ ἢ δεσμός... τοῦτο διὰ μέσου εἰπὼν ἄνεισι πάλιν ἐπὶ τὸ ἐξ ἀρχῆς, ἐν ᾧ τὸ αἰθητόν πρότερον ἐδείκνυ τοῦ μαθηματικοῦ τῇ οὐσίᾳ, καὶ δείκνυσι καθόλου, ὅτι πᾶν σῶμα τῇ οὐσίᾳ πρότερόν ἐςι καὶ γραμμῆς καὶ ἐπιπέδου. ἐκ τούτου δὲ ἔχει ὅτι καὶ τῶν σωμάτων τὸ τελειότερον πρότερόν ἐςι τῶν ἀτελεςέρων· τελειότερον δὲ τὸ φυσικὸν τοῦ μαθηματικοῦ. λέγει δὴ ὅτι αἱ γενέσεις δηλοῦσιν ὅτι τὰ σώματα πρότερά ἐςι καὶ ἐπιπέδων καὶ γραμμῶν τῇ οὐσίᾳ· πρότερον γὰρ ἐπὶ μῆκος γίνεται ἡ αὔξησις ἢ ὅλως ἡ κίνησις, ἔπειτα εἰς πλάτος, εἶτα εἰς βάθος, καὶ τελεῖται ὡς σῶμα ἁπλῶς, ὕςερον δὲ προσλαβὸν καὶ ποιότητα τελεῖται ὡς φυσικὸν σῶμα. ὥςε εἰ τὰ τῇ γενέσει ὕςερα τῇ φύσει πρότερα, πρότερον ἂν εἴη τὸ σῶμα καὶ ἐπιπέδου καὶ γραμμῆς καὶ τοῦ σώματος· πάλιν τὸ αἰθητὸν σῶμα, καὶ τούτου τὸ ἔμψυχον, καὶ ἐφεξῆς ἀκολούθως. ἔτι φησὶ καὶ διὰ τὸ τὸ μὴ σῶμα ἔμψυχον δύναται γενέσθαι, τὴν δὲ γραμμὴν καὶ τὸ ἐπίπεδον οὐδαμῶς· οὐδεὶς γὰρ ἑώρακέ ποτε γραμμὴν ἔμψυχον.

26220. καὶ ὅτι μὴ τὸ σῶμα τέλειον, δέδεικται εὐθὺς ἐν ἀρχῇ τῆς περὶ Οὐρανοῦ πραγματείας. τὸ δὲ "πῶς" πρόσκειται διὰ τὰ μαθηματικά· οὐ γάρ εἰσιν ἁπλῶς τέλεια ὡς τὰ φυσικά, ἀλλὰ καθὸ μὴ ἔχει τὰς τρεῖς διαςάσεις, εἰσὶ τέλεια, ὡς ἐν τῇ περὶ Οὐρανοῦ λέγεται, ᾗ δὲ ἐλλείπει αὐτοῖς τὰ πάθη, καθ' ἃ τὰ φυσικὰ εἰδοποιεῖται, ἐςὶν ἀτελῆ. καὶ ὅτι μὴ τὰ σώματα οὐσίαι, δέδεικται, ὡς εἴρηται· τὰ δὲ ἐπίπεδα καὶ αἱ γραμμαί, ἐπειδὴ ἁπλᾶ εἰσίν, εἰ ἔσονται οὐσίαι, ἢ ὡς εἶδος ἔσονται ἢ ὡς ὕλη.

26224. κατὰ δὲ τὴν λέξιν τὴν "εἰ δ' ἦν οὐσία τις ὑλική, τοῦτ' ἂν ἐφαίνετο πάσχειν" ἴσον ἐςὶ τῷ, εἰ δ' ἦσαν αἱ γραμμαὶ καὶ τὰ ἐπίπεδα ὑλικὴ οὐσίαι, τοῦτ' ἄν, τουτέςι τὸ ἀλλοιουμένων αὐτῶν ἕτερον ἐξ αὐτῶν συνίςαται, ἐφαίνοντο πάσχουσαι.

26223. ἔςιν οὖν, φησί, τῇ οὐσίᾳ πρότερα "ὅσα χωριζόμενα τῷ εἶναι ὑπερβάλλει," τουτέςιν ὅσα χωριζόμενα τῶν ἐν οἷς εἰσίν, αὐτὰ μὴ εἶναι δύναται, ἐκεῖνα δὲ μή.

τί δ' ἐςὶ τὸ σύνολον, αὐτὸς ἐσαφήνισεν εἰπὼν "σύνολον δὲ 263 3.
λέγω τὸν ἄνθρωπον καὶ τὸ λευκόν," τουτέςι τὸ ἐξ ἀνθρώπου καὶ λευκοῦ
συγκείμενον. ὥςε φανερόν, φησίν, ὅτι ὅτε τὸ ἐξ ἀφαιρέσεως
(λέγοι δ' ἂν ἐξ ἀφαιρέσεως τὸ μαθηματικὸν) πρότερον τῇ οὐσίᾳ,
5 ἐπεὶ καὶ τὸ λευκὸν ἐξ ἀφαιρέσεως ἐςίν· ἐχώρησε γὰρ αὐτὸ ὁ λό-
γος τοῦ ὑποκειμένου, καὶ ὅμως οὐ πρότερον τοῦ ἀνθρώπου. ὅτε πά-
λιν τὸ ἐκ προθέσεως, τουτέςι τὸ μαθηματικὸν σῶμα μετὰ τῶν
ποιοτήτων ὕςερον τοῦ μαθηματικοῦ σώματος, ἀλλὰ τῷ μὲν λόγῳ
ὕςερον τῇ δὲ οὐσίᾳ πρότερον. ἢ "ἐξ ἀφαιρέσεως" λέγοι ἂν
10 (δύναθ) γάρ τις καὶ οὕτως ἀκούειν) τὸ λευκόν· τοῦτο γὰρ ὁ λόγος
ἀφαιρεῖθ καὶ χωρίζει τοῦ ὑποκειμένου, καὶ οὐκ ἔςι τὸ λευκὸν τῆς
οὐσίας πρότερον τῇ οὐσίᾳ ἀλλὰ τῷ λόγῳ· "ἐκ προθέσεως" δὲ τὸ
ἐκ λευκοῦ καὶ ἀνθρώπου. καὶ οὐκ ἔςι τοῦτο πάντῃ ὕςερον, ἀλλὰ τῷ μὲν
λόγῳ ὕςερον τῇ δὲ φύσει πρότερον. τὸ δὲ "ἐκ προθέσεως γὰρ τῷ
15 λευκῷ ὁ λευκὸς ἄνθρωπον λέγεθ" ἀντὶ τοῦ προθέσει γὰρ τοῦ λευκοῦ
ὁ λευκὸς ἄνθρωπος λέγεθ ἐκ προθέσεως. καὶ συμπεραίνεθ λοιπὸν
λέγων "ὅτι" κτλ.

ὥσπερ οὖν, φησί, καὶ τὸ καθόλου ἐν τοῖς μαθήμασιν οὐ περὶ 263 14.
κεχωρισμένων ἐςί τινων καὶ καθ' αὑτὰ ὄντων καὶ ἑτέρων παρὰ τὰ
20 αἰθητὰ μεγέθη καὶ ἀριθμούς, ἀλλὰ περὶ τούτων μὲν ποιεῖθ τοὺς λόγους,
οὐχ ᾗ δὲ αἰθητὰ οὐδὲ ᾗ δυνάμενα ἔχειν μέγεθος καὶ διαιρεῖθαι, ἀλλ'
αὐτὸ τοῦτο μόνον ὁρᾷ ὅτι δύναν) τὸν τῆς ἀναλογίας λόγον φυλάσ-
σειν ἐναλλὰξ ληφθέντα, οὕτω καὶ ὁ γεωμέτρης ποιήσεθ λόγον καὶ
ἀπόδειξιν ἀκριβῆ περὶ τὸ αἰθητὸν ςερεόν, οὐχ ᾗ δὲ ἔχον ἀντιτυπίαν
25 ἢ βάρος ἢ λευκόν, ἀλλ' ᾗ τοιόνδε, τουτέςιν ᾗ μέγεθος καὶ ᾗ τριχῇ
διαςατόν κτλ.

"ὡς' ἐπεὶ — μὴ χωρισά." ἔνςασίν τινα δυναμένην φέρεθ 263 29.
πρὸς τὰ λεγόμενα διὰ τούτων λύει. ἔςι δὲ ἡ ἔνςασις τοιαύτη.
εἰ τὰ μαθηματικὰ ἐξ ἀφαιρέσεως τὸ εἶναι ἔχει, πῶς αὐτά φαμεν
30 ὅτι εἰσίν; ταύτην λύων λέγει, ἐπεὶ οὐ μόνον τὰς οὐσίας (ταύτας
γὰρ λέγει χωρισάς) ἁπλῶς φαμὲν εἶναι, ἀλλὰ καὶ τὰ μὴ χωρισὰ ἤτοι
τὰ συμβεβηκότα καὶ μὴ καθ' αὑτὰ δυνάμενα εἶναι (κατηγορεῖμεν
γὰρ καὶ κατὰ τούτων τὸ εἶναι ἁπλῶς, φημὶ δὴ τοῦ τε λευκοῦ καὶ τοῦ κινου-
μένου ἤτοι τῆς κινήσεως)· ὡς οὖν οὐ μόνον τὰς οὐσίας εἶναί φαμεν,

ἀλλὰ καὶ τὰς κινήσεις καὶ ὅλως τὰ πάθη, ἃ ἡ δύναται καθ' αὐτὰ εἶναι ἀλλ' ἐν ἀλλήλοις, οὕτω καὶ τὰ μαθηματικὰ ἕξεσι μὲν ἐξ ἀφαιρέσεως τὸ εἶναι, ἕξεσι δὲ καὶ τὸ κατ' αὐτῶν ἁπλῶς τὸ εἶναι λέγεται, καὶ οὐ μόνον θαρρύντως ἐροῦμεν ὡς εἰσίν, ἀλλὰ καὶ ἀποφανούμεθα ὅτι τοιαῦτά εἰσιν οἷα λέγουσιν, οἷον ὅτι ἡ γραμμὴ ἀπλατὴς καὶ ἡ ἐπιφάνεια ἀβαθὴς καὶ τὰ ἄλλα ὁμοίως· ὁ γὰρ λόγος ὁ χωρίσας τὴν γραμμὴν δύναται αὐτὴν τοιαύτην εἶναι νοεῖν οἵαν ἐχώρισε. καὶ ὥσπερ, φησίν, ἀληθές ἐστιν εἰπεῖν καὶ τὰς ἄλλας ἐπιστήμας τούτων μόνων ὧν εἰσὶν ἐπιστήμας εἶναι καὶ οὐ τοῦ συμβεβηκότος, οἷον ὅτι ἡ ἰατρικὴ τοῦ ὑγιεινοῦ ἐστὶν οὗ καὶ ἔστιν ἐπιστήμη, καὶ οὐ τοῦ συμβεβηκότος τῷ ὑγιεινῷ, οἷον τοῦ λευκοῦ, εἴγε τῷ ὑγιεινῷ συμβέβηκε λευκῷ εἶναι, οὕτω καὶ τῆς γεωμετρίας ἀληθὲς εἰπεῖν ὅτι τοῦ μεγέθους καὶ σχήματός ἐστι καὶ οὐ τοῦ βαρέος ἢ τοῦ θερμοῦ ἢ ὅλως τοῦ αἰσθητοῦ. ταῦτα γὰρ τῷ σώματι ὡς μὲν φυσικῶς καθ' αὐτὰ ὑπάρχει, ὡς δὲ μαθηματικῶς κατὰ συμβεβηκός. ὥστε οὔτε τῶν αἰσθητῶν ἁπλῶς ὡς αἰσθητῶν εἰσὶν αἱ μαθηματικαί, οὔτε παντάπασιν ἑτέρων ἄλλων ὄντων παρὰ τὰ αἰσθητά, ἀλλὰ τῶν αἰσθητῶν μέν, οὐχ ᾗ δὲ αἰσθητὰ ἀλλ' ᾗ μόνον μεγέθη εἰσὶ καὶ γραμμαὶ καὶ ἐπιφάνειαι. ἡ μὲν οὖν τῶν λεγομένων διάνοια αὕτη. κατὰ δὲ τὴν λέξιν πολλὴν ἀσάφειαν ἐποίησε τὸ "οὐχὶ τοῦ συμβεβηκότος, οἷον ὅτι λευκοῦ εἰ τὸ ὑγιεινὸν λευκόν, ᾗ δ' ἔστιν ὑγιεινοῦ." λέγει δὲ ὅτι ὥσπερ αἱ ἄλλαι ἐπιστῆμαι τούτων εἰσὶν ὧν εἰσὶν ἐπιστῆμαι καὶ πρὸς ἃ λέγονται ἀλλ' οὐ τῶν συμβεβηκότων αὐταῖς, καὶ σαφηνίζει τοῦτο ἐπὶ τῆς ἰατρικῆς καὶ τοῦ ὑγιεινοῦ, πρὸς ὃ αὕτη λέγεται, λέγων ὅτι οὐ τοῦ συμβεβηκότος ἐστὶν ἡ ἰατρική, οἷον τοῦ λευκοῦ, εἰ τὸ ὑγιεινὸν περὶ ὅ ἐστιν ἡ ἰατρικὴ λευκόν ἐστιν· οὐκ ἔστιν οὖν ἡ ἰατρικὴ τοῦ λευκοῦ, "ᾗ δ' ἐστὶν ὑγιεινοῦ," τουτέστιν ἀλλὰ καθό ἐστιν ὑγιεινὸν ἐστὶν αὐτοῦ ἡ ἰατρική, καὶ οὐ καθὸ λευκόν. ἢ οὖν οὕτως ἢ ὑπερβατῶς ἀναγνωστέον τὸ "οὐχὶ τοῦ συμβεβηκότος, οἷον ὅτι λευκοῦ, εἰ τὸ ὑγιεινὸν λευκόν, ᾗ δ' ἐστὶν ὑγιεινοῦ," οὕτως· οὐχὶ τοῦ συμβεβηκότος ἐστὶν ἡ ἰατρική, καθὸ δὲ ὑγιεινοῦ ἐστίν. ὅσα γὰρ καθ' αὑτὸ τοῦ ὑγιεινοῦ ὡς ὑγιεινοῦ, οὐκ ἔστι καὶ τοῦ συμβεβηκότος, οἷον τοῦ λευκοῦ, εἰ τὸ ὑγιεινὸν λευκόν ἐστιν. τὸ δὲ "ἀλλ' ἐκείνου ἢ ἐστὶν ἑκάστη, εἰ ὑγιεινὸν ὑγιεινοῦ," τὸ "ἀλλ' ἐκείνου" ἀντὶ τοῦ

ὅλως· ὥν' ἡ τὸ λεγόμενον, καὶ ὅλως ἑκάστη ἐπιστήμη ἐκείνου ἐστὶν οὗ ἔστι καὶ οὗ λέγεται εἶναι.

ὡς ὧν ἐπὶ τούτων "οὕτως" φησὶ "καὶ τὴν γεωμετρίαν· οὐκ εἰ 264 7.
συμβ. α. ε. ὧν ἐστί, μὴ ἔστι δ' ἡ αἰθητά." καὶ παρέλκει γε ἐν τῇ
5 λέξει τῇ "οὐκ εἰ συμβέβηκεν αἰθητὰ εἶναι" ἡ οὐ ἀπόφασις. ἔστι
δὲ τὸ καταλληλον τῆς λέξεως τοιοῦτον. οὕτω καὶ τὴν γεωμετρίαν,
εἰ συμβέβηκεν αἰθητὰ εἶναι ὧν ἐστὶ θεωρητική, οὐκ ἔστι δὲ τούτων
θεωρητικὴ ἣ ἐστὶν αἰθητά, οὐδὲ θεωρεῖ αὐτὰ καθὸ θερμὰ ἢ βαρέα
ἐστὶν ἀλλὰ καθὸ μόνον μεγέθη. εἰ δὴ τοῦθ' οὕτως ἔχει, οὗθ' ἡ γεω-
10 μετρία οὔτ' ἄλλη τις τῶν μαθηματικῶν ἐπιστημῶν ἔσται τῶν αἰθη-
τῶν ἁπλῶς, ἀλλὰ τούτων μὴ οὐχ ἣ δὲ αἰθητά ἐστιν.

ἐν δὲ τῇ λέξει τῇ "ὥστε καὶ ἣ μὴ κινούμενα καὶ ἣ ἐπίπεδα," 264 14.
ἀντὶ τοῦ ὥστε καθὸ ἀκίνητα ἔσται αὐτῶν ἐπιστήμη καὶ καθὸ ἐπίπεδα,
μὴ φυσικά· τούτου γὰρ δεῖ προσυπακούειν.

15 τὸ δὲ "τοῦτο δὲ τὸ ἁπλῶν ἐστίν" ἴσον ἐστὶ τῷ τὸ δέ ἐστιν ἁπλού- 264 16.
στερον τὸ μᾶλλον τὴν ἀκρίβειαν ἔχον. εἰ δέ τις πάλιν ἐπιστήμη
ἐξετάζει τι ἀμέγεθες, ἐν μεγέθει δὲ τὸ εἶναι ἔχον, ὡς αἱ ποιότη-
τες (ἀμεγέθεις γὰρ οὖσαι ἐν μεγέθεσιν εἰσί), μᾶλλον ἐπιστήσε-
θεωρῶν αὐτὸ χωρὶς τοῦ ἐν ᾧ ἐστὶ μεγέθους· εἰ δὲ καὶ ἐν κινήσει ὂν ὡς
20 ἀκίνητον αὐτὸ θεωροίη, μᾶλλον ἐπιστήσε- αὐτὸ χωρὶς τῆς κινήσεως
ἑνορῶν· ἁπλούστερον γὰρ τὸ μὴ κινούμενον τοῦ κινουμένου, ὥσπερ καὶ τὸ
ἀχρωματίστον τοῦ κεχρωσμένου. ἀλλὰ κἂν περὶ κινουμένου τὴν ζή-
τησιν ποιῇ, ἀλλὰ κἂν περὶ αὐτῆς τῆς κινήσεως, μᾶλλον ἐπιστή-
σε- τοὺς λόγους περὶ τῆς ἁπλουστέρας ποιούμενος· αὕτη δέ ἐστιν ἡ
25 ὁμαλής. ὁμοίως δέ, φησί, καὶ περὶ ἁρμονικῆς καὶ ὀπτικῆς· ὅτε γὰρ
ἡ ὀπτικὴ τὴν ὄψιν ἣ ὄψις καὶ ὅλως τὸ τῆς ὄψεως εἶδος ἐπισκέπτε-,
ὅτε ὁ ἁρμονικὸς τὸ εἶδος τῆς φωνῆς.

ὥστε, φησίν, εἰ καὶ μή εἰσι τὰ μεγέθη καὶ τὰ σώματα χωριστὰ 264 23.
τῶν παθητικῶν ποιοτήτων, χωρίσαι δέ τις αὐτὰ τὰ σώματα
30 ἀλλὰ καὶ τὰ ἐπίπεδα καὶ τὰς γραμμὰς τῶν τοιούτων παθῶν τῷ
λόγῳ, καὶ ἐπιβλέποι τίνα τούτοις ὑπάρχει ἣ τοιαῦτα ἐστί, τυτέστιν ἣ
χωριστὰ καὶ πάντῃ ἐστερημένα θερμοτήτων βαρυτήτων καὶ τῶν
ὁμοίων, οὐδὲν ἂν ψεύδοιτο, ἐπεὶ οὐδ' ὁ ἐν τῷ ἐδαφίῳ τὴν μὴ πο-

διαίαν ὡς ποδιαίαν γράφων ψεύδεται· οὐ γὰρ ἐν τῇ προτάσει τὸ ψεῦδος, ἀλλ' ἐν τῇ καταγραφῇ.

264 28. "ἄρισα — χωρίσας." ἔνστασιν ἐνταῦθα κομιζομένην πρὸς τὴν ἑαυτοῦ δόξαν διαλύει. ἡ δὲ ἔνστασις τοιαύτη. εἰ γάρ, φασί, μὴ συγχωρεῖς εἶναι χωριστοὺς ἀριθμοὺς μηδὲ σχήματα, περὶ μὴ ὄντων οἱ μαθηματικοὶ διαλέγονται· οὔτε γὰρ περὶ τῶν ἐν τοῖς σώμασι τοῖς αἰσθητοῖς διαλέξονται (ἔνυλα γὰρ τὰ τοιαῦτα, οἱ δὲ μαθηματικοὶ περὶ ἄυλα ἀναστρέφονται) οὔτε περὶ χωριστῶν, ἐπεὶ μηδ' ὅλως δίδωσι εἶναι χωριστά. λύων οὖν ταύτην τὴν ἔνστασιν λέγει ὅτι περὶ μὴ ὄντων μὲν ἐνεργείᾳ δυνάμει δὲ ὄντων τὴν θεωρίαν ποιοῦνται.

265 2. "ὁ δ' ἔθετο ἓν ἀδιαίρετον," τουτέστιν ὁ δὲ ἀριθμητικὸς προσελθὼν αὐτῷ ἔθετο καὶ ἔλαβε τὸ ἐν αὐτῷ ἓν ἀδιαίρετον, ἤτοι τὸ μοναδικὸν αὐτοῦ καὶ τὸ ἄτομον, καὶ θεωρεῖ τί τούτῳ ἢ ἀδιαίρετον συμβαίνει· ὁ δὲ γεωμέτρης τὸ στερεὸν αὐτοῦ καὶ τὸ πάντη διαστατὸν ἐπισκέπτεται κτλ.

πρὸς ἃ ῥητέον ὅτι πρῶτον μέν τί τὸ ἀπὸ τοῦ δυνάμει εἰς ἐνέργειαν ἄγον τὸ σχῆμα καὶ τὸ μέγεθος; οὐ γὰρ δὴ τὸ δυνάμει φυλάξας δυνάμει νοεῖ ὁ γεωμέτρης, ἀλλ' ἐνεργείᾳ αὐτὸ ποιήσας· εἰ δὲ τοῦτο, μορφοῖ αὐτὸ καὶ ἀκριβέστερον ποιεῖ καὶ τελειοῖ. πῶς ἂν οὖν δύναιτο ταῦτα ποιεῖν μὴ ἔχων τὰ ἐνεργείᾳ ἐν ἑαυτῷ; σὸν γάρ ἐστιν, ὦ Ἀριστότελες, ὅτι ὑπὸ μόνου τοῦ ἐνεργείᾳ τὸ δυνάμει τελειοῦται καὶ εἰς ἐνέργειαν ἄγεται. ἔπειτα δὲ οὐδὲ πάντα ἀπὸ τῶν αἰσθητῶν δύναται λαμβάνειν ἡ γεωμετρία· πολλὰ γὰρ σχήματα καὶ πάθη θεωρεῖ σχημάτων, ἃ ὁ αἰσθητὸς κόσμος οὐχ ὑποδέδεκται. εἶτα εἰ ἐνεργείᾳ μέν ἐστιν ἐν τοῖς αἰσθητοῖς ταῦτα (οὕτω γὰρ ὁ Ἀφροδισιεὺς τοῦτο τὸ ῥητὸν ἐξηγεῖται), δυνάμει δὲ θεωρεῖται καθ' ἑαυτό, πῶς ἀκριβέστερόν ἐστι τὸ δυνάμει τοῦ ἐνεργείᾳ; ὃ δὴ καὶ εὐλαβηθεὶς ὁ νεώτερος Ἀριστοτέλης ὁ ἐξηγητὴς τοῦ φιλοσόφου Ἀριστοτέλους ἀνάπαλιν ἔφη λέγειν τὸν φιλόσοφον δυνάμει μὲν εἶναι ἐν τοῖς αἰσθητοῖς τὸ ἕν, ὃ ἐπισκέπτεται ὁ ἀριθμητικός, καὶ τὸ σχῆμα τὸ γεωμετρικόν, ἐνεργείᾳ δὲ ὑπὸ τῶν ἐπιστημῶν θεωρεῖσθαι. καὶ ἠβουλόμην ἐγὼ μᾶλλον οὕτως εἰρῆσθαι τῷ φιλοσόφῳ ὡς ὁ Ἀφροδισιεὺς ἐδοκίμασεν, ἵνα τά τε ἄλλα καθαρωτέρα γίγνηται αὐτῷ ἡ δόξα καὶ σὺν πλείονι παρρη-

σία λέγειν αὐτὴν ἀπαιτῶμεν, τί τὸ τελειῶσαν τὴν δύναμιν καὶ εἰς ἐνέργειαν περιοῦσαν. Syrianus.

"τὸ δυνατόν, ἤτοι τὸ τριχῇ διαστατόν, τὸ ἐπ' ἄπειρον διαιρετόν. 265 7.

"ἐπεὶ — τρόπον τινά." ἐν τούτοις ἀποτείνει μὲν πάνυ δεόν- 265 10-
5 τως πρὸς Ἀριστίππον καὶ εἴ τις ἄλλος ἀπεσκορακίζε τὰ μαθήματα, μηδενὸς αὐτὰ καλῶ ἢ ἀγαθῶ νομίζων σχολάζειν· καὶ φησι τῶ χρησίμω μὲν καὶ συμφέροντος ἐν τοῖς πρακτοῖς (τοῦτο γὰρ νῦν ἀγαθὸν καλεῖ) μὴ μετεῖναι τοῖς μαθήμασιν, ἐπεὶ μηδὲ τὴν ἀρχὴν πολιτική τις ἕξις ἦν ἡ μαθηματική, τῶ μέντοι καλῶ μάλιστα τοὺς μα- 22.
10 θηματικοὺς ἔχειν περὶ τὰ σύμμετρα καὶ ὡρισμένα καὶ εὔτακτα διατρίβοντας· κἂν γὰρ μὴ ὀνομάζωσι τὸ καλὸν ἐν τοῖς συμπεράσμασιν, ἀλλ' ὅν δήλη ἐστὶν αὐτῶν ἡ πραγματεία πᾶσα συμμετριῶν καὶ ὁμοιοτήτων καὶ ἀναλογιῶν καὶ τάξεων σχολαζομένη. πολλὰ δὲ καὶ ἐν τῇ φύσει τέλος ποιεῖ τὸ καλὸν καὶ τὸ εὔτακτον καὶ τὸ ὡρισμένον. Syr.

15 τὸ δὲ "εἰ γὰρ καὶ μὴ ὄν. τὰ δ' ἔρ. κ. τ. λ. δ." ἀντὶ τοῦ, εἰ μὴ 265 15.
λέγουσιν ἐν τοῖς συμπεράσμασι τὸ καλόν, δεικνύουσι δὲ τοῦ καλοῦ ἔργα· ἔργον γὰρ καλοῦ τὸ σύμμετρον καὶ τὰ ὅμοια. ὃ διὰ τοῦτο δὴ ὑποληπτέον ὡς ὃ λέγουσι περὶ τοῦ καλοῦ.

καὶ ἐπεὶ ὁ Πλάτων ἀριθμοὺς εἰδητικοὺς ἐκάλει τὰς ἰδέας ἑπόμε- 265 26.
20 νος τοῖς Πυθαγορείοις, πρότερον, φησίν, ὡς ἰδέας αὐτὰς ἐξετάσωμεν μὴ συνάπτοντες μηδὲ μεμνημέναι μηδ' ὅλως ἀναλογιζόμενοι εἴτε εἰσὶν ἀριθμοὶ τὰ εἴδη εἴτε καὶ μή, ἀλλ' εἰς αὐτὴν τὴν ἔννοιαν ἐλθόντες καθ' ἣν ἰδέας εἶναι ὑπέλαβον, ἐπισκεπτέον εἰ δυνατὸν εἶναι ἰδέας. ζητήσει γὰρ μετ' ταῦτα εἰ καὶ ἀριθμοὶ εἶναι εἰδητικοὶ δύνανται.

25 ὁ δὲ Σωκράτης ἰδέας μὲν εἶναι ἔλεγε, περὶ μόνας δὲ τὰς ἠθικὰς 266 5.
ἀρετὰς διατρίβει. καὶ οὗτος πρῶτος ἐζήτησεν ὁρισμοὺς λαμβάνειν τῶν καθόλου, οἷον τῆς καθόλου σωφροσύνης, τῆς καθόλου δικαιοσύνης καὶ τῶν ἄλλων ἁπασῶν.

"ὡρίσατό πως," τουτέστι μαλακῶς καὶ ὡς ἔτυχεν. 266 9.

30 ὥστε δύναται τἀναντία περὶ τοῦ αὐτοῦ συλλογίζεσθαι, οἷον ὅτι ἡ 266 15.
ἡδονὴ ἀγαθόν ἐστι καὶ πάλιν ὅτι ἡ ἡδονὴ κακόν ἐστι, καὶ ὅτι τῶν ἐναντίων ἡ αὐτὴ ἐπιστήμη.

οἱ δὲ περὶ Πλάτωνα ἐχώρισαν καὶ τὰ τοιαῦτα ἰδέας κατωνό- 266 19.
μασαν· ὥστε συμβαίνει αὐτοῖς πάντων καὶ ὅλως ὧν ὁ βούλονται ἰδέας

εἶναι. εἰ γὰρ κατ' αὐτὰς ὅπου ἓν ἐπὶ πολλῶν καθόλου ἕτερον τῶν μερικῶν νοεῖται, τούτων εἰσὶν ἰδέαι, ἔσται καὶ τῶν πρός τι καὶ τῶν οἰκιῶν καὶ ἄλλων πολλῶν ἰδέαι, ὧν ἰδέας εἶναι οὐ βούλονται. ταῦτα μὲν δὴ μέχρι τῆς λέξεως ταύτης κατὰ τὴν ἐμὴν σεσαφήνισται δύναμιν, ἀπὸ δὲ τῆς λέξεως τῆς "καὶ παραπλήσιον ὥσπερ ἂν εἴ τις ἀριθμῆσαι βουλόμενος" ἕως τοῦ "ἀλλὰ — τοῖς τεθεωρημένοις" (c. 5 extr.) τὰ αὐτά ἐστιν ἀπαραλλάκτως τοῖς ἐν τῷ μείζονι Α λεγομένοις, πλὴν τῆς λέξεως τῆς "εἰ δὲ τὰ μὲν ἄλλα τοὺς κοινοὺς λόγους ἐφαρμόττειν θήσομεν" ἕως τοῦ "ἢ πᾶσιν ὑπάρξει τοῖς εἴδεσιν ὡς γένος" (c. 4 extr.)· διὸ ταύτην μὲν σαφηνιοῦμεν, ἐκείνων δὲ τὴν σαφήνειαν ἐκ τῶν ἐν τῷ μείζονι Α σχολῶν θηρᾶσαι χρή.

266 29. ἀντὶ τοῦ συνώνυμον ὁ Ἀλέξανδρος. δυνατὸν δ' ἔστι καὶ ὡς ἔχει τὴν λέξιν παραλαμβάνειν· ὁμώνυμος γὰρ ἑκάστη τῶν ἰδεῶν τοῖς αἰσθητοῖς κατὰ μηδέν τι κοινωνοῦσα τούτοις (ἀίδιος γὰρ) εἰ μὴ μόνῳ τῷ ὀνόματι. cod. Reg.

ψεῦδος οὖν τὸ παρ' ἕκαστον εἶναι ὁμώνυμον πλὴν τό γε τοσοῦτον. αὐτὸς δὲ ὀρθῶς εἴρηκε. νῦν ἡμᾶς χρὴ μεμνῆσθαι ὅτι τὰς ἰδέας ὁμωνύμους φησὶν εἶναι τῶν αἰσθητῶν ἀλλ' οὐχὶ συνωνύμους, ὡς Ἀλέξανδρος αὐτόν φησιν ὑπολαμβάνειν. Syrianus.

267 1. ὅτι δὲ οὐκ ἀληθεύει ὁ κατήγορος λόγος, δῆλον ἐξ ὧν πολλοί εἰσι τρόποι παρ' αὐτοῖς δι' ὧν καὶ δεικνύουσιν εἶναι τὰ εἴδη, καὶ μόνον τούτων ὧν βούλονται. ὧν εἷς οὕτως ἠρώτηται. ὁ τὸν πᾶν ὑφιστὰς θεός ἐστι, πᾶς θεὸς αὐτῷ τῷ εἶναι ποιεῖ, πᾶς αὐτῷ τῷ εἶναι ποιῶν ὁμοίωμα ἑαυτοῦ ποιεῖ· ὁ τὸν πᾶν ὑφιστὰς εἰκόνα ἑαυτοῦ τὸν κόσμον ποιεῖ· εἰ τοῦτο, ἔχει ἐν ἑαυτῷ παραδειγματικῶς τὰς αἰτίας τοῦ παντός, αὗται δέ εἰσιν αἱ ἰδέαι. πολλοὶ δὲ καὶ ἄλλοι εἰσὶ παρ' αὐτοῖς λόγοι, ὅ τε τὸν τέλειον τοῦ ἀτελοῦς προτάττων, τὴν μονάδα τοῦ πλήθους, τὸν ἀμερὲς τοῦ μεριστοῦ, τὸν ἀεὶ κατὰ τὰ αὐτὰ ἔχον τοῦ μεταπτώτου· ἐν οἷς δεικνύουσιν ὅτι μὴ ἀπὸ τῶν χειρόνων ἄρχεται τὰ πράγματα, ἀλλ' εἰς ταῦτα μὲν λήγει, ἄρχεται δὲ ἀπὸ τῶν τελειοτάτων καὶ ἀρίστων καὶ καλλίστων. οὐ γὰρ δήπου αἱ μὲν ἔννοιαι ἡμῶν δύνανται τῷ κυρίως ἴσῳ καὶ κυρίως ὁμοίῳ καὶ πᾶσι τοῖς τοιούτοις ἐπιβάλλειν, ὁ δὲ δημιουργικὸς νοῦς οὐκ ἔχει ἐν ἑαυτῷ τὸν αὐτοῖσον καὶ τὸν

αὐτοδίκαιον καὶ τὸ αὐτοκαλὸν καὶ ἀγαθόν, ὁμοίως καὶ πάντα τὰ τοιαῦτα. Syrianus.

ἐλέγετο μὴ ὑπὸ τῶν ἀνδρῶν καὶ τοῦτο· εἰ περὶ ὄντα αἱ ἐπιςῆ- 267 5.
μαι, ἔςι τὰ καθόλου· τῶν γὰρ καθόλου αἱ ἐπιςῆμαι. ὡς εἶναι τὸν
5 συλλογισμὸν ἐν τρίτῳ χήματι. Syrianus.

"ὅλως — εἶναι." βούλεται μὴ λέγειν ὅτι τὰς ἀρχὰς τῶν ὄντων 267 12.
μᾶλλον ἐθέλουσι σώζειν οἱ προςάται ταύτης τῆς θεωρίας ἤπερ τὸ περὶ τῶν ἰδεῶν δόγμα, σπουδάζοντες δὲ περὶ ὃ ἧττον εἶναι θέλουσιν ἀναιροῦσι τὰς ἀρχάς. Syrianus.

10 ἀλλὰ δεῖ μετέχειν ἢ μὴ λέγοντα κατὰ ὑποκειμένου ἀλλὰ καθ' 267 27.
αὐτά. παρέθετο δὲ τοῦ κατὰ συμβεβηκὸς παράδειγμα τὴν δυάδα· ταύτην γὰρ λέγει διπλάσιον, ἵνα δείξῃ ὅτι τὸ κατὰ συμβεβηκὸς μετέχειν οὐ συνίςησιν οὐσίαν, εἰ μὴ τὸ καθ' αὐτό, ὃ λέγει μὴ καθ' ὑποκειμένου.

15 τὸ μὴ λεγόμενον τοιοῦτόν ἐςιν. εἰ δέ τις μήθ' ἁπλῶς συνωνύ- 268 10.
μως λέγοι τὰς ἰδέας τοῖς τῇδε μήθ' ἁπλῶς ὁμωνύμως, ἀλλὰ τὸν αὐτὸν μὴ ἐφαρμόζοι λόγον καὶ τῇ ἰδέᾳ καὶ τῷ πρὸς αὐτὴν ἀπεικασμένῳ, προςιθείη δὲ ἐπὶ μὴ τῆς ἰδέας τὸ νοητόν, εἰ τύχοι, ἐπὶ δὲ τῶν τῇδε τὸ αἰσθητόν, οἰήσεται μέν τι λέγειν, οὐδὲν δὲ κατά γε τὸ
20 ἀληθὲς ἐρεῖ. τίνι γὰρ τῶν ἐν τῷ ὁρισμῷ τὸ νοητὸν ἢ τὸ αἰσθητὸν προσνέμοι; οἷον εἰ κύκλος μὴ εἴη φανταςός, εἴη δὲ καὶ αὐτὸς κύκλος ὁ νοητός, λέγοι δέ τις ἑκάτερον μὴ αὐτῶν χῆμα εἶναι ἐπίπεδον ὑπὸ μιᾶς γραμμῆς περιεχόμενον, πρὸς ἣν τῶν ἀφ' ἑνὸς σημείου τῶν ἐντὸς τοῦ χήματος πᾶσαι αἱ προσπίπτουσαι εὐθεῖαι πρὸς τὴν περι-
25 φέρειαν ἴσαι ἀλλήλαις εἰσίν, ἀλλὰ τὸν μὴ αὐτοκύκλον χῆμα λέγοι νοητόν, τὸν δὲ παρ' ἡμῖν χῆμα φανταςὸν ἢ αἰσθητόν, σκοπεῖν δεῖ, φησί, μὴ οὐδὲν ᾖ τὸ λεγόμενον· τίνι γάρ, φησί, τὸ νοητὸν ἢ τὸ αἰσθητὸν συντάξει; τῷ χήματι ἢ τῷ ἐπιπέδῳ ἢ τῇ γραμμῇ ἢ τῷ σημείῳ; πάντα γὰρ οὐσίαι τὰ εἰς τὸν ὁρισμὸν παραλαμβανόμενα,
30 ὡς ἐπὶ ἀνθρώπου· καὶ γὰρ τὸ ζῷον καὶ τὸ δίπουν. Syrianus.

"εἰ δὲ τὰ μὴ ἄλλα τοὺς κ. λ. ἐφαρμόττειν θήσομεν τοῖς εἴδεσιν." εἰπὼν ὅτι εἰ τὸ αὐτὸ εἶδος καὶ ἡ αὐτὴ φύσις ἐςὶ τῆς αὐτοδυάδος καὶ τῆς αἰσθητῆς δυάδος καὶ τοῦ αὐτοανθρώπου καὶ τοῦ αἰσθητοῦ ἀνθρώπου, ἔςαι καὶ τρίτη δυὰς καὶ τρίτος ἄνθρωπος, εἰ δὲ μὴ τὸ

αὐτό, ὁμώνυμον ἂν εἴη, λέγει ὅτι, εἰ δὲ τὰ μὴ ἄλλα τὰ λεγόμενα κᾷ τῶν αἰθητῶν κύκλων, οἷον τὸ χῆμα, τὸ ἐπίπεδον καὶ τὰ λοιπὰ μέρη τοῦ λόγου, ἐφαρμόζειν θήσομεν καὶ τῷ αὐτοκύκλῳ (τοῦτον γὰρ εἶπεν αὐτὸν τὸν κύκλον), εἰ δὴ κᾷ τὰ μέρη τοῦ ὁρισμοῦ μηδὲν διαφέρειν τὰ αἰθητὰ καὶ τὰς ἰδέας αὐτῶν φήσομεν, τὸ δ' ὅ ἔστι προσεθήσεθ, τουτέστι παράδειγμα ὂν τῶν αἰθητῶν, ἵν' ᾖ τοῦ μὴ αἰθητοῦ κύκλου ὁρισμὸς χῆμα ἐπίπεδον ὑπὸ μιᾶς γραμμῆς περιεχόμενον, πρὸς ἣν ἀφ' ἑνὸς τῶν ἐντὸς τοῦ κύκλου σημείων πᾶσαι αἱ προσπίπτουσαι ἴσαι ἀλλήλαις εἰσίν, τοῦ δὲ αὐτοκύκλου αὐτός τε ὅλος ὁ ὁρισμὸς καὶ προσέτι τὸ παράδειγμα ὂν τῶν αἰθητῶν κύκλων, καὶ πάλιν τοῦ μὴ αἰθητοῦ ἀνθρώπου τὸ ζῷον πεζὸν δίπουν, τοῦ δὲ αὐτοανθρώπου τὸ ζῷον πεζὸν δίπουν, παράδειγμα ὂν τῶν αἰθητῶν ἀνθρώπων, — εἰ ὧν τοῦτο φήσουσι τὸ δεῖν ταῖς ἰδέαις προσεθῆναι τὸ ὅ ἔστι παράδειγμα, οἷον ἀνθρώπου ἢ ἵππου ἢ ὅ ἂν εἴη, καὶ κᾷ τοῦτο μόνον διαφέρειν αὐτὰς τῶν αἰθητῶν εἴπωσι, σκοπεῖν δεῖν φησὶ μὴ κενὸν ᾖ τὸ λεγόμενον... λέγει μέσον τὸ σημεῖον, ἀφ' ὅ πᾶσαι αἱ προσπίπτουσαι ἴσαι ἀλλήλαις εἰσὶν ἢ πᾶσιν· πάντα γὰρ τὰ ἐν τῇ ἰδέᾳ κατ' αὐτὸς οὐσίαι καὶ ἰδέαι κτλ.

268 20. "πάντων δὲ μάλιστα" καθὼς καὶ ἐν τῷ μείζονι Α ἔλεγε... τὰ δὲ λοιπὰ εὑρέθησαν ἐν τῷ μείζονι Α.

268 24. "ἀλλὰ μ. οὐδὲ πρ. τ. ἐπ." καὶ γὰρ ἐπιζῆμαι ὁρισμοὶ ὑπάρχουσιν, οἱ δὲ ὁρισμοὶ τῶν συντεταγμένων εἰδῶν, οὗτοι δὲ τὰς ἰδέας ἐξαιροῦσι τῆς ὕλης· ὥστε ἀνωφελὴς καὶ πρὸς ἐπιζήμην· οὕτω μὴ γὰρ ἴσως αἴτια δόξειεν ἄν. Ἀναξαγόρας καὶ Εὔδοξος ἔλεγον πάντα ἐν πᾶσι μεμῖχθαι· ὥστε κᾷ τοῦτον τὸν λόγον κρείττους ἀρχὰς ἔλεγον ἐκεῖνοι τῶν τιθεμένων ἰδέας, ὅτι ἐκεῖνοι μὴ συνέταττον τοῖς γινομένοις τὰς ἀρχάς, οὗτοι δὲ οὐ συντάττουσι τὰς ἰδέας. ἀλλ' ἰδοὺ καὶ ὁ περὶ ἐκείνων λόγος δυσχερής. "κατ' οὐδένα τρόπον τῶν εἰωθότων," κατ' οὐδένα τῶν ἔκ τινος τρόπον· ἢ γὰρ ἐξ ὕλης, ἢ ἐκ σερήσεως, ἢ ἐκ ποιητικοῦ, ἢ κᾷ ὑσεροχρονίαν, ὡς ἐξ ὄρθρου ἡμέρα, καὶ τὸ ἐκ βοτάνης. καὶ τοῦτο διττῶς, ἢ ἐπανακάμπτον, ὡς ἐκ νυκτὸς ἡμέρα καὶ ἐξ ἡμέρας νύξ, ἢ μή, ὡς ἐκ νέου γέρων, οὐ μὴν ἐκ γέροντος νέος.

269 25. ὅτι μὴ οὐδὲν τούτων πλέον εἰπεῖν ἔχει πρὸς τὴν τῶν εἰδῶν ὑπόθεσιν δηλοῖ καὶ τὸ πρῶτον ταύτης τῆς πραγματείας βιβλίον καὶ τὰ

περὶ τῶν εἰδῶν αὐτῷ πεπραγματευμένα δύο βιβλία· χεδὸν γὰρ αὐτὰ ταῦτα πανταχῇ τὰ ἐπιχειρημάτια μεταφέρων, καὶ ποτὲ μὲν αὐτὰ κατακερματίζων καὶ ὑποδιαιρῶν ποτὲ δὲ συντομώτερον ἀπαγγέλλων πειρᾶται τοὺς πρεσβυτέρους ἑαυτοῦ φιλοσόφους εὐθύνειν. Syrianus.

ἡ μὲν πρώτη διαίρεσις ἐλλιπῶς μὲν εἴρηται, ἀληθῶς δέ· ἀνάγκη γάρ, εἰ ἔστιν αὐτοάριθμος καὶ μὴ φύσις ἄλλη ὢν ἀριθμεῖται, ἤτοι τὸν ἐχόμενον τοῦ προτέρου κατ' εἴδας διαφέρειν ἢ μὴ διαφέρειν· τοῦτο δὲ τὸ ἢ μὴ διαφέρειν παρεῖται δοκεῖ. αἱ δ' ἑξῆς διαιρέσεις αἱ κατὰ τὰς μονάδας περιτταὶ πᾶσαι καὶ παρὰ θύρας ποιούμεναι τὴν ζήτησιν. Syrianus. 269 31.

ἤτοι εἶναι τὸν ἐχόμενον (ἀνάγκη) τοῦ προτέρου διαφέροντα κατ' οὐσιώδεις καὶ εἰδοποιοὺς διαφοράς, ὥσπερ ἄν τις εἴποι τὸν ἄνθρωπον τοῦ ἵππου πρότερον διὰ τὴν τοῦ λογικοῦ διαφοράν (τὸ γὰρ λογικὸν τοῦ ἀλόγου τῇ τιμιότητι καὶ τῷ ἀρίστῳ πρότερον), καὶ τοῦτο πάλιν, λέγω δὴ τὸ διαφόρους εἶναι καὶ προτέρους καὶ ὑστέρους τῷ εἴδει τοὺς ἀριθμούς, ἢ εὐθὺς ἐπὶ τῶν μονάδων ὑπάρχει, καὶ ἔστιν ἀσύμβλητος καὶ ἑτεροειδὴς ὁποιαοῦν μονὰς ὁποιαοῦν μονάδι ἤτοι πᾶσα μονὰς πάσῃ μονάδι· ἢ οὐκ εἰσὶν ἑτεροειδεῖς αἱ μονάδες ἀλλὰ μόνον ἐφεξῆς, ὡς φαμεν ἄνωθεν κάτω ἐρχόμενοι πρώτην τὴν ἀπλανῆ σφαῖραν, ἐφεξῆς δὲ τὴν Κρονίαν καὶ ἐφεξῆς τὴν Διίον, καὶ ἐπὶ τῶν λοιπῶν ὁμοίως· καὶ ὁμοειδεῖς πᾶσαι πάσαις, οἷόν φασι τὸν μαθηματικὸν ἀριθμὸν κτλ. 270 2.

αἱ ἐν τῇ δυάδι πρώτῃ ἤτοι τῇ αὐτοδυάδι δυάδες εἰσὶ συμβληταὶ πρὸς ἑαυτὰς καὶ ὁμοειδεῖς, ὁμοίως καὶ ἐν τῇ αὐτοτριάδι... καὶ ἐπὶ τῶν ἄλλων ὡσαύτως, ὥσπερ καὶ οἱ τοὺς εἰδητικοὺς ἀριθμοὺς τιθέμενοι βούλονται. 270 13.

τοῦτο γὰρ ἔλεγε τὸ πρῶτον τῆς διαιρέσεως τμῆμα. τινὰς δὲ οἷον πάλαι τὸν ἑπτά, τὸν ὀκτώ, τὸν ἐννέα εἶναι οἷος ὁ μαθηματικὸς ἤτοι συμβλητοὺς καὶ ὁμοειδεῖς, ἄλλους δέ, οἷον τὸν εἴκοσι, τὸν τριάκοντα, τοὺς ὁμοίους εἶναι οἷον ὁ τρίτος ἔλεγε τρόπος· οὗτος δὲ ἦν ὁ τιθεὶς τὰς μὲν ἐν τῷ εἴκοσιν ἀριθμῷ μονάδας εἶναι πρὸς ἑαυτὰς συμβλητὰς καὶ ὁμοειδεῖς, πρὸς δὲ τὰς ἐνούσας τῷ τριάκοντα ἀριθμῷ ἀσυμβλήτους καὶ ἀνομοειδεῖς. 270 22.

270 24. ἀλλ' εἰ δυνατὸν εἶναι τοὺς ἀριθμοὺς ἐν τοῖς αἰθητοῖς ὡς στοιχεῖα, ἵνα ὡς ἐκ στοιχείων τῶν ἀριθμῶν ἡ φύσις εἴη τῶν αἰθητῶν, ὥς φασί τινες τῶν Πυθαγορείων, ἤδη ὅτως ἀναγκαῖόν ἐστι λέγειν ἢ τινὰς μὲ αὐτῶν ὡς στοιχεῖα ὄντας τῶν αἰθητῶν ἐνυπάρχειν τοῖς αἰθητοῖς τινὰς δὲ μὴ ἐνυπάρχειν, ἢ πάντας ὑπάρχειν. 5

271 2. "καὶ ἄλλου τινός," τῆς ἀορίστου δυάδος δηλαδή.

271 3. ἔστι τὸ "πλήν" ἐφερμηνευτικὸν τοῦ χεδόν.

271 6. ἐνταῦθα Πλάτωνα δῆλός ἐστι τάττων, ὡς καὶ ὁ ὑπομνηματιστὴς αὐτοῦ φησὶν Ἀλέξανδρος. καὶ δεχόμεθα Πλάτωνα ταῦτα λέγειν, καὶ μὴ μόνον ταῦτα· εἶναι γὰρ καὶ εἰδητικὸν ἀριθμὸν ὑπετίθετο, 10 τάξιν ἐχόντων ἐν αὐτῷ τῶν εἰδῶν, εἶναι καὶ τὸν μαθηματικόν, πρεσβύτερον μὲ ὄντα τοῦ φυσικοῦ, καταδεέστερον δὲ τοῦ εἰδητικοῦ, ὥσπερ δὴ καὶ ψυχὴ φύσεως μέν ἐστιν ὑπερτέρα, νοῦ δὲ δευτέρα. Syrian.

271 7. "οἱ μὲ ὖν" ὥσπερ ὁ Πλάτων. τὸν μὲ γὰρ ἔχοντα τὸ πρότερον καὶ ὕστερον ἔλεγεν εἶναι τὰς ἰδέας καὶ τοὺς εἰδητικοὺς ἀριθμούς, τὸν δὲ μὴ 15 τὸ πρότερον καὶ ὕστερον ἔχοντα μηδὲ κατ' εἶδος διαφέροντα τὸν μαθηματικὸν εἶναι ἐτίθετο, πρεσβύτερον μὲ αὐτὸν λέγων τοῦ φυσικοῦ καὶ δι' οὗ ἀριθμοῦμεν ἀριθμοῦ, δεύτερον δὲ τοῦ εἰδητικοῦ. καὶ χωριστὸς ἀμφοτέρους καὶ τὸν εἰδητικὸν καὶ τὸν μαθηματικὸν τῶν αἰθητῶν εἶναι βούλεται. διὰ μὲ ὖν τοῦ "οἱ μ. ο. ἀμφοτέρ. ε. τ. ἀρ." ἠνίξατο τὸν 20 Πλάτωνα, διὰ δὲ τοῦ "οἱ δὲ τὸν μαθημ. μ. ἀρ. ε. τ. πρ. τ. ὄντ." τοὺς περὶ Ξενοκράτην· ὅτοι γὰρ καὶ χωρίζουσι τὸν μαθηματικὸν τῶν αἰθητῶν καὶ μόνον αὐτῶν εἶναί φασι καὶ πρῶτον τῶν πάντων, τοῦ εἰδητικοῦ κατορχούμενοι. καὶ οἱ περὶ Ξενοκράτην οὖν ἕνα μόνον ἀριθμὸν νομίζουσι καὶ οἱ Πυθαγόρειοι· διὸ καὶ ὑποστικτέον εἰς τὸ "ἕνα," 25 εἶτα ἐπακτέον τὸ "τὸν ἀριθμόν," ἵν' ᾖ τὸ τῆς λέξεως τοιοῦτον. καὶ οἱ Πυθαγόρειοι δὲ ἕνα ἀριθμὸν εἶναι νομίζουσι. καὶ τίνα τοῦτον; τὸν μαθηματικόν, πλὴν οὐ κεχωρισμένον τῶν αἰθητῶν, ὡς οἱ περὶ Ξενοκράτην, οὐδὲ μοναδικόν, τουτέστιν ἀμερῆ καὶ ἀσώματον· μοναδικὸν γὰρ τὸ ἀμερὲς καὶ ἀσώματον ἐνταῦθα δῆλοι κτλ. 30

αὐτὸς μὲ Πυθαγόρας ἐν τῷ Ἱερῷ Λόγῳ διαρρήδην μορφῶν καὶ ἰδεῶν κράντορα τὸν ἀριθμὸν ἔλεγεν εἶναι, καὶ θεῶν δαιμόνων τε αἴτιον καὶ τῷ πρεσβίζῳ καὶ κρατιστεύοντι τεχνίτῃ θεῷ κανόνα καὶ λό-

γον τεχνικόν, νῦν τε καὶ σάθμαν ἀκλινεσάταν τὸν ἀριθμὸν ὑπεῖμεν συσάσιός τε καὶ γενέσιος τῶν πάντων. Φιλόλαος δὲ τῆς τῶν κοσμικῶν αἰωνίας διαμονῆς τὴν κρατισεύουσαν καὶ αὐτογενῆ συνοχὴν ἀπεφαίνετο εἶναι τὸν ἀριθμόν· Ἵππασος δὲ καὶ οἱ ἀκουσματικοὶ πάντες
5 κριτικὸν ὄργανον κοσμουργοῦ θεοῦ καὶ παράδειγμα κοσμοποιίας βούλονται εἶναι τὸν ἀριθμόν. Syrianus.

"οἱ δὲ — αἰθηρῶν." τοὺς περὶ Ξενοκράτην φησὶν αὐτὸν 271 10.
Ἀλέξανδρος αἰνίττεσθαι, οἳ χωρίζουσι μὲν τὸν μαθηματικὸν ἀπὸ τῶν αἰθηρῶν, οὐ μέντοι μόνον εἶναι νομίζουσι. Syrianus.

10 ἔχειν δὲ τὰς μονάδας μέγεθος κατεσκευάζον οἱ Πυθαγόρειοι 271 16.
διὰ τοιούτου τινὸς λόγου. ἔλεγον οὖν ὅτι ἐπειδὴ ἐκ τοῦ πρώτου ἑνὸς αὐταὶ συνέστησαν, τὸ δὲ πρῶτον ἓν μέγεθος ἔχει, ἀνάγκη καὶ αὐτὰς μεμεγεθυσμένας εἶναι· τὸ γὰρ ἐκ μεμεγεθυσμένου γεγονὸς καὶ αὐτὸ μέγεθος ἔχειν ἐπάναγκες. ἐρωτώμενοι δὲ καὶ τί τὸ συστῆσαν τὸ
15 πρῶτον ἓν καὶ διὰ τί, καὶ πῶς τὸ μέγεθος ἔχει καὶ πῶς ἐξ αὐτοῦ αἱ μονάδες γεννῶνται, οὐδὲν ἔλεγον σπουδαῖον. ἄλλος δὲ πάλιν, φησί, Πυθαγόρειος τὸν μαθηματικὸν ἀριθμὸν οὐ προσίεται, ἀλλ' ἕνα καὶ πρῶτον ἀριθμὸν τὸν τῶν εἰδῶν εἶναι ἔλεγεν. "ἔνιοι δὲ καὶ τὸν μαθηματικὸν τὸν αὐτὸν τοῦτον," τουτέστι τινὲς δὲ τῶν Πυθαγορείων τὸν μὲν
20 συνεγνωσμένον μαθηματικὸν ἀνήρουν, ἕνα δὲ ποιοῦντες ἀριθμόν, τὸν εἰδητικόν, τὸν αὐτὸν τοῦτον ἐκάλουν καὶ μαθηματικόν.

μόνον δὲ τοῦτον καὶ πάντως χωριστόν, εἶναι δὲ καὶ τὸν μαθημα- 271 19.
τικὸν τὸν αὐτὸν τούτῳ. ἔνιοι, φησί, τὸν μὲν συνεγνωσμένον μαθηματικὸν ἀνήρουν, ἕνα δὲ ποιοῦντες ἀριθμὸν τὸν εἰδητικὸν τὸν αὐτὸν
25 τοῦτον ἐκάλουν καὶ μαθηματικόν.

καὶ περὶ τῶν ἐπιπέδων, φησί, καὶ τῶν στερεῶν ὁμοίως τοῖς 271 20.
ἀριθμοῖς ἀπεφήναντο. οἱ μὲν αὐτῶν ἕτερα λέγουσι τὰ μαθηματικὰ ἐπίπεδα καὶ τὰ στερεὰ καὶ ἕτερα τὰ εἰδητικά· ἄλλο γὰρ ἔλεγον εἶναι τὸ μαθηματικὸν ἐπίπεδον, περὶ ὃ ὁ γεωμέτρης πραγματεύεται, καὶ
30 ἄλλο τὸ αὐτοεπίπεδον. "τῶν δὲ ἄλλως λεγόντων," φησίν, ἤτοι τῶν εἰδητικοὺς ἀριθμοὺς καὶ εἰδητικὰ ἐπίπεδα καὶ στερεὰ μὴ λεγόντων. ἢ εἰπὼν "τῶν δὲ ἄλλως λεγόντων" ἐξηγητικὸν οἶμαι ἐπήγαγεν τὸ "ὅσοι μὴ ποιοῦσι τὰς ἰδέας ἀριθμούς," ὡς εἰ ἔλεγε, τῶν δὲ ἄλλως λεγόντων, τίνας δὲ ἄλλως λέγειν φημί; τοὺς ὅσοι δηλονότι μὴ

ποιῦσι τὰς ἰδέας ἀριθμύς, μηδὲ ὅλως εἶναι εἰδητικὺς ἀριθμὺς νομίζοντας· ὅτοι κ τὰ μαθηματικὰ ςερεὰ κ τὰ ἐπίπεδα μαθηματικῶς λέγυσι, τυτέςι πᾶν μέγεθος εἰς μεγέθη λέγυσιν εἶναι διαιρετόν· τῦτο δὲ ταὐτόν ἐςι τῷ μὴ συγκεῖσθ τὴν γραμμὴν ἐκ ςιγμῶν ἢ τὲ ἐπίπεδον ἐκ γραμμῶν. πᾶν ὖν μέγεθος εἰς μεγέθη 5 εἶναι διαιρετὲν ὅτοί φασιν κ ὁποιασῦν μονάδας συντεθειμένας ποιεῖν δυάδας ἀποδέχον). οἱ δὲ λέγυσι μ τὰ μαθηματικὰ ἐπίπεδα, οἱ κ εἰδητικὺς ἀριθμὺς εἶναι λέγοντες, ὑ μαθηματικῶς δέ. ὑ γὰ τέμνεσθ πᾶν μέγεθος εἰς μεγέθη, ὑδὲ τὰς τυχύσας μονάδας δυάδα ποιεῖν, ἀλλά φασιν ὅτι αἱ πρῶ) γεγονῦῖαι δύο μονάδες 10 ὡς ἐξ ὕλης μ τῆς ἀορίςυ δυάδος, εἴδυς δὲ τῦ ἀρχικῦ ἑνός, τῦ αὐτοενὸς δηλονότι, αὖ) πεπαήκασι τὴν πρώτην δυάδα ἤτοι τὴν εἰδητικὴν δυάδα ἤτοι τὴν αὐτοδυάδα· αἱ δὲ πάλιν δευτέρως γεγονῦῖαι τρεῖς μονάδες ὡς ἐξ ὕλης μ κ αὖ) τῆς ἀορίςυ δυάδος, εἴδυς δὲ τῦ αὐτοενὸς πεποιήκασι τὴν αὐτοτριάδα. ὁμοίως κ ἐπὶ 15 τῆς αὐτοτριάδος κ τῶν λοιπῶν ἀποφαίνον), κ ὅ φασιν ὅτι ὁμοειδεῖς εἰσὶν αἱ ἐν τῇ αὐτοδυάδι μονάδες ταῖς ἐν τῇ αὐτοτριάδι κ αὖ) ταῖς ἐν τῇ αὐτοτετράδι (ἢ γὰ κ συντιθέμεναι αἱ ἐν τῇ αὐτοδυάδι ταῖς ἐν τῇ αὐτοτριάδι ἀπεγέννων ἄν τινα ἀριθμόν), ἀλλ' ἀνομοειδεῖς τὰς ἐν τῇ αὐτοδυάδι κ ἄλλας τῶν ἐν τῇ αὐτοτριάδι 20 ὑσῶν ἔλεγον. ταῦτα εἰπὼν λέγει, πάντες μ ὖν τὺς ἀριθμὺς μοναδικὺς κ ἀμεγέθεις κ ἀμερεῖς εἶναι λέγυσι, πλὴν τῶν Πυθαγορείων τῶν τὲ ἓν ἀρχὴν κ ςοιχεῖον τῶν ὄντων κ μέγεθος ἔχειν λεγόντων.

271 25. κ ἔχομεν κ ἐκ τῶν τῦ κατηγόρυ λόγων τὴν ὑπὲρ Ξενοκράτυς ἀπολογίαν, ὃς τὴν αὐτογραμμὴν ὐκ ἠνείχετο τέμνεσθ, ὑδὲ τὰς κ τὺς μέσυς λόγυς τῆς ψυχῆς ὁρωμένας γραμμάς· ἀφ' ἧς αἰτίας κ τὺς ἀριθμὺς ἐν λόγοις ὁρῶν κ εἴδεσιν ἀδιαιρέτυς ἐφύλαττε. Syr.

272 5. κ εἰ ἀσύμβλητον, κ ποῖον τῶν ῥηθέντων τρόπων;

272 12. συλλογίζε) ὖν δυνάμει ὕτως. αἱ ἰδέαι ἐκ τῦ ἑνὸς κ τῆς ἀορίςυ δυάδος παρ' αὐτοῖς ὑφίςαν). τὰ ἐκ τῦ ἑνὸς κ τῆς ἀορίςυ δυάδος ὑφιςάμενα ἀριθμοί εἰσιν. αἱ ἰδέαι ἄρα ἀριθμοί εἰσιν... τὲ δὲ "κ. αἱ ἀρχ. κ. τ. ς. λ. τ. ἀρ. εἶναι" ἀντὶ τῦ κ αἱ ἀρχαὶ

καὶ τὰ στοιχεῖα τῶν ἀριθμῶν παρ' αὐτοῖς ταῦτα εἶναι λέγουσι, τό τε ἓν καὶ ἡ ἀόριστος δυάς. τὸ δὲ "τάξαι τε ὅτε πρ. ἐνδ. ἀρ. αὐτ. ὁ. ὑ." εὐλόγως εἴρηται· εἰ γάρ ἐστιν οἷον φέρε ἡ αὐτοτριὰς ὁ αὐτοάνθρωπος, πῶς οἷόν τε ἢ πρότερον ἢ ὕστερον αὐτὸν λέγειν τῆς αὐτοτριάδος; εἰ δὴ ὑστῶν τῶν ἰδεῶν ἀνάγκη αὐτὰς ἀριθμὺς εἶναι, εἰ μή εἰσιν ἀριθμοὶ αἱ ἰδέαι, ὡς δέδεικται, ὅλως ὐκ εἰσίν.

εὖ δέ πως δόξειεν ἂν εἰρῆσθαι καὶ τὸ μὴ ἐνδέχεσθαι μήτε προτέρας μήθ' ὑστέρας αὐτὰς τῶν ἀριθμῶν, εἴπερ μή εἰσιν αἱ ἰδέαι ἀριθμοί· ἄμφω αἱ ἰδέαι καὶ οἱ ἀριθμοὶ γὰρ τὰ πρῶτα καὶ προσεχῶς ἐκ τῶν ἀρχῶν. ὥστε εἰ μὴ εἴεν ἄμφω, θάτερον ὐκ ἂν εἴη. ὐ μὴν ἀλλὰ τῷ γε παρηκολουθηκότι τοῖς θεολογικοῖς δόγμασι τῶν Πυθαγορείων καὶ τῷ Παρμενίδῃ τοῦ Πλάτωνος δῆλον γέγονεν ὅτι καὶ πρὸ τῶν ἰδεῶν εἰσὶν ἀριθμοὶ ὅ τε ἐπιπέδος καὶ ὁ ὑσιώδης, καὶ ὅτι ἐν πάσαις τάξεσιν ὅτοι τῶν θείων ἀναφαίνουσι· αἱ γὰρ ἰδέαι αἱ δημιουργικαὶ ὅτε ἁπλῶς πρῶται τῶν πάντων. Syr. 272 22.

ὅτι μὴ εἰ μὴ ἀσύμβλητοι ἀλλήλοις αἱ μονάδες πᾶσαι, αἵ τε ἐν τῷ αὐτοαριθμῷ καὶ ἐν ἑτέροις, καὶ πρὸς τούτῳ πᾶς ἀριθμὸς μοναδικὸς εἴη, ὅτε ὁ μαθηματικὸς ἔσται ἀριθμὸς ὅτε ὁ εἰδητικός, ἀκολούθως λαμβάνει. ὅ τε γὰρ μαθηματικὸς μὴ ἀλλ' ἐξ ἀδιαφόρων μονάδων· οὕτω γὰρ τὰς διαιρέσεις καὶ τὰς συνθέσεις καὶ τὸς πολλαπλασιασμὸς καὶ πάσας ἐπ' αὐτοῦ τὰς σχέσεις ἐπινοοῦμεν. ὅ τε εἰδητικὸς ὐ δύναται ἐκ μονάδων συμβλητῶν ἑαυταῖς συνεστάναι, κὴ μὴ τἀληθές, ὅτι μηδ' ὅλως μοναδικός ἐστι, κατ' αὐτὸν δέ, ὅτι δεῖ μὴ ἐκ τῶν ἀρχῶν ἅμα γεννᾶσθαι τὰς δύο μονάδας τῆς δυάδος καὶ τὰς τῶν τῆς τριάδος, τὰ δὲ ἐκ τῶν ἀρχῶν ἅμα γεννώμενα, φησίν, ἀδιάφορά ἐστιν. ἐφ' οἷς μέμνηται καὶ ῥημάτων τοῦ Πλάτωνος, δεικνὺς ὅτι καὶ κατ' ἐκεῖνον ἕκαστος τῶν ἀριθμῶν ἅμα πᾶς γεννᾶται ὑπὸ τῶν ἀρχῶν ἐξ ἀνίσων ἰσαθείς. ὁ μὴ ὖν Πλάτων ἠνίττετο διὰ τούτων ὅτι ἕτερα μέν ἐστιν ἀλλήλων καὶ ἄνισα τὰ θεῖα διὰ τὴν δυάδα καὶ τὴν ἐκ τῆς μονάδος πρόοδον, τὰ αὐτὰ δὲ καὶ ἴσα διὰ τὴν μονάδα καὶ τὴν ἐκ τῆς μονάδος ἐπιστροφήν, εἴτε καὶ μόνην πρὸ τῆς προόδου καὶ τῆς ἐπιστροφῆς φίλον τῷ προσαγορεύειν. ὅτός δὲ ὡς πάλαι μὴ ἀνίσων ὄντων τῶν ἀριθμῶν ἢ τῶν μονάδων τῶν ἐν τοῖς ἀριθμοῖς, νυνὶ δὲ ἰσαθέντων ἢ ἰσαθεισῶν, μνήμην πεποίηται. Syr. 272 23.

272 30. τὸ δὲ "ἅμα γ. αἱ ε. . δ. τ. πρ. μ. γεννῶν)" οὐκ ἔςι κατα-
σκευαςικόν, ὡς ἄν τῳ δόξειε διὰ τὸν γάρ σύνδεσμον, τοῦ ὅτι οὐκ
ἔςαι ἡ δυὰς πρώτη ἐκ τοῦ ἑνὸς καὶ τῆς ἀορίςου δυάδος, εἶτα ἡ τριάς,
ἀλλὰ πρῶτόν ἐςιν ἐπιχείρημα τῶν δεικνύντων μὴ εἶναι πάσας τὰς
ἐν τοῖς εἰδητικοῖς ἀριθμοῖς μονάδας ἀσυμβλήτους. ἐκ διαιρέσεως 5
δὲ δείκνυσι τοιαύτης ὅτι οὐκ εἰσὶν αἱ πᾶσαι μονάδες ἀσύμβλητοι·
ἢ γάρ εἰσιν ἀσύμβλητοι ἢ ἅμα γίγνονται ἐκ τοῦ ἑνὸς καὶ τῆς ἀορίςου
δυάδος αἱ ἐν τῇ αὐτοδυάδι μονάδες καὶ αἱ ἐν τῇ αὐτοτριάδι τριά-
δες καὶ αἱ τῶν ἄλλων ἀριθμῶν ἕκαςαι· ἢ πρῶτον μὲν γίνεται ἡ μία
μονάς, εἶτα ἡ ἑτέρα, καὶ τότε συντίθενται καὶ ἀποτελοῦσι τὴν αὐτο- 10
δυάδα. ἀλλ' ἐὰν ἅμα γεννῶνται αἱ ἐν τῇ δυάδι τῇ πρώτῃ ἤτοι τῇ
αὐτοδυάδι μονάδες καὶ αἱ ἐν τῇ αὐτοτριάδι καὶ αἱ ἐν τοῖς ἄλλοις
ἀριθμοῖς, οὐκ ἔσονται ἀσύμβλητοι ἀλλὰ συμβλητοὶ καὶ ἀδιάφοροι·
τὰ γὰρ ἅμα ἐκ τῶν ἀρχῶν γεννώμενα, ὡς καὶ αὐτοί φασιν, ἀδιά-
φορά ἐςιν. ψεῦδος ἄρα τὸ πάσας λέγειν ἀσυμβλήτους· εἰ γὰρ καὶ 15
τὰς ἐν τῇ δυάδι λέγοι τις μονάδας ἀσυμβλήτους εἶναι πρὸς τὰς ἐν
τῇ τριάδι, ὅπερ καὶ αὐτὸ ἀδύνατον δείξει, ἀλλὰ πρὸς ἑαυτὰς αἱ ἐν
τῇ αὐτοδυάδι οὐκ ἔσονται ἀσύμβλητοι. ὁμοίως οὐδὲ αἱ ἐν τῇ αὐτο-
τριάδι. ὥςε δεῖ πρὸ τῆς λέξεως τῆς "ἅμα γὰρ αἱ ἐν τῇ δυάδι τῇ
πρώτῃ μονάδες γεννῶνται" ἔξωθεν προσυπακούειν τοῦ ἀδύνατον δὲ 20
πάσας εἶναι τὰς μονάδας ἀσυμβλήτους· εἶτα ὡς προσκατασκευα-
ςικὸν τοῦ ἀδύνατον πάσας εἶναι τὰς μονάδας ἀσυμβλήτους ἐπά-
γειν τὸ "ἅμα γὰρ αἱ ἐν τῇ δυάδι τῇ πρώτῃ μονάδες γεννῶνται."
ἀλλὰ κἀν ταύτῃ τῇ λέξει ἐλλείπει ὁ ἤ σύνδεσμος· ἔδει γὰρ οὕτως
εἶναι γεγραμμένον "ἢ γὰρ ἅμα αἱ ἐν τῇ δυάδι τῇ πρώτῃ μονάδες 25
γεννῶνται" (ἐρεῖ γὰρ προϊών) "ἢ οὐχ ἅμα." ὥςε σαφεςάτη ἂν ἦν ἡ
λέξις εἰ οὕτω πως εἶχεν· ἀδύνατον δὲ πάσας εἶναι τὰς μονάδας
ἀσυμβλήτους· ἢ γὰρ αἱ ἐν τῇ δυάδι τῇ προηγουμένῃ μονάδες γεν-
νῶνται ἅμα ἢ οὐχ ἅμα. ἀλλὰ τὰ μὲν τῆς λέξεως οὕτως ἐχρῆν ἔχειν
οἶμαι τοιαῦτα· αὐτὸς δὲ μέμνηται καὶ ῥημάτων τοῦ Πλάτωνος λέγων 30
"εἴτε ὥσπερ ὁ πρῶτος εἰπών, ἐξ ἀνίσων γὰρ ἰσαζόντων ἐγένοντο,"
δεικνὺς ὅτι κατ' ἐκεῖνον ἕκαςος τῶν ἀριθμῶν πᾶς γεννᾶται ὑπὸ τῶν
ἀρχῶν, καὶ οὐχὶ πρῶτον μὲν ἡ μία μονὰς ὕςερον δὲ ἡ ἄλλη· αὐτὸς
δὲ διὰ τὸ πλῆρες τῆς διαιρέσεως ἐπισκέπτεται καὶ τὸ λοιπὸν τὸ λέγον

ἢ ὑχ ἅμα. τὸ δὲ "ἐξ ἀνίσων γὼ ἰσαθέντων" τοιοῦτόν ἐςιν. δοκεῖ ὁ Πλάτων λέγειν ὅτι ἐπειδὴ ἐκ τῆς ἀορίςου δυάδος, ἥτις καθὸ ἀόριςος ἄνισός ἐςιν, οἱ ἀριθμοὶ γίνονθ, ἄνισοί εἰσιν, ἰσάζονθ δὲ ὑπὸ τοῦ ἀρχικοῦ ἑνός· ὥςε ἐπειδὴ ἅμα γεννῶνθ, δῆλον ὡς ἀδιάφοροί εἰσιν. εἰ δὲ ἀσυμβλήτων ὑσῶν τῶν ἐν τῇ δυάδι μονάδων ἐςὶν αὐτῶν ἡ μὶ προτέρα ἡ δὲ δευτέρα (ὑ γὼ δὴ ἅμα ἀδιάφοροι κὶ ἀσύμβλητοι ὖσαι ἀπὸ τῶν ἀρχῶν προΐασι), κὶ ἡ αὐτοδυὰς προτέρα μὶ ἔςαι τῆς νεωτέρας μονάδος, νεωτέρα δὲ τῆς προτέρας. μῖξις γάρ ἐςι τῶν δύο μονάδων· ὥσπερ γὼ τὸ οἰνόμελι τοῦ μὶ οἴνου γλυκύτερον τοῦ δὲ μέλιτος ἀγλευκέςερόν ἐςιν, ὕτω κὶ ἡ δυὰς ὑςέρα μὶ τοῦ πρώτου μέρους ἑαυτῆς πρεσβυτέρα δὲ τοῦ δευτέρου. εἰ δὲ τοῦτο, συμβαίνει τῆς αὐτοδυάδος εἶναι τὴν προγεγονυῖαν αὐτῆς μονάδα πρεσβυτέραν αὐτῆς. ἀλλ' ὑδὲν κατ' αὐτὸς πρότερον τῆς αὐτοδυάδος, εἰ μὴ τὸ αὐτοὲν κὶ ἡ ἀόριςος δυάς.

τὸ μὶ λεγόμενον τοιοῦτόν ἐςιν, ὅτι μὶ τὸ ἓν τὸ ἀρχηγικὸν κὶ 273 5.
γεννητικὸν τῶν ὅλων, ἐὰν τὴν προτέραν μονάδα τῆς δυάδος ἐπινοήσωμεν, ἔςαι δυὰς ἔκ τε τοῦ ἑνὸς ἀρχηγικοῦ κὶ τῆς μονάδος ταύτης, πρὶν γένηθ δυάς. κὶ πάλιν ἐὰν τὰς δύο μονάδας τῆς δυάδος τῷ πρώτῳ ἑνὶ συντάξωμεν, ἔςαι τριὰς πρὶν ὑποςῆναι τὰ τρία· κὶ ἀεὶ ἡ ποσότης τῶν μονάδων προλήψεθ τὸς οἰκείους ἀριθμούς. Syr.

εἰ ἔςιν ἓν πρῶτον κατ' αὐτὸς κὶ πρώτη μονὰς κὶ δυὰς πρώτη, 273 12.
πᾶσα ἀνάγκη κὶ δεύτερον ἓν εἶναι κὶ μονάδα δευτέραν κὶ δυάδα δευτέραν· ὅπου γὼ τὰ πρῶτα, ἐκεῖ κὶ τὰ δεύτερα, κὶ ὅπου ταῦτα, ἐκεῖ κὶ τρίτα, κὶ ὕτως ἐφεξῆς. ἀλλὰ μὴν εἰ ταῦτα ὕτως ἔχει, ἀνάγκη κὶ τὰς μονάδας διαφόρους ἀλλήλαις εἶναι κὶ ἀσυμβλήτους· ἄλλη γὼ ἡ τρίτη παρὰ τὴν δευτέραν κὶ ἡ τετάρτη παρὰ τὴν τρίτην. Syr.

ὑ δύναθ, φησίν, εἶναι ὁ εἰδητικὸς ἀριθμός, τουτέςιν ἡ αὐτο- 273 25.
δυὰς κὶ ἡ αὐτοτριάς, ἀσυμβλήτων ὑποτεθεισῶν τῶν μονάδων· ὦ ἔπεθ μὴ εἶναι τὸν ἀριθμὸν τὸν εἰδητικόν. τοῦτο μὶ ἀφῆκεν, ἐπήνεγκε δὲ ὅτι κἂν τε συμβληταὶ ὦσι κἂν τε ἀσύμβλητοι αἱ μονάδες, δεῖ μὴ εἶναι τὴν αὐτοτριάδα τῷ πάντα μὶ ἀριθμὸν κὶ πρόθεσιν ἀριθμεῖθζ κὶ ἀποτελεῖθζ, οἷον τὴν δυάδα προσλαβοῦσαν

μονάδα τριάδα γίγνεϑαι, καὶ διὰ τοῦτο πολλὰς εἶναι δυάδας, ἔν τε τῇ ἑξάδι καὶ ὀκτάδι καὶ δωδεκάδι μόριόν τε εἶναι δυάδα, τριάδος μὲν τὸ δίμοιρον τετράδος δὲ τὸ ἥμισυ, τοῦ δὲ εἰδητικοῦ ἀριθμοῦ μηδὲν εἶναί τι τοιοῦτον. γεννᾶϑαι γὰρ παρ' αὐτοῖς ἐκ τῆς μονάδος καὶ τῆς ἀορίστου δυάδος, καὶ ἕκαστος αὐτῶν εἷς ἐστι καὶ εἷς οὐδεὶς ἄλλου μόριον. τὰ μὲν ὑπάρχοντα τῷ εἰδητικῷ λέγων ὀρθῶς, οὐκ ὀρθῶς δὲ προειληφὼς ὅτι πᾶς ἀριθμὸς μετρεῖϑαι κατὰ πρόϑεσιν καὶ ἀποτελεῖϑαι. Syr.

2748. τοῦτο ὡς ἐνιστάμενος πρὸς ἑαυτὸν λέγει. ἀλλ' ἐκεῖνοι, φησίν, ἐκ τῆς αὐτοδυάδος (ταύτην γὰρ πρώτην καλεῖ δυάδα) καὶ τῆς ἀρχικῆς δυάδος, ἣν ἀόριστον καλεῖ δυάδα, ἀπετέλουν τὴν τετράδα, οὐ συντιθέντες αὐτάς, οὐδὲ κατὰ πρόϑεσιν αὔξοντες, ἀλλὰ τῆς ἀορίστου δυάδος διπλασιασάσης τὴν αὐτοδυάδα καὶ οὕτως ἀποτελούσης τὴν τετράδα· ὥστε οὐκ ἂν τὸν ἐκεῖ ἀριθμὸν κατὰ πρόϑεσιν ἀποτελοῖεν. ταῦτα δὲ ἑαυτῷ ὥσπερ ἀντιτιθεὶς ὁμολογεῖ μέν τι τῶν ἀληϑῶν, ὅτι οὐ κατὰ πρόϑεσιν ἐποίουν τὸν ἐκεῖ ἀριθμόν, καὶ ὅτι δυοποιός ἐστι καὶ γενητικὴ πλήϑους καὶ πολλαπλασιασμῶν αἰτία τῶν ἀρχῶν ἡ ἑτέρα ἡ πάντα εἰς ἑαυτὰ ἐπιστρέφουσα τὰ θεῖα καὶ εἰς ἀπογέννησιν δευτέρων καὶ τρίτων εἰδῶν διαγείρουσα· λύει δὲ τὴν ἔνστασιν ὡς μὲν οἴεϑαι γοργῶς, παντὶ δὲ δῆλον ὅτι παραλογιστικῶς. Syr.

2749. ταῦτα εἰπὼν ἔνστασίν τινα πρὸς ἑαυτὸν ἐπάγει διὰ τοῦ "ἀλλ' ἐκ τῆς δυάδος τῆς πρώτης καὶ τῆς ἀορίστου δυάδος ἐγίνετο ἡ τετράς." ὃ δέ φησι τοιοῦτόν ἐστιν. ἀλλ' ἐκεῖνοι ἐκ τῆς αὐτοδυάδος (ταύτην γὰρ καλεῖ πρώτην δυάδα) καὶ τῆς ἀρχικῆς δυάδος, ἣν ἀόριστον καλεῖ δυάδα, ἀπετέλουν τὴν τετράδα, οὐ συντιθέντες αὐτὰς οὐδὲ κατὰ πρόϑεσιν αὔξοντες, ἀλλὰ τῆς ἀορίστου δυάδος διπλασιασάσης τὴν αὐτοδυάδα καὶ οὕτως ἀποτελούσης τὴν τετράδα, ὥστε οὐκ ἂν τὸν ἐκεῖ ἀριθμὸν κατὰ πρόϑεσιν ἀποτελοῖεν. ταῦτα ἑαυτῷ ὥσπερ ἔνστασιν κομίσας λύει τὴν ἔνστασιν γοργῶς καὶ ἀσαφῶς διὰ τοῦ "δύο δυάδες παρ' αὐτὴν τὴν δυάδα." δύο ὄν, φησίν, εὑρίσκονϑ' ἐν τῇ αὐτοτετράδι δυάδες παρ' αὐτὴν τὴν δυάδα, τουτέστι παρὰ τὴν αὐτοδυάδα. ἀλλὰ τὸ μὲν τῆς λέξεως τοιοῦτον· ὃ δὲ λέγει, τοιοῦτόν ἐστιν. ἀλλὰ χρὴ προσυπακούειν τοῦ ἀλλ' εἰ καὶ μὴ κατὰ πρόϑεσιν αἰροῦνϑ' τὸν ἀριθμὸν ἀποτελεῖν, ἀλλ' ὄν ἐν τῇ αὐτοτετράδι δύο δυάδας ὁμολογοῦσιν εἶναι παρὰ τὴν αὐτοδυάδα, ὥστε ἔσονϑ' τρεῖς

εἰδητικὴ δυάδες καὶ ὁ μία· μία μὲν ἡ αὐτοδυὰς καὶ αἱ ἑτέραι δύο αἱ ἐν τῇ αὐτοτετράδι κτλ.

"δύο — ὡρισμένην." εἰ καὶ μὴ κατ' πρόθεσιν, φησίν, αἱρεῖν τὸν ἀριθμὸν ἀποτελεῖν, ἀλλ' ὅν ἐν τῇ τετράδι δύο δυάδας ὁμολο-
5 γήσουσιν εἶναι παρὰ τὴν αὐτοδυάδα. εἰ δὲ τοῦτο φεύγοιεν, πάλιν ὁμολογήσουσι μόριον εἶναι τὴν αὐτοδυάδα τῆς αὐτοτετράδος, καὶ κατ' πρόθεσιν ἔσται ὁ ἀριθμὸς ἑτέρας δυάδος τῇ αὐτοδυάδι προσεθείσης καὶ οὕτως ἀποτελεσάσης τὴν τετράδα· ἡ δὲ τετρὰς ἔσται ἐκ τῆς αὐτοδυάδος καὶ ἄλλης δυάδος κατ' τὴν αὐτὴν ἀναλογίαν, καὶ ἡ
10 δυὰς ὑποστήσεται ἐκ τοῦ ἀρχικοῦ ἑνὸς καὶ ἄλλου ἑνός. εἰ δὲ τοῦτο, οὐχ οἷόν τε τὴν ἑτέραν ἀρχὴν ἀόριστον εἶναι δυάδα· τὸ γὰρ γεννώμενον ὑπὸ τῆς ἀορίστου δυάδος δυὰς ὤφειλεν εἶναι· νῦν δὲ οὐ δυὰς γεννᾶται ἀλλὰ μονάς, ἥτις σὺν τῷ ἑνὶ τὴν ὡρισμένην ἀποτελεῖ δυάδα. ἐὰν οὖν, φησί, μὴ δέξωνται ἐν τῇ αὐτοτετράδι δύο εἶναι δυάδας
15 παρὰ τὴν αὐτοδυάδα, ἕπεται αὐτοῖς ταῦτα πάντα, κατ' πρόθεσίν τε εἶναι τὸν ἀριθμὸν καὶ ἀνηρῆσθαι τὴν ἑτέραν τῶν ἀρχῶν. Syr.

μῖξιν δὲ εἶπε νῦν τὴν κρᾶσιν. 275 17.

ἐλλιπῶς εἴρηκε διὰ συντομίαν, τὸ δὲ τέλειον τοῦ λόγου τοιοῦτόν 275 23.
ἐστιν. ἀλλὰ μὴν οὐδὲ τοῦτο δεῖ λανθάνειν ὅτι συμβαίνει κατ' ταύτην
20 τὴν ὑπόθεσιν δυάδας δυάδων εἶναι προτέρας καὶ ἄλλους ἀριθμοὺς ἄλλων ἀριθμῶν, οἷον τριάδας τριάδος προτέρας φαίνεσθαι. Syr.

καὶ ἐπεὶ αἱ ἰδέαι παραδείγματά ἐστι τῶν ἐν τούτοις ζῴων, ἔσται 276 3.
κἀνταῦθα ζῷον ἐξ ἀνθρώπου καὶ ἵππου καὶ βοὸς συγκείμενον· τοῦτο γάρ ἐστι δηλωτικὸν τὸ "ὥστε δῆλον ὅτι κ. ω. ἰδ. α. τ. ο. σ.
25 ἔσται ἐκ ζῴων." ἀλλ' ἐπειδὴ ἔχει τινὰ ἀσάφειαν ἡ λέξις, σαφηνιστέον καὶ ἔτι αὐτήν. οἶμαι δὲ χρῆναι ὑποστίζειν εἰς τὸ "τὰ ζῷα," εἶτα ἐπάγειν τὸ "φαίη τις συγκεῖσθαι ἐκ ζῴων." καὶ εἴη ἂν τὸ λεγόμενον τοιοῦτον· ὥστε εἰ ἰδέαι ἐξ ἰδεῶν σύγκειται, καὶ τὰ ἐνταῦθα πράγματα, ὧν φασὶν εἶναι τὰς ἰδέας, συγκείμενα
30 ἔσται κτλ.

ἐλλιπῶς δὲ (εἴρηται), καὶ εἴη ἂν τὸ πλῆρες τοιοῦτον· τίνα γὰρ 276 15.
αἰτίαν ἕξει λέγειν ὁ φάσκων ἀδιαφόρους εἶναι τὰς ἐν τῇ αὐτοδεκάδι δυάδας ἴσας οὔσας ἀλλήλαις; καὶ τότε προσυπακουστέον τοῦ τὰς δὲ ἐν τοῖς ἄλλοις ἀριθμοῖς ἴσας μὲν διαφόρους δέ.

276 19. ἔπειτα ὑ μόνον τοῦτο ἔςαι, ἀλλὰ ϗ ἕτερον ἕψεϑ, ὅπερ διὰ τοῦ "τε" συνδέσμου ἠνίξατο. ϗ τί τὸ ἑπόμενον, ἐπάγει λέγων "ϗ πότερον" κτλ.

277 1. ϗ τοῦτο μ̄ ὀρθῶς ϗ ἀκολούθως ἑαυτοῖς φασὶν οἱ τὸν ἀριθμὸν τῶν ἰδεῶν ἐκ διαφερουσῶν μονάδων συνεςάναι λέγοντες, ἵνα μὴ ἐκ διαφόρων ἰδεῶν τὴν ἰδέαν ποιεῖν ἀναγκαϑῶσιν· ἕκαςον γὰρ εἶδος ἓν ἐςι κατ' αὐτὸς ϗ ἁπλοῦν... ἀλλὰ πρὸς μ̄ τὴν ἑαυτῶν ὑπόθεσιν ὀρθῶς λέγουσιν, ἁπλῶς δὲ ὑκ ὀρθῶς. τὸ δὲ "διὸ ϗ τὸ ἀρ. οὕτως" ὑπερβατῶς ἀναγνωςέον ὧδε· διὸ ϗ τὸ ἀριθμεῖϑϑ ἀναγκαῖον αὐτοῖς οὕτω λέγειν ἓν δύο, μὴ προσλαμβανομένου πρὸς τῷ ὑπάρχοντι ἑνὶ ἢ ἀριθμῷ ἄλλου ἑνός· ϗ γὰρ ϗ τούτου δεῖ προσυπακούειν.

277 11. "ἐπεὶ — διαφοράν." εἰώθασι, φησίν, ἀπορεῖν πότερον ἀπὸ τοῦ δύο ἐπὶ τὸν τρία δεῖ μεταβαίνειν ϗ τέσσαρα ϗ πέντε, ϗ ὅλως κ̄ σύνθεσιν ἀριθμεῖν, ἢ κ̄ διαίρεσιν ἀπὸ τῆς δεκάδος λαμβάνειν ἕν, δύο, τρία, τέσσαρα· αὐτοῖς μ̄ γὰρ ὐδέτερον τούτων ἀρέσκειν, ἡμῖν δέ, φησί, ῥητέον ὅτι γελοῖον ἐξ οὕτως ἐπιπολαίου ζητήματος ἕκαςον τῶν ἀριθμῶν αὐτὸ ποιεῖν κατ' ἰδέαν, ἀποκριτέον τε πρὸς αὐτὸς ὅτι ἀμφοτέρως ποιοῦμεν· ὡρισμένου μ̄ γὰρ τοῦ μεγίςου διαιροῦμεν, ἀορίςου δὲ ὄντος συντίθεμεν. ταῦτα δὲ ὅτι πρὸς μ̄ τὸν εἰδητικὸν ἀριθμὸν ὐδαμῶς ἀνάγεϑϑ δύναϑ, πρὸς μέντοι τὸν μαθηματικὸν πῇ μ̄ πῇ δὲ ὄ, πολλάκις ἐπεσημηνάμεθα· ὡς ϗ τὴν ἀπορίαν τῶν πρεσβυτέρων λίαν ἐπιςήμονα φαίνεϑϑ ϗ τὴν ἀπάντησιν τοῦ Ἀριςοτέλους μὴ πάντῃ ψευδῆ. Syr.

277 26. ὐδὲν γάρ, φησίν, οἷόν τε ταῖς μονάσιν ὑπάρχειν πάθος ἀμερέσιν ὄσαις, ὅπερ, φημὶ δὴ τὸ τὰ ἀμερῆ μὴ ἔχειν πάθος, καλλιςα ἐν τῷ τρίτῳ τῆς περὶ Οὐρανοῦ (c. 8) δέδειχϑ πραγματείας· ἐν γὰρ ταῖς μονάσι ποιότητα ὐκ οἴονϑ εἶναι, ἐν δὲ τοῖς ἀριθμοῖς ὑπάρχει μ̄ ποιόν, ἀλλ' ὕςερον τοῦ ποσοῦ.

277 30. ἔτι, φησίν, οὔτε ἀπὸ τοῦ ἀρχικοῦ ἑνὸς οὔτε ἀπὸ τῆς ἀρχικῆς δυάδος (αὕτη δέ ἐςιν ἡ ἀόριςος) ταῖς μονάσι κ̄ ποιότητα διαφέρειν γένοιτο· τὸ μ̄ γὰρ ἓν ἄποιον, ἡ δὲ ἅμα ποσοῦ ϗ ποιοῦ αἰτία.

278 2. "ὄντα" δὲ εἶπε τὰς ἰδέας· ὄντα γὰρ κυρίως τὰς ἰδέας εἶναι ἔλεγον οἱ τῶν ἰδεῶν προσάϑ· τὰ γὰρ ἐνταῦθα ὁμωνύμως ὄντα ϗ κ̄ συμβεβηκὸς ὄντα καλέσειεν ἄν τις, φασίν.

εἴπερ εἰέν τινες ταῦτα λέγοντες, δικαίως ὑπ' αὐτοῦ κακί- 278 8.
ζονται. ἀλλὰ μή ποτε τῷ μὴ τῶν ἰδεῶν ὀνόματι ὑ κατεχρῶντο,
διὰ δὲ τῶν μαθηματικῶν ὀνομάτων περὶ τῶν θείων ὑσιῶν ἠνίτ-
τοντο· πῶς γὰρ ἂν τὸ ἓν καὶ τὸν ἀριθμὸν προέταττον τῶν ὅλων, εἰ μὴ
5 τὸ ὑπερὑσιον ἓν καὶ τὰ ὄντως ὄντα καὶ τὸν τῶν ἰδεῶν προσεκύνουν διά-
κοσμον; ὁ δ' ὧν Ἀριςοτέλης ἀκόλουθα τῇ ἑαυτοῦ ὑποθέσει καὶ ταῦτα
γράφει. Syr.

τοὺς μὲν δύο, φησί, ποιεῖν ἀριθμοὺς καὶ διακρίνειν αὐτούς, ὥσπερ 278 29.
Πλάτωνα (σαφῶς γὰρ τὸν μαθηματικὸν ἕτερόν φησιν εἶναι τοῦ εἰδη-
10 τικοῦ), τοὺς δὲ ἕνα τὸν μαθηματικόν, ὥς τινας τῶν Πυθαγορείων,
τοὺς δὲ γινώσκειν ἀμφοτέρους ἕνα δὲ ποιεῖν αὐτούς· αἰνίττε[illegible] δὲ
Σπεύσιππον ἴσως καὶ Ξενοκράτην, οὓς καὶ χειρίςης ὑποθέσεώς φησι
προεςάναι. καὶ δι' ἃς αἰτίας σαφῶς λέγει· προείπομεν δὲ καὶ ἡμεῖς
περὶ τούτων ὅτι εἰ καὶ τοῖς αὐτοῖς ὀνόμασιν ἐκέχρηντο, ἀλλ' οὖν ᾤδε-
15 σαν κατ' εἴδη διάκρισιν τῶν διαφόρων ἀριθμῶν, ἐπεὶ καὶ ἄλλως ὁ
τοὺς ἀριθμοὺς τούτους μὴ διακρίνων ἀλλὰ συγχέων τόν τε εἰδητικὸν
ἀριθμὸν ἔχοντα ἐν ἑαυτῷ τὸν μαθηματικὸν ἀριθμόν, ὑποςάτην
τῶν ὅλων ποιεῖ [ἑκτὸν τὸν μαθηματικόν], τῷ τε καὶ ποιητῇ τῶν
πάντων ἀριθμητικὴν ἕξιν περιτίθησιν· ὧν τί ἂν εἴποι τις ἀπιθα-
20 νώτερον; Syr.

τῶν περὶ ἀριθμοὺς εἰπόντων οἱ μὲν δύο ἐποίουν αὐτοὺς καὶ διέκρι-
νον, ὥσπερ ὁ Πλάτων (σαφῶς γὰρ οὗτος τὸν μαθηματικὸν ἕτερον
εἶναι λέγει τοῦ εἰδητικοῦ), οἱ δὲ ἕνα τὸν μαθηματικόν, ὥσπερ τινὲς
τῶν Πυθαγορείων· οἱ δὲ ἐγίνωσκον μὲν ἀμφοτέρους καὶ τὸν εἰδητικὸν
25 καὶ τὸν μαθηματικόν, ἕνα δὲ ἐποίουν, ὥσπερ Σπεύσιππος καὶ Ξενο-
κράτης.

τίς γὰρ οὐκ ἂν γελάσειεν ἀκούων ὅτι οἱ Πυθαγόρειοι χωριςοὺς 279 12.
ἀριθμοὺς οὐκ ᾤδεσαν; αὐτοῦ μὲν Πυθαγόρου δίχως εἰωθότος ὁρίζε[illegible]
τοὺς ἀριθμούς, καὶ διὰ μὲν τοῦ ἑνὸς τῶν ὅρων τὸ πάντῃ χωριςὸν αὐτῶν
30 καὶ ἄχραντον ἐνδεικνυμένου, διὰ δὲ τοῦ ἑτέρου καὶ τὸ δημιουργικὸν αὐτῶν
καὶ προνοητικόν τε καὶ φρουρητικὸν τῶν ὅλων ἀναδιδάσκοντος (ὅταν
μὲν γὰρ ἔκτασιν καὶ ἐνέργειαν τῶν ἐν μονάδι σπερματικῶν λόγων εἶναι
φῇ τὸν ἀριθμὸν τὸν ἀπὸ τῆς οἰκείας ἀρχῆς αὐτογόνως καὶ αὐτοκινή-
τως προεληλυθότα, καὶ τὸν ἐν ἑαυτῷ ἱδρυμένον καὶ ἐν εἴδεσι παντοίοις

ἀφωρισμένον παραδίδωσιν· ὅταν δὲ τὸ πρὸ πάντων ὑποςὰν ἐν θείῳ νῷ, ἀφ' οὗ καὶ ἐξ οὗ πάντα συντέτακται καὶ μένει τάξιν ἄλυτον διηρθρωμένα, τὸν παραδειγματικὸν καὶ ποιητήν τε καὶ πατέρα θεῶν τε καὶ δαιμόνων καὶ τῶν θνητῶν πάντων ἀριθμὸν ἀνυμνεῖ), τῶν δὲ περὶ Ἵππασον ἀριθμὸν εἶναι λεγόντων παράδειγμα πρῶτον κοσμοποιίας καὶ πάλιν κριτικὸν κοσμουργοῦ θεοῦ ὄργανον, Φιλολάου δὲ διαχυριζομένου τὸν ἀριθμὸν εἶναι συνοχὴν τῆς τῶν κοσμικῶν αἰωνίας διαμονῆς τὴν αὐτογενῆ καὶ κρατιςεύουσαν, ἁπάντων δὲ ὡς εἰπεῖν τῶν ἄλλων Πυθαγορείων καὶ ἴχνη ταύτης τῆς θεωρίας τὴν περὶ τῶν ἀριθμῶν ὑπόληψιν διαρθρωσάντων. Syr.

279 13. πολλὰς γὰρ εὐθύνας ἔδωκεν ἡ τὰ ἄτομα μεγέθη εἰσάγουσα δόξα. ἀλλὰ καὶ ἡ Ξενοκράτους ἀπόφασις ἡ τὰς ἀτόμους εἰσάγουσα γραμμὰς αὐτάρκως καὶ αὕτη τῷ Ἀριςοτέλει ἤλεγκται.

τὰ δὲ νῦν ἐλεγχόμενα παντὶ μᾶλλον ἢ τοῖς Πυθαγορείοις προσήκει· ὅτε γὰρ τὸν ἀριθμὸν δι' οὗ μετροῦμεν τὰ αἰσθητά, τῶν αἰσθητῶν αἴτιον εἶναι λέγουσιν, εἰ καὶ θεωροῖεν εἰκόνας ἐν αὐτῷ τοῦ φυσικοῦ ἀριθμοῦ, ὥσπερ ἐν τῷ βωμίσκῳ τῷ διακόσια δέκα σώματος ἰδέαν ἐμφαίνεσθαι διαχυρίζετο, ἐν δὲ τῷ πυρὸς οἷον τῷ α', ἀέρος δὲ ἐν τῷ γ', καὶ τῆς γῆς ἐν τῷ ζ', καὶ ὕδατος ἐν τῷ θ'· ταῦτα γὰρ κατά τινα ἀναλογίαν αὐτοῖς ἐλαμβάνετο πρὸς ἔνδειξιν δυνάμεων φυσικῶν. Syr.

279 19. τὰ γὰρ θεωρήματα καὶ τὰ συμβαίνοντα τοῖς ἀριθμοῖς προσάπτουσι τοῖς σώμασιν, ὡς ἐκ τῶν ἀριθμῶν ὄντων τῶν σωμάτων· ὑπολαμβάνοντες γὰρ ὅτι ἐκ τῶν ἀριθμῶν εἰσίν (ἐκ γὰρ τοῦ βωμίσκου τοῦ δέκα τὸ ἁπλῶς σῶμα εἶναι ἔλεγον, ἐκ δὲ τοῦ ἕνδεκα τὸ πῦρ, ἐκ δὲ τοῦ τρισκαίδεκα τὸν ἀέρα καὶ ἐκ τοῦ ἐννέα τὸ ὕδωρ), ὑπολαμβάνοντες δὴ τοῦτο οὐδὲν ἔφασκον διαφέρειν τὰ τῷ βωμίσκῳ καθ' αὑτὸ ὑπάρχοντα ἐπ' αὐτοῦ θεωρεῖν ἢ ἐπὶ τοῦ ἐξ αὐτοῦ σώματος· ὁμοίως καὶ ἐπὶ τῶν ἄλλων. εἰ γάρ, φασί, συνέβη τῷ ἐννέα ἀριθμὸν εἶναι τετράγωνον πρῶτον μέσον ἔχοντα (τὸ δὲ μέσον ἔχοντα πρόσκειται διὰ τὴν τῆς μονάδος μεσιτείαν τὴν ἐν παντὶ περισσῷ εὑρισκομένην), εἰ δὴ ὁ ἐννέα τετράγωνός ἐςι πρῶτος ἔχων μέσον, καὶ τὸ ὕδωρ τοιοῦτόν ἐςι, καὶ μᾶλλον ἐπὶ τοῦ ὕδατος τοῦτο χρὴ

θεωρεῖν ἢ ἐπὶ τῦ ἐννέα· ὥςε δέδεικ῞ ὅτι ἐξ ἀριθμῶν τὰ αἰδῆτὰ ἐποίυν. καὶ συμπεραίνε῞ λέγων "εἰ τοίνυν" κτλ.

"ἔτι — μονάδος." ὃ ἀπορεῖ, τοιῦτόν ἐςιν. ἐκ τῦ ἑνὸς καὶ 279 24.
τῆς ἀορίςυ δυάδος τά τε ἄλλα γεννῶσι καὶ τὰς μονάδας. ἐπεὶ
5 ὧν ἐν τῇ ἀορίςῳ δυάδι, λέγω δὲ τῦ τε μεγάλυ καὶ τῦ μικρῦ, ἢ
αἱ μὲν ἐκ τῦ μεγάλυ αἱ δὲ ἐκ τῦ μικρῦ, ὐκ ἀπὸ πάντων ἑκάςη
τῶν ςοιχείων, ὐδ' ἴσαι αἱ μονάδες, ἀλλὰ πρὸς τῷ διάφοροι εἶναι
καὶ ἐναντίωσιν ἔχυσι πρὸς ἀλλήλας. ἔτι εἴ γε αἱ μὲν μεγάλαι αἱ δὲ
μικραὶ ἔσον῞, ἥ τε τριὰς πόθεν ἕξει τὴν τρίτην μονάδα, ἀπὸ τῦ
10 μεγάλυ ἢ ἀπὸ τῦ μικρῦ; εἰ μὴ ἄρα διὰ ταύτην, φησί, τὴν ἀπο-
ρίαν τὲ ἓν ἐν τῇ τριάδι καὶ παντὶ τῷ περιττῷ μέσον ποιῦσιν, ἵνα
ἴσαι ὦσιν αἵ τε ἐκ τῦ μεγάλυ γιγνόμεναι καὶ αἱ ἐκ τῦ μικρῦ, μὴ
μόνον ἐν ἀρτίῳ ἀλλὰ καὶ ἐν τῷ περιττῷ ἀριθμῷ· ὐδὲ ἑκάςη μονὰς
ἐκ τῆς τῦ μεγάλυ καὶ μικρῦ· δῆλον γὰ῞ ὅτι καὶ ἡνώθη ὕςερον ἰσα-
15 ῞ήντα· ἀλλ' ὧν ἦν πρὸ τῆς ἑνώσεως δύο. ἔπειτα δὲ τί διοίσει
μονὰς δυάδος; εἰ γὰ῞ ἐν τῇ μονάδι δυάς ἐςιν ἰσα῞ῆεῖσα, καὶ ἡ δυὰς
αὐτὲ τῦτο λέγε῞ δυὰς εἶναι, τί διοίσυσιν ἀλλήλων; τοιαῦτα δὴ
προτείναντος τῦ Ἀριςοτέλυς τὴν μὲν ἀόριςον δυάδα, εἴτε τὴν πρώ-
την εἴτε τὴν νοερὰν εἴτε τὴν ψυχικὴν εἴτε τὴν φυσικὴν εἴτε καὶ
20 αὐτὴν τὴν ἐν τῇ ὕλῃ θεωρυμένην τις ἐπισκέπτοιτο, ὐδέποτε φή-
σομεν μεμερισμένως ἐνεργεῖν ἢ πάχειν κατὰ τὲ μέγα καὶ τὲ σμικρόν,
ἀλλ' ἑκάςῳ τῶν γεννωμένων ὑπ' αὐτῆς καὶ τὲ μέγα συνεισφέρειν
καὶ τὲ σμικρὸν οἰκείως ἐν ἑκάςῃ τάξει τῶν ὄντων. Syr.

"ἔτι — ἦν." ἡ μονὰς προτέρα τῆς αὐτοδυάδος. εἰ δὲ ἡ 280 4.
25 αὐτοδυὰς ἰδέα καὶ ἡ πρεσβυτέρα ταύτης ἡ μονὰς ἰδέα, ἐκ τίνος ὧν
προῆλθεν; ὐ γὰ῞ δὴ ἐκ τῆς ἀορίςυ δυάδος· ἐκείνη γὰ῞ καὶ τὰ ἁπλᾶ
διπλασιάζει. ἐν δὴ τύτοις ὐ διορίζει μὲν περὶ ποίας λέγει μονάδος,
δῆλος δέ ἐςι περὶ τῆς συνεγνωσμένης προτείνων τὴν ἀπορίαν, ἥτις
ὕτε ἔςιν ἐν τῷ εἰδητικῷ ἀριθμῷ καὶ ἐν ὑςάτοις τῶν μαθηματικῶν
30 ἀπέρριπ῞, ὐδὲ τῆς μοναδικῆς δυάδος ἁπλῶς ὕσα πρεσβυτέρα,
ἀλλ' ἴσως μὲν γενέσει, ὐσία δὲ ὐδαμῶς· τοιαῦτα γὰ῞ τὰ ὑλικὰ
αἴτια. Syr.

ὥςε διὰ τῦ "ὡδὶ μὲν τῦ ἑνὸς εἰς τὲν ἄρτιον πίπτοντος" τὴν τῦ 280 14.
πρώτυ καὶ ἀσυνθέτυ γένεσιν ἠνίξατο· διὰ δὲ τῦ "ὡδὶ δὲ τῆς μὲν

δυάδος ἐμπιπτούσης ὁ ἀφ' ἑνὸς διπλασιαζόμενος" τῆς τοῦ ἀρτιάκις ἀρτίου γενέσεως μέμνηται. ἔστι δὲ τὸ λεγόμενον τοιοῦτον. τῆς δυάδος ἐπὶ τὸ ἓν πολλαπλασιαθείσης γίνεται πάλιν ὁ δύο (δὶς γὰρ μία δύο), τῆς δὲ δυάδος εἰς ἑαυτὴν ὁ τέτταρα. πάλιν δὲ τῆς αὐτῆς δυάδος εἰς τὸν τέτταρα ὁ ὀκτώ, εἰς δὲ τὸν ὀκτὼ ὁ ἑκκαίδεκα. καὶ ὁμοίως ὁδεύουσα τὸν ἀρτιάκις ἄρτιον γεννᾷ· τοῦτον γὰρ εἶπεν ἀφ' ἑνὸς διπλασιαζόμενον κτλ.

τὸ μὲν ἓν ἐμπεσὸν τῇ δυάδι κατ' αὐτὸν ποιεῖ τὸν τρία, ἡ δὲ δυὰς ἐπὶ μὲν τὸ ἓν ἐλθοῦσα ποιεῖ τὸν δύο, ἐπὶ δὲ τοῦτον γιγνομένη καὶ ὁμοίως ὁδεύουσα τὸν ἀρτιάκις ἄρτιον, τῷ δὲ τρία καὶ τοῖς ἄλλοις περιττοῖς ἐπιγιγνομένη τὸν ἀρτιοπέριττον, ᾧ πάλιν ἐμπεσοῦσα ποιεῖ τὸν περισσάρτιον. ταῦτα ὡς τοῖς πρεσβυτέροις ἀρέσκοντα λέγει, ἀπορεῖ τε ὀρθῶς, εἴπερ μὴ ὀρθῶς ἱστόρηται, κατ' οὐδὲν προσήκει τῷ εἰδητικῷ ἀριθμῷ.

280 17. καὶ τοῦτο μέντοι ζηλωτὸν ἐν τοῖς ἐγκειμένοις τοῦ Ἀριστοτέλους, ὅτι τὰς ἰδέας οὐ πρώτων εἶναι τῶν αἰθητῶν ἔφη λέγειν αὐτοὺς ἀλλ' ἑαυτῶν μέν, εἶναι δὲ καὶ παραδείγματα τῶν τε ψυχικῶν εἰδῶν καὶ τῶν φυσικῶν καὶ τῶν τελευταίων τῶν αἰθητῶν, ἅπερ ἠνίξατο διὰ τοῦ "ἢ ἄλλου τινός." ἔστω δ' ὧν δεδειγμένον αὐτῷ ὅτι οὐκ εἰσὶν ἄπειροι οἱ νοητοὶ ἀριθμοὶ τῇ οἰκείᾳ ἑαυτῶν φύσει, καίτοι παρ' ἡμῖν ἄγνωστοι καὶ ἀπερίληπτοι ὄντες· εἰ γὰρ καὶ μὴ δι' ἃς αἰτίας εἴρηκε, παραιτήσαιτο ἄν τις ἐπ' αὐτῶν τὸ ἄπειρον. ἀλλ' ὧν ἱκανῶς ὁ Φιλόλαος τοῦτο ἀποδείκνυσιν· "ἀρχὰν" γάρ φησιν "οὐδὲ τὸ γνωσόμενον ἔσσεται, πάντων ἀπείρων ἐόντων."

280 18. καίτοι οὔτε κατὰ λόγον ἐνδέχεται ἄπειρόν τι εἶναι, ὡς πολλαχοῦ δέδεικται, οὔτε κατὰ τὴν αὐτῶν θέσιν τε καὶ δόξαν. μέχρι δεκάδος αὐτοῖς ἡ τῶν εἰδῶν πρόοδος· τοῦτο γὰρ ἐμήνυσε διὰ τοῦ "τάττουσι δὲ οὕτω τὰς ἰδέας."

280 24. καὶ ταύτην τὴν δόξαν ἀπό τε Ὀρφέως καὶ Μουσαίου καὶ τῶν ἐκεῖθεν καταγομένων ὑποδεξαμένων, ὁ Ἀριστοτέλης ὡς δεκάδα τῷ ἀριθμῷ ἰδέας αὐτῶν ὑποτιθεμένων, οὕτως εὐθύνει τὰς δόξας. καίτοι εἰ δέκα τῷ ἀριθμῷ ὑπετίθεντο, ἑκάστη δὲ δυνάμεις ἔχει ὡρισμένας μὲν ἡμῖν δὲ ἀγνώστους, οὐδ' ὡς τῶν εἰδῶν τοῦ ζῴου, οὐδ' ὅλως τῶν τῇδε εἰδῶν ἐλάττους ἂν ἦσαν αἱ παραδειγματικαὶ αἰτίαι,

εἰ τῇδε μὲ τῇ δυνάμει τῆς τριάδος τόδε τῇδε δὲ τόδε τὴν ὑπόςασιν ἔχειν ἐλέγομεν. ἀλλὰ ταῦτα μὲ ἀφείθω. Syr.

"ἔτι ἄτοπον" ἐλλιπῶς ἀπήγγελθ· ἦν δ' ἂν τὸ τῆς λέ- 281 12.
ξεως τέλειον, εἰ ὕτω πως ἦν γεγραμμένον, ἔτι ἄτοπον εἰ ὁ ἀριθ-
5 μὸς μέχρι τῆς δεκάδος, καὶ ταῦτα τὸ ἓν κατ' αὐτὸς μᾶλλόν τι ὂν
καὶ εἶδος τῆς δεκάδος· ὥςε λείπει τὸ καὶ ταῦτα ἓν κατ' αὐτὸς καὶ
ἀγέννητον. τὸ γὰρ ἓν ἢ ἓν ὕτοί φασιν ἀγέννητον, ἡ δὲ δεκὰς γέ-
γονεν· ὥςε εἰ τὸ ἓν καὶ εἶδος τῆς δεκάδος ἐςὶ καὶ ἀγέννητον, εἰ δὲ
δεκὰς γέγονεν, ἔςαι καὶ ἑνδεκὰς ὡς ἐξ εἴδους μὲ τοῦ ἑνός, ὕλης δὲ
10 τῆς δεκάδος. εὐλόγως δὲ τὸ ἓν μᾶλλόν τι εἴρηκεν· τὸ γὰρ εἶδος
μᾶλλόν τι καὶ τόδε τί ἐςιν ἤπερ ἡ ὕλη. ἀλλ' ὕτοι, φησί, μέχρι
τῆς δεκάδος πειρῶνθ τὴν γένεσιν τοῖς ἀριθμοῖς ποιεῖν, ὡς ὑςάτης
τελειότητος ὕσης τῆς δεκάδος, τὰ δ' ἄλλα ἐντὸς αὐτῆς γεννῶσι καὶ
θεωροῦσι καὶ τίθενθ, οἷον παράδειγμα κενοῦ, παράδειγμα ἀναλόγου,
15 παράδειγμα περιττοῦ. τὴν μὲ γὰρ μεταξὺ τῶν ἀρτίων χώραν τε-
τράδος ἑξάδος καὶ τῶν ὁμοίων, ὁμοίως καὶ τὴν τῶν περιττῶν, εἰκόνα
φέρειν ἔλεγον καὶ παράδειγμα τοῦ κενοῦ. εἶναι γὰρ κενὸν ἐτίθεντο
ἔξω τοῦ οὐρανοῦ οἱ Πυθαγόρειοι καὶ ἀναπνεόμενον ὑπὸ τοῦ παντὸς ἐπει-
σιέναι καὶ διακρίνειν ἀπ' ἀλλήλων τὰ τῇδε, ὡς ἐν τῇ Φυσικῇ εἴρηθ
20 Ἀκροάσει (4 6).

πάντα ὖν, φησίν, ἀπεδίδοσαν ταῖς ἀρχαῖς, τυτέςι τῇ τε μο- 281 18.
νάδι καὶ τῇ δυάδι, ςάσιν μὲ καὶ τὸ ἀγαθὸν μονάδι, κίνησιν δὲ καὶ τὸ
κακὸν δυάδι. δύναιντο δ' ἂν ἀρχὰς λέγειν καὶ τὰς δύο συςοιχίας
ἐν τοῖς ἄχρι δεκάδος ἀριθμοῖς, καὶ μάλα εὖ, ἐπειδὴ κἀν τοῖς ὕσι
25 τὰ μὲ τῶν ἀρχῶν ἐξήρτηθ μόνων τῆς τε μιᾶς καὶ τὸ μετ' αὐτὴν
δυοῖν, τὰ δὲ καὶ εἰδητικὴν αἰτίαν προείληφε· διότι δέ, λόγος
πλείων. ὃ δὲ ἀντιτίθησιν αὐτοῖς πρὸς τῷ τέλει, λίαν εὐδιάλυτον.
εἰ γὰρ φύσει διὰ τὸ ἓν ἡ τριάς, πῶς οὐχὶ διὰ τὴν τριάδα καὶ ἡ πεντὰς
καὶ πᾶς ὁ περιττός, ὥσπερ ὁ ἄρτιος πᾶς διὰ τὴν δυάδα; ἐροῦμεν
30 δὲ κτλ. Syr.

τὸ δὲ "εἰ γὰρ ἐν τῇ τριάδι, πῶς ἡ πεντὰς περιττόν;" πάνυ 281 20.
βραχέως καὶ ἐλλιπῶς καὶ διὰ τοῦτο λίαν ἀσαφῶς εἴρηθ. ἀναγνω-
ςέον δὲ αὐτὸ ὑπερβατῶς ὕτως· εἰ γὰρ ἐν τῇ τριάδι τὸ περιττόν,
πῶς ἡ πεντάς; καὶ εἴη ἂν τὸ λεγόμενον τοιοῦτον· εἰ γὰρ ἐν τῇ τριάδι

τὸ ἓν τὸ περιττόν, ἤτοι εἰ διὰ τὸ ἓν ἡ τριὰς τὸ εἶναι τριὰς ἔχει, καὶ αὐτό ἐστι τὸ εἰδοποιοῦν αὐτήν, εἰ οὖν τῇ τριάδι τὸ εἶναι τριάδι τὸ ἕν ἐστι τὸ διδοῦν, πῶς οὐχὶ καὶ διὰ τὴν τριάδα ἡ πεντὰς καὶ πᾶς ὁ περιττὸς ἀριθμὸς τὸ εἶναι πεντὰς ἕξει καὶ ἑπτὰς καὶ οἱ λοιποί, ὥσπερ ὁ ἄρτιος πᾶς διὰ τὴν δυάδα; ἀναγκαῖον γὰρ τὴν δυάδα ἀρχὴν οὖσαν τῶν ἀρτίων καὶ τὴν τριάδα εἶναι περιττῶν. "ἔτι τὰ μεγέθη καὶ ὅσα τοιαῦτα μέχρι πόσου." ἔτι, φησί, καὶ ἐκ τῶν μεγεθῶν δεικνύειν ἐπειρῶντο ὅτι μέχρι τῆς δυάδος (ταύτης γάρ ἐστι δηλωτικὸν τὸ "μέχρι ποσοῦ") προάγειν χρὴ τὸν ἀριθμόν· ἔλεγον γὰρ ὅτι ἡ μονὰς ποιεῖ τὸ σημεῖον, ὅπερ οὗτος ἄτομον καλεῖ γραμμήν, ἡ δυὰς τὴν γραμμήν, ἡ τριὰς τὸ ἐπίπεδον, ἡ τετρὰς τὸ σῶμα, καὶ τούτοις ἀρκεῖ τὸ πᾶν· ὥστε εἰ ταῦτα τῆς δεκάδος οὐσία (συντεθέντα γὰρ ἀποτελεῖ τὴν δεκάδα), τὸ πᾶν ἀρκεῖ τῇ δεκάδι.

2328. οὕτως οὖν καὶ ἡ μονὰς ἡ τὸ ὑποκείμενον συμπληροῦσα τῶν ἀριθμῶν, ἀνάλογον τῇ ὀξείᾳ παραλαμβανομένη, καὶ προτέρα καὶ ὑστέρα τῶν ἀριθμῶν, λόγῳ μὲν ὑστέρα γενέσει δὲ πρεσβυτέρα. Syr.

2332 12. "ἔστι — δυνάμει." ἀσαφῶς καὶ τὰ προρρηθέντα καὶ τὰ νῦν λεγόμενα ἀπήγγελται· δοκεῖ γὰρ τὸ "ἔστι γάρ πως ἓν ἑκάτερον" διὰ τὸν "γὰρ" σύνδεσμον ὅτι κατασκευαστικόν ἐστί τινος τῶν πρὸ αὐτοῦ· οὐκ ἔστι δὲ ἀλλὰ μηνυτικὸν τοῦ πῶς ἔχουσιν αἱ μονάδες ἐν τοῖς ἀριθμοῖς τὸ εἶναι, καὶ ἂν σαφὴς ἡ λέξις εἰ οὕτω πῶς ἂν γεγραμμένη· δεῖ δὲ μὴ λανθάνειν ὅπως ἑκάτερον ἓν καὶ ἑκατέρα μονὰς ἔχουσιν ἐν τῇ δυάδι καὶ ἐν τῇ τριάδι καὶ ἐν τοῖς λοιποῖς ἀριθμοῖς. καὶ τὸ μὲν ἑκάτερον ἓν ἐπὶ τῶν τῆς δυάδος λέγει μονάδων, τὸ δὲ λεγόμενον τοιοῦτον ἂν εἴη. κατὰ τὴν ὕλην, καθ' ἣν λαμβάνεται τούτων τῶν τῆς δυάδος μονάδων ἑκατέρα, δυνάμει ἔν ἐστι κατὰ ἀλήθειαν, ἀλλ' οὐκ ἐνεργείᾳ· εἰ γὰρ μή ἐστι σωρὸς μονάδων, ἐξ ἄλλων μέντοι καὶ ἄλλων ὁ ἀριθμός, ἀλλ' ἕκαστα ἐξ ὑποκειμένων μέν ἐστι τῶν τοσῶνδε μονάδων (ἀσύμβλητοι γὰρ αἱ τῆς δυάδος πρὸς τὰς τῆς τριάδος μονάδες μονάδας), οὐ κατὰ τὸ εἶδος συνέστηκε τὸ ἑαυτοῦ. διὸ οὐκ ἂν εἴη ἡ ἐν τῇ δυάδι μονὰς ἐνεργείᾳ, ὡς οὗτοι βούλονται, ἀλλὰ δυνάμει· δυνάμει γὰρ τὰ μόρια, πρὶν ἂν κοσμηθείη τῷ εἴδει τῷ οἰκείῳ. αἰνίττεται δὲ διὰ τούτων ὅτι τὸ δυνάμει οὐ γενέσει μόνον καὶ

χρόνῳ τῷ ἐνεργείᾳ καὶ εἰδοπεποιημένῳ προτιθέασιν, ἀλλὰ καὶ λόγῳ καὶ οὐσίᾳ.

καθόλου δὲ λόγους εἶπε τὰ μαθήματα, ὅτι οὐ τοῦ μερικοῦ τρι- 282 17.
γώνου τὰ συμπτώματα ὁ μαθηματικὸς θεωρεῖ, οὐδὲ τοῦ μερικοῦ
5 κύβου ἢ τοῦδε τοῦ ἀριθμοῦ, ἀλλὰ τῶν καθόλου· πάντες γάρ, φησί, τριγώνου αἱ τρεῖς γωνίαι δυσὶν ὀρθαῖς ἴσαι εἰσίν, καὶ πᾶς ἄρτιος ἀριθμὸς εἰς δύο ἴσα καὶ εἰς δύο ἄνισα διαιρεῖται, καὶ ἐπὶ τῶν ἄλλων ὁμοίως. καθόλου μὲν οὖν διὰ τοῦτο εἶπε τὰ μαθήματα. ἀλλὰ καὶ λόγους δι' αὐτὸ τοῦτο· οὐδὲν γὰρ τῶν καθόλου ἐν ὑπάρξει ἐστὶ καὶ πράγ-
10 ματι, ἀλλὰ λόγος. ἐκ τῶν τοιούτων οὖν τὰς τῶν πραγμάτων ἐθήρευον ἀρχάς· διὰ γὰρ τὸ τὴν μονάδα ἀρχὴν εἶναι μαθηματικῶν ἀριθμῶν, ὅθεν αὐτοὺς καὶ εἰδητικοὺς ἀριθμοὺς καὶ τἆλλα πάντα ὅσα λέγειν αὐτοῖς συνέβη ἐκάλουν τὴν ἀρχικὴν οὕτοι μονάδα οἷον στιγμήν· τὴν γὰρ μονάδα μηδενὶ ἄλλῳ διαφέρειν στιγμῆς ἢ τῷ μὴ
15 κεῖσθαί που ἔλεγον. ὥσπερ οὖν, φησίν, οἱ περὶ Δημόκριτον ἐκ τῶν ἐλαχίστων καὶ αὐτομάτων σωμάτων τὰ πράγματα συνετίθουν, οὕτως καὶ οὗτοι ἐκ τῆς ἀμεροῦς μονάδος καὶ τῆς ἀορίστου δυάδος ἢ τῆς στιγμῆς καὶ τοῦ πλήθους· ὥστε συμβαίνει αὐτοῖς ἐξ ὧν λέγουσι τὴν μονάδα ὕλην εἶναι τῶν ἀριθμῶν, εἴγε ἐκ μονάδος ὡς ἐξ ὕλης ὁ
20 ἀριθμός, καὶ προτέραν τῆς δυάδος καὶ πάλιν ὑστέραν· ἢ μὲν γὰρ ἀρχικὴ καὶ εἰδοποιὸς κατ' αὐτοὺς ἡ μονάς, ταύτῃ προτέραν αὐτὴν ἀνάγκη τῆς δυάδος εἶναι· ἢ δὲ πάλιν ὅλον τι καὶ εἶδός ἐστιν ἡ δυάς, ὕλη δὲ αὐτῆς ἡ μονάς, ταύτῃ ὑστέρα τῆς δυάδος. τὸ δὲ "διὰ δὲ τὸ καθόλου ζητεῖν τὸ κατηγορούμενον ἓν καὶ οὕτως ὡς μέρος ἔλεγον" ἴσον
25 ἐστὶ τῷ συμβαίνει αὐτοῖς τὸ ἓν καθόλου τε λέγειν καὶ μέρος· καθὸ μὲν γὰρ τὸ ἓν περιληπτικὸν ἔλεγον πάντων τῶν ἀριθμῶν, ταύτῃ καὶ καθόλου αὐτὸ ἀπεφαίνοντο· ἢ δὲ πάλιν μέρος ἐστὶ τῆς δυάδος, οὐκ ἔστι καθόλου ἀλλὰ μέρος. ἀλλ' ἀδύνατον τὴν αὐτὴν καὶ μίαν μονάδα πάντων τε τῶν ἀριθμῶν εἶναι περιληπτικὴν καὶ διὰ τοῦτο κα-
30 θόλου καὶ μόριον τῆς δυάδος καὶ τῆς τριάδος καὶ ἑκάστου τῶν ἀριθμῶν τὸ ἐλάχιστον.

ἐπειδὴ τῷ ἑνί, φησί, ταὐτὸν δὲ εἰπεῖν τῇ ἀρχηγικῇ μονάδι 282 26.
ὁμοιοτέρα ἐστὶν ἡ ἐν τῇ δυάδι μονὰς ἤπερ ἡ δυάς (ἡ μὲν γὰρ διαιρετή, ἡ δὲ ἀδιαίρετος), τὸ δὲ τῇ ἀρχῇ ὁμοιότερον πρότερον, προτέρα ἂν

εἴη ἡ μονὰς ἡ ἐν τῇ δυάδι τῆς δυάδος· ὅ φασι δὲ ἐκεῖνοι. καὶ εὖ γε, ὦ θαυμάσιε. Syr.

2835. ἃ μὲν ἐν τούτοις ἀπορεῖ, τοιαῦτά ἐστιν. ἆρα τοῦ ἑνὸς τοῦ πρώτου τὴν πρώτην τῆς δυάδος μονάδα τακτέον ἐφεξῆς ἢ οὔ; εἴτε γὰρ τάξαιμεν, ἔσται δυὰς πρὸ δυάδος· εἴτε μή, τίς ἂν εἴη τούτου αἰτία; καὶ ὅλως πότερον τὴν δυάδα φήσομεν αὐτὴν ἐφεξῆς εἶναι τῷ ἑνὶ ἢ τὴν ἐν τῇ δυάδι μονάδι ὡς ὁμοιοτέραν οὖσαν τῷ ἑνί; Syr.

2837. βραχέως μὲν καὶ διὰ τοῦτο ἀσαφῶς εἴρηται, ἔστι δὲ τὸ λεγόμενον τοιοῦτον· πότερον τῷ πρώτῳ καὶ ἀρχικῷ τὴν πρώτην τῆς αὐτοδυάδος μονάδα τακτέον ἐφεξῆς ἢ οὔ; εἰ γὰρ τάξαιμεν, ἔσται ἐκ τοῦ πρώτου ἑνὸς καὶ τῆς ἐφεξῆς αὐτομονάδος δυὰς πρὸ τῆς αὐτοδυάδος, καὶ πρώτη αὐτῆς· ὅπερ οὔτοι οὐ βούλονται. εἰ δὲ μὴ τάξαιμεν, τίς ἂν εἴη τούτων αἰτία, καὶ πότερον ἡ δυὰς προτέρα τῶν ἐφεξῆς; τουτέστι καὶ πότερον τὴν δυάδα φήσομεν αὐτὴν ἐφεξῆς εἶναι τῷ πρώτῳ ἑνί, ἢ τὴν ἐν τῇ δυάδι μονάδα ὡς ὁμοιοτέραν οὖσαν τῷ ἑνί; εἰ μὲν δὴ τὴν δυάδα, ἔσται ἐκ τοῦ ἀρχικοῦ ἑνὸς καὶ τῆς δυάδος αὐτῆς τριὰς πρὸ τῆς αὐτοτριάδος καὶ πρώτη αὐτῆς· εἰ δὲ τὴν μονάδα, ὁ πρότερος ἥξει λόγος· δυὰς γὰρ ἔσται πρὸ δυάδος αὐτῆς.

2838 10. τίνα ἐστὶ τὰ ὕστερα γένη τοῦ ἀριθμοῦ, αὐτὸς ἐκτίθεται, τὸ μακρὸν λέγων καὶ βραχύ, καὶ πλατὺ καὶ στενόν, καὶ βαθὺ καὶ ταπεινόν. λέγει δὲ ὅτι βουλόμενοι καὶ τὰ μεγέθη παράγειν ἀπὸ τῶν δύο ἀρχῶν, τοῦ τε ἑνὸς καὶ τῆς ἀορίστου δυάδος, ἐκ μὲν τῆς δυάδος φασὶ τήν τε γραμμὴν τὸ μακρὸν καὶ βραχὺ λαβεῖν, τό τε ἐπίπεδον τὸ πλατὺ καὶ στενόν, τό τε στερεὸν τὸ βαθὺ καὶ ταπεινόν· ταῦτα γὰρ τὸ μακρὸν καὶ βραχὺ καὶ τὰ λοιπὰ εἴδη ἐκάλουν τοῦ μεγάλου καὶ μικροῦ τοῦ ἐν τῇ ἀορίστῳ δυάδι. τὴν δὲ κοινὴν τὸ ἕν, φησίν, ἀρχὴν οὐχ ὁμοίως εἰσήγουν ἅπαντες, ἀλλ' οἱ μὲν αὐτοὺς τοὺς ἀριθμοὺς τὰ εἴδη τοῖς μεγέθεσιν ἔλεγον ἐπιφέρειν, οἷον δυάδα μὲν γραμμῇ, τριάδα δὲ ἐπιπέδῳ, τετράδα δὲ στερεῷ (τοιαῦτα γὰρ ἐν τοῖς περὶ Φιλοσοφίας ἱστορεῖ περὶ Πλάτωνος, δι' ὃ καὶ ἐνταῦθα βραχέως καὶ συντόμως τὴν τούτων ἐξέθετο διάνοιαν), οἱ δὲ μεθέξει τοῦ ἑνὸς τὸ εἶδος ἀπετέλουν τῶν μεγεθῶν. ἀλλὰ καὶ ἐν τούτοις, φησί, μυρία ἔπεται ἀδύνατα καὶ πλασματώδη, καὶ ἐπάγει ἐκ τῶν πολλῶν ὀλίγα.

2838 22. τὸ δὲ "εἰ δὲ τοῦτο" ἀντὶ τοῦ εἰ δὲ σύνεισιν ἀλλήλαις αἱ ἀρχαί.

ἔτι δέ, φησίν, αἱ γωνίαι κτλ. πῶς ἀποδοθήσε) κ᾽ λόγον κ᾽ 283 23.
πῶς ἐκ τῶν πολυθρυλλήτων αὐτῶν ἀρχῶν δυνήσον) ποιεῖν; τί γ᾽
ἐν τούτοις τὸ ὑπερέχον κ᾽ τί τὸ ἐλλεῖπον; τὴν μ᾽ γ᾽ ὀρθὴν γωνίαν
ἔλεγον εἶναι κ᾽ τὴν μονάδα, ὀξεῖαν δὲ κ᾽ ἀμβλεῖαν κ᾽ τὴν ἀόρι-
5 στον δυάδα, ἀφ᾽ ἧς ἐστὶν αὐταῖς τό θ᾽ ὑπερέχειν κ᾽ ὑπερέχεσ).
ἀλλὰ κ᾽ τῶν σχημάτων τὰ μ᾽ ἐν ἰσότητι κ᾽ ταὐτότητι θεωρούμενα,
ὡς τὰ τετράγωνα κ᾽ τοὺς κύβους, ἐκ τῆς μονάδος ἔλεγον, τὰ δὲ
ἀνισότητι κ᾽ ἑτερότητι κατεχόμενα ἐκ τῆς δυάδος. ταῦτα δὲ
πάντα πλασματώδη κ᾽ ἀδύνατα. ταῦτα εἰπὼν λέγει ὅτι ὥσπερ
10 τὸ περιττὸν κ᾽ ἄρτιον πάθη εἰσὶν ἀριθμῶν, ταὐτὸ τοῦτο συμβαίνει κ᾽
ἐπὶ τούτων, καὶ εἰσὶ μήκους μ᾽ πάθη τὸ περιφερὲς κ᾽ εὐθύ, πλάτους
δὲ τὸ στενὸν κ᾽ πλατύ, βάθους δὲ τὸ ταπεινὸν κ᾽ ὑψηλόν· οὐ μὴν ἐκ
τούτων, τῆς τε ἀορίστου φημὶ δυάδος κ᾽ τοῦ ἑνός, ἔστι τὸ μέγεθος,
ὥσπερ οὐδὲ ἐξ εὐθέας κ᾽ καμπύλου τὸ μῆκος κ᾽ τὰ λοιπὰ ἃ σαφῶς
15 αὐτὸς καταλέγει.

οἱ μ᾽ οὖν αὐτῶν τὰ μεγέθη γεννῶντες ἦσαν, ὥσπερ εἴρη), ἐκ 284 6.
τοιαύτης ὕλης ἢ τοιαύτης ἀορίστου δυάδος, τὸ μακρὸν κ᾽ βραχύ, κ᾽
πλατὺ κ᾽ στενόν, κ᾽ ταπεινὸν κ᾽ ὑψηλόν, ἐκ δὲ τούτων γραμμήν,
ἐπίπεδον, στερεόν· ἕτεροι δὲ οὐ τὰς ἀριθμητικὰς ἀρχὰς κ᾽ τῶν με-
20 γεθῶν ἀρχὰς ἔλεγον, ἀλλ᾽ ἀνάλογον ταῖς ἀριθμητικαῖς ἀρχαῖς
ἱστᾶσι τὰς γεωμετρικάς, στιγμὴν ἀντὶ ἑνὸς παραλαμβάνοντες, οὐκ
οὖσαν μ᾽ ὅπερ τὸ ἓν ἀλλ᾽ ἀνάλογον τῷ ἑνὶ ταττομένην, κ᾽ ἄλλο τι
οὐκ ὂν μ᾽ ὅπερ ἡ δυάς, ἀνάλογον δὲ τῇ ἀρχῇ ταύτῃ παραλαμβα-
νόμενον ὑπ᾽ αὐτῶν, ὅπερ οἷον πλῆθος ἐκάλουν. ἡ δὲ λέξις ἡ "κ᾽
25 ἄλλης ὕλης οἵας τὸ πλῆθος, ἀλλ᾽ οὐ πλήθους" βέλτιον εἰ οὕτως
ἐγράφετο· κ᾽ ἄλλης ὕλης, οἷον τὸ πλῆθος ἀλλ᾽ οὐ πλῆθος· ἵν᾽ ᾖν
ἀντὶ μ᾽ τοῦ "οἵας" τὸ οἷον, ἀντὶ δὲ τοῦ πλήθους, ὅπερ ἐστὶ γενικὴ τῶν
ἐνικῶν, πλῆθος εὐθεῖα τῶν ἐνικῶν.

κ᾽ ἄλλος μέν τις, φησί, τῶν Πυθαγορείων ἐκ τοῦ κατηγορου- 284 20.
30 μένου καθόλου ἤτοι τοῦ καθόλου πλήθους, ἀλλ᾽ οὐ τινος πλήθους, κ᾽ τοῦ
ἑνὸς γεννᾷ τὸν ἀριθμόν, ὁ δὲ Πλάτων ἐκ τοῦ πλήθους τοῦ πρώτου δὲ
κ᾽ τοῦ ἑνὸς γεννᾷ. λέγει δέ τι πλῆθος κ᾽ πρῶτον τὴν ἀόριστον
δυάδα· πρώτη γ᾽ τοῦ ἐν τρισὶ κ᾽ τέτρασι κ᾽ τοῖς ἐφεξῆς θεωρου-
μένου πλήθους αὕτη. ὥστε, φησίν, οὐδὲ διαφέρει κτλ.

285 9. ὑ περὶ τῦ ἀριθμῦ δὲ ζητεῖ νῦν εἴτε ἄπειρός ἐςιν ἢ πεπερασμένος ἤτοι εἰ πεπεράτωϑ (τῦτο γὰρ πρῦτεινεν πρότερον), ἀλλὰ περὶ τῦ πλήθυς τῦ ἐν τῇ αὐτοδυάδι, ὃ καί τι πλῆθος εἴρηκεν, ὃ τῷ μερισμῷ γεννᾶϑ τὰς μονάδας ὑπέθετο... καὶ ὅτι μὴ ἄπειρον ὐκ ἂν εἴη, πρόδηλον· ἔςαι γὰρ καὶ σῶμά τι ἄπειρον, ὃ τὸ ἄπειρον πλῆθος ἰδέα. ὅτι δὲ πεπερασμένον, εἴπερ ἔςιν, ἐνδέχεϑ εἶναι, συνίςησι λέγων "ὑπῆρχε γὰρ" κτλ.

285 14. "ὁμοίως — μεγέθη." ἡ ςιγμὴ καὶ τὸ ςοιχεῖον ἐκ παραλλήλυ κεῖϑ, καὶ ἔςιν ἴσον τῷ ὁμοίως δὲ καὶ περὶ ςιγμῆς, ἣν ςοιχεῖον ποιῦσι τῶν μεγεθῶν, ζητήσειεν ἄν τις πότερον αὕτη μόνη ἐςὶν ἢ καὶ ἄλλαι χωριςαὶ ςιγμαί.

285 19. τὰ μὲν γὰρ τῦ ἀριθμῦ μόρια ἀδιαίρετα, μονάδες γάρ, τὰ δὲ τῦ διαςήματος ὐκ ἀδιαίρετα, ὡς ἐν τῇ Φυσικῇ εἴρηϑ καὶ δέδειχϑ Ἀκροάσει (6 1).

285 24. καὶ προσέτι φησὶ τὸ διαφωνεῖν "τὺς τρόπυς" ἢ "πρώτυς." καὶ εἰ μὲν εἴη γεγραμμένον "τρόπυς," λέγοι ἂν τὺς τῆς διαιρέσεως, ὃς ἐξέθετό τε καὶ ἐγύμνασεν· εἰ δὲ "πρώτυς," ὃ καὶ μᾶλλον, λέγοι ἂν τὺς ἐνδοξοτέρυς τῶν τὰς ἰδέας δοξασάντων.

285 26. λέγει ὅτι οἱ μὲν τὺς μαθηματικὺς ἀριθμὺς μόνον ποιῦντες, ὡς οἱ περὶ Ξενοκράτην καὶ Σπεύσιππον, χωριςὺς δὲ τῶν αἰϑητῶν καὶ ἄλλυς παρὰ τὰ αἰϑητά..., τυὲς δὲ τῶν περὶ Πλάτωνα τιθέμενοι τὰς ἰδέας, καὶ πρὸς τῷ ἰδέας εἶναι ὁμολογεῖν καὶ ἀριθμὺς αὐτὺς λέγοντες, ἐζήτυν κτλ.

285 29. "οἱ δὲ — λέγυσι." ταῦτα πρὸς ἐνίυς μὲν ἀπορρίπτει τῶν ἀπὸ Πλάτωνος. Syrianus.

286 6. ἐπαινεῖ Πλάτωνα διακρίναντα τῶν εἰδῶν τὰ μαθήματα. Syrianus.

286 11. χαλεπὸν δ' ἐκ ψευδῶν καὶ μὴ καλῶς ἐχόντων, κατ' Ἐπίχαρμον, λέγειν ἀληθῶς καὶ καλῶς. "ἀρτίως τε γὰρ λέλεκϑ," τυτέςιν ἅμα γὰρ τῷ ῥηθῆναι τὸ βοήθειαν ἐπάγον ταῖς ἰδέαις εὐθὺς φαίνεϑ μὴ καλῶς ἔχον· τοσῦτον γὰρ ἔχει ψεῦδος ἡ τῶν ἰδεῶν ὑπόθεσις περιφανές, ὥςε μηδὲ χρόνυ δεῖϑ τὰς ὑπὲρ αὐτῶν ἐπιφερομένας βοηθείας πρὸς τὸ φωραθῆναι ὅτι ψευδεῖς εἰσίν.

μᾶλλον γὰρ ἐκ πλειόνων πειθοίη ἄν τις πεπεισμένος· πρὸς δὲ 286 16.
τὸ πειθῆναι μὴ πεπεισμένος οὐδὲν μᾶλλον... καὶ ἔτι ἐκ πλειόνων
ἄλλων, ὧν ἐν τῷ ἑφεξῆς μέλλομεν λέγειν βιβλίῳ, πειθοίη ἄν.

ἐπεὶ ὅτι καὶ αὐτὸς ὁμολογεῖ μηδὲν εἰρηκέναι πρὸς τὰς ἐκείνων 286 21.
5 ὑποθέσεις, μηδ' ὅλως παρακολουθεῖν τοῖς εἰδητικοῖς ἀριθμοῖς, εἴπερ
ἕτεροι τῶν μαθηματικῶν εἶεν, μαρτυρεῖ τὰ ἐν τῷ Β τῶν περὶ τῆς
Φιλοσοφίας, ἔχοντα τοῦτον τὸν τρόπον· ὥςε εἰ ἄλλος ἀριθμὸς αἱ
ἰδέαι, μὴ μαθηματικὸς δέ, οὐδεμίαν περὶ αὐτοῦ σύνεσιν ἔχειμεν
ἄν· τίς γὰρ τῶν γε πλείςων ἡμῶν συνίησιν ἄλλον ἀριθμόν; ὥςε καὶ
10 νῦν ὡς πρὸς τοὺς πολλοὺς τοὺς οὐκ εἰδότας ἄλλον ἢ τὸν μοναδικὸν
ἀριθμὸν πεποίηται τοὺς ἐλέγχους, τῆς δὲ τῶν θείων ἀνδρῶν διανοίας
οὐδὲ τὴν ἀρχὴν ἐφήψατο. μέχρι τούτων ἔνιοι τὸ Μ προσάγουσι,
τὰ δὲ ἑξῆς τοῦ τρίτου προβλήματος ὄντα τῷ Ν προσνέμουσι ζητήσει· τὸ γὰρ λοιπόν, εἰ ἀρχαὶ τὰ εἴδη καὶ οἱ ἀριθμοί· τὰ μέντοι
15 πολλὰ τῶν βιβλίων κατὰ τὴν τοῦ Ἀλεξάνδρου διαίρεσιν ἐν τοῖς ἑπομένοις ἔχει τὴν τῶν βιβλίων τομήν. Syrianus.

περὶ μὲν γὰρ τῶν φυσικῶν ἀρχῶν ἔν τε τῇ Φυσικῇ τὰ δοκοῦντα ἑαυτῷ λέγει καὶ τοῖς περὶ Γενέσεως καὶ Φθορᾶς, καὶ πρὸς πολλοὺς τῶν πρεσβυτέρων ἀποτείνεται· περὶ δὲ ἠθικῶν ἀρχῶν ἢ λογικῶν οὐδὲ
20 τῆς παρούσης εἰπεῖν προαίρεσεως. εἴρηκε δὲ καὶ περὶ τούτων ἐν Ἠθικοῖς καὶ ἐν Ἀποδεικτικοῖς κἀν τῷ Γ τῆσδε τῆς πραγματείας. Syr.

ὥςε πρότερον μὲν ἐζήτει εἰ ὅλως εἰσίν (ἀριθμοὶ χωριςοί), νῦν 286 25.
δὲ ζητεῖ εἰ ἐάν τις καὶ συγχωρήσῃ αὐτοὺς εἶναι, δύνωνται ςοιχεῖον
εἶναι τῶν ὄντων.

25 μεριςὰς δὲ (τὰς ἰδέας ποιοῦσιν) ὡς καθ' αὑτὰς καὶ χωριςὰς 287 2.
οὔσας· τοῦτο γὰρ ἴδιον ἀτόμων.

ἡ δὲ λέξις ἡ "αἴτιον δὲ τοῦ συνάψαι ταῦτα εἰς ταὐτὸν τ. λ. 287 3.
τ. καθ." κ. τ. ἑξῆς ὅτως ἂν ἀναγινώσκοιτο καὶ νοοῖτο· τοῖς λέγουσι
τὰς ἰδέας καθόλου οὐσίας αἴτιον γέγονε τοῦ συνάψαι ταῦτα ἤτοι
30 ἅμα καὶ καθόλου καὶ μερικὰ τὰ εἴδη ποιεῖν, τὸ μὴ ποιεῖν τὰς τοιαύτας οὐσίας, λέγω δὴ τὰς εἰδητικάς, τὰς αὐτὰς τοῖς αἰθητοῖς.

εἰ γὰρ πᾶν χωριςὸν καὶ καθ' αὑτὸ καὶ οὐκ ἐν ἄλλῳ τὸ εἶναι ἔχον 287 17.
μερικόν, τοιαύτας δὲ εἶναι τὰς ἰδέας λέγουσι, φανερὸν ὅτι μεριςὰς
αὐτὰς ποιοῦσιν.

"ἐξέθεσαν" μ' εἶπεν οἷον μερικὰς ἐποίησαν· τοιαύτη γ' ἡ ἔκθεσις. Syrianus.

287 22. αἰνίττε) δὲ τὸ Β ταύτης τῆς πραγματείας· διαπορητικὸν γ' ἅπαν ἐκεῖνο τὸ βιβλίον.

287 26. ἀναιρεῖ τὴν ὑσίαν τῶν ὄντων, κ' ὐδὲν ἔςαι ὑσία ἀλλὰ πάντα συμβεβηκότα. εἰ γ' τὰ καθόλυ, ὡς ἐν τῷ Ζ τῆς παρύσης δέδειχ) πραγματείας, ὁμοιώματά εἰσι τῶν καθ' ἕκαςα κ' ὐκ ὑσίαι, εἰ κ' αἱ ἰδέαι καθόλυ, ἔσον) μὴ ὑσίαι κ' συμβεβηκότα· ὥςε εἰ αὖ) συμβεβηκότα, κ' τὰ τῇδε, ὧν αὗταί εἰσιν ἰδέαι, συμβεβηκότα ἔσον).

287 27. πότερον χωριςόν ἐςι τὸ ἀρχικὸν ἓν κ' ἡ ἀόριςος δυάς, ἢ καθόλυ τινὲς φύσεις;

288 4. τὸ δὲ ὁμώνυμον ἀντὶ τοῦ συνωνύμως κατηγορύμενον· ὃ γ' μήτε συνωνύμως μήτε ὁμωνύμως κ' πολλῶν λέγε), μερικὸν κ' ἄτομον.

288 5. τὴν δὲ λέξιν ὑπερβατῶς ἀναγνωςέον ὧδε· ἕκαςον αὐτῶν ὃ ἔςιν, ἓν τιθέασι τῷ ἀριθμῷ.

288 12. κ' οἱ ὁρισμοὶ γ' τῶν καθόλυ, ὡς ἐν τῷ Ζ τῆς παρύσης δείκνυ) πραγματείας· κ' αἱ ἀπόδειξεις ὁμοίως, ὡς ἐν τοῖς Ὑςέροις ἐμάθομεν Ἀναλυτικοῖς.

288 22. κ' δὲ τὴν λέξιν τὴν "κ' παρὰ τὰς τὸ αὐτὸ εἶδος ἐχύσας ὑσίας ἕν τι ἀξιῶσιν εἶναι κεχωρισμένον" ἢ τοῦτο λέγοι ἂν ὃ κ' πρότερον εἴπομεν, ὅτι εὐλόγως συμβαίνει τὰ εἰρημένα ἄτοπα τοῖς ἀξιῶσι παρὰ τὰς καθ' ἕκαςα ὑσίας τὰς ἐχύσας καθ' αὐτὰ ἐν ἑαυταῖς τὰς ἰδέας· μεθέξει γ' τῶν ἰδεῶν τὰ τῇδε εἶναι βύλον). τοῖς δὲ ἀξιῶσι παρὰ τὰ καθ' ἕκαςα ἕν τι εἶναι αὐτοεῖδος κεχωρισμένον ταῦτα συμβαίνει. κ' δεῖ τὴν λέξιν ὕτως ἀναγινώσκειν· κ' ἀξιῶσιν ἕν τι εἶναι κεχωρισμένον αὐτοεῖδος, ἕτερον παρὰ τὰς ὑσίας τὰς αἰθητὰς κ' ἐχύσας ἐν ἑαυταῖς τὰς ἰδέας· μεθέξει γ' τῶν ἰδεῶν ὄντων ἡμῶν, πῶς ὐκ ἂν εἶεν ἐν ἡμῖν; ἢ τὸ "κ' παρὰ τὰς τὸ αὐτὸ εἶδος ἐχύσας ὑσίας κ' ἰδέας ἕν τι ἀξιῶσιν εἶναι κεχωρισμένον," εἴρη) ἀντὶ τοῦ εὐλόγως συμβαίνει αὐτοῖς ταῦτα, ὅταν ἀξιῶσιν ἕν τι αὐτοεῖδος εἶναι κεχωρισμένον, λέγων αὐτοεῖδος τὸ ἀρχικὸν ἓν παρὰ τὰς ὑσίας, αὐτὰς δὴ τὰς ἰδέας κ' ἐχύσας τὸ ἀρ-

εἰδητικὴ δυάδες καὶ ἡ μία· μία μὲν ἡ αὐτοδυὰς καὶ αἱ ἑτέραι δύο αἱ ἐν τῇ αὐτοτετράδι κτλ.

"δύο — ὡρισμένην." εἰ καὶ μὴ καὶ πράθεσιν, φησίν, αἱρεῖν τὸν ἀριθμὸν ἀποτελεῖν, ἀλλ' ὧν ἐν τῇ τετράδι δύο δυάδας ὁμολογήσουσιν εἶναι παρὰ τὴν αὐτοδυάδα. εἰ δὲ τοῦτο φεύγοιεν, πάλιν ὁμολογήσουσι μόριον εἶναι τὴν αὐτοδυάδα τῆς αὐτοτετράδος, καὶ καὶ πρόθεσιν ἔσται ὁ ἀριθμὸς ἑτέρας δυάδος τῇ αὐτοδυάδι προσεθείσης καὶ ὅτως ἀποτελεσάσης τὸν τετράδα· ἡ δὲ τετρὰς ἔσται ἐκ τῆς αὐτοδυάδος καὶ ἄλλης δυάδος κὲ τὴν αὐτὴν ἀναλογίαν, καὶ ἡ δυὰς ὑποστήσεται ἐκ τοῦ ἀρχικοῦ ἑνὸς καὶ ἄλλου ἑνός. εἰ δὲ τοῦτο, οὐχ οἷόν τε τὴν ἑτέραν ἀρχὴν ἀόριστον εἶναι δυάδα· τὸ γὰρ γεννώμενον ὑπὸ τῆς ἀορίστου δυάδος δυὰς ὤφειλεν εἶναι· νῦν δὲ οὐ δυὰς γεννᾶται ἀλλὰ μονάς, ἥτις σὺν τῷ ἑνὶ τὴν ὡρισμένην ἀποτελεῖ δυάδα. ἐὰν οὖν, φησί, μὴ δέξωνται ἐν τῇ αὐτοτετράδι δύο εἶναι δυάδας παρὰ τὴν αὐτοδυάδα, ἔπεται αὐτοῖς ταῦτα πάντα, κὲ πρόθεσίν τε εἶναι τὸν ἀριθμὸν καὶ ἀνηρῆσθαι τὴν ἑτέραν τῶν ἀρχῶν. Syr.

μῖξιν δὲ εἶπε νῦν τὴν κρᾶσιν. 275 17.

ἐλλιπῶς εἴρηκε διὰ συντομίαν, τὸ δὲ τέλειον τοῦ λόγου τοιοῦτόν ἐστιν. 275 23.
ἀλλὰ μὴν οὐδὲ τοῦτο δεῖ λανθάνειν ὅτι συμβαίνει κὲ ταύτην τὴν ὑπόθεσιν δυάδας δυάδων εἶναι προτέρας καὶ ἄλλους ἀριθμοὺς ἄλλων ἀριθμῶν, οἷον τριάδας τριάδος προτέρας φαίνεσθαι. Syr.

καὶ ἐπεὶ αἱ ἰδέαι παραδείγματά ἐστι τῶν ἐν τούτοις ζῴων, ἔσται 276 3.
κἀνταῦθα ζῷον ἐξ ἀνθρώπου καὶ ἵππου καὶ βοὸς συγκείμενον· τοῦτο γάρ ἐστι δηλωτικὸν τὸ "ὥστε δῆλον ὅτι κ. ω. ἰδ. α. τ. ο. σ. ἔσται ἐκ ζῴων." ἀλλ' ἐπειδὴ ἔχει τινὰ ἀσάφειαν ἡ λέξις, σαφηνιστέον καὶ ἔτι αὐτήν. οἶμαι δὲ χρῆναι ὑποστίζειν εἰς τὸ "τὰ ζῷα," εἶτα ἐπάγειν τὸ "φαίη τις συγκεῖσθαι ἐκ ζῴων." καὶ εἴη ἂν τὸ λεγόμενον τοιοῦτον· ὥστε εἰ ἰδέαι ἐξ ἰδεῶν σύγκειντο, καὶ τὰ ἐνταῦθα πράγματα, ὧν φασὶν εἶναι τὰς ἰδέας, συγκείμενα ἔσται κτλ.

ἐλλιπῶς δὲ (εἴρηται), καὶ εἴη ἂν τὸ πλῆρες τοιοῦτον· τίνα γὰρ 276 15.
αἰτίαν ἕξει λέγειν ὁ φάσκων ἀδιαφόρους εἶναι τὰς ἐν τῇ αὐτοδεκάδι δυάδας ἴσας ἴσας ἀλλήλαις; καὶ τότε προσυπακουστέον τοῦ τὰς δὲ ἐν τοῖς ἄλλοις ἀριθμοῖς ἴσας μὲν διαφόρους δέ.

276 19. ἔπειτα ὑ μόνον τοῦτο ἔςαι, ἀλλὰ ϗ ἕτερον ἕψεϑ, ὅπερ διὰ τοῦ "τε" συνδέσμυ ἠνίξατο. ϗ τί τὸ ἑπόμενον, ἐπάγει λέγων "ϗ πότερον" κτλ.

277 1. ϗ τοῦτο μὴ ὀρθῶς ϗ ἀκολούθως ἑαυτοῖς φασὶν οἱ τὸν ἀριθμὸν τῶν ἰδεῶν ἐκ διαφερυσῶν μονάδων συνεςάναι λέγοντες, ἵνα μὴ ἐκ διαφόρων ἰδεῶν τὴν ἰδέαν ποιεῖν ἀναγκαϑῶσιν· ἕκαςον γὰρ εἶδος ἓν ἐςι κατ' αὐτὸς ϗ ἁπλοῦν... ἀλλὰ πρὸς μὴ τὴν ἑαυτῶν ὑπόθεσιν ὀρθῶς λέγυσιν, ἁπλῶς δὲ ὑκ ὀρθῶς. τὸ δὲ "διὸ ϗ τὸ ἀρ. ὕτως" ὑπερβατῶς ἀναγνωςέον ὧδε· διὸ ϗ τὸ ἀριθμεῖϑαι ἀναγκαῖον αὐτοῖς ὕτω λέγειν ἓν δύο, μὴ προσλαμβανομένυ πρὸς τῷ ὑπάρχοντι ἑνὶ ἢ ἀριθμῷ ἄλλυ ἑνός· ϗ γὰρ ϗ τύτυ δεῖ προσυπακύειν.

277 11. "ἐπεὶ — διαφοράν." εἰώθασι, φησίν, ἀπορεῖν πότερον ἀπὸ τοῦ δύο ἐπὶ τὸν τρία δεῖ μεταβαίνειν ϗ τέσσαρα ϗ πέντε, ϗ ὅλως κὴ σύνθεσιν ἀριθμεῖν, ἢ κὴ διαίρεσιν ἀπὸ τῆς δεκάδος λαμβάνειν ἕν, δύο, τρία, τέσσαρα· αὐτοῖς μὴ γὰρ ὑδέτερον τύτων ἀρέσκειν, ἡμῖν δέ, φησί, ῥητέον ὅτι γελοῖον ἐξ ὕτως ἐπιπολαίυ ζητήματος ἕκαςον τῶν ἀριθμῶν αὐτὸ ποιεῖν κατ' ἰδέαν, ἀποκριτέον τε πρὸς αὐτὸς ὅτι ἀμφοτέρως ποιοῦμεν· ὡρισμένυ μὴ γὰρ τοῦ μεγίςυ διαιροῦμεν, ἀορίςυ δὲ ὄντος συντίθεμεν. ταῦτα δὲ ὅτι πρὸς μὴ τὸν εἰδητικὸν ἀριθμὸν ὑδαμῶς ἀνάγεϑαι δύναϑ, πρὸς μέντοι τὸν μαθηματικὸν πῇ μὴ πῇ δὲ ὑ, πολλάκις ἐπεσημηνάμεθα· ὡς ϗ τὴν ἀπορίαν τῶν πρεσβυτέρων λίαν ἐπιςήμονα φαίνεϑαι ϗ τὴν ἀπάντησιν τοῦ Ἀριςοτέλυς μὴ πάντῃ ψευδῆ. Syr.

277 26. ὑδὲν γάρ, φησίν, οἷόν τε ταῖς μονάσιν ὑπάρχειν πάθος ἀμερέσιν ὕσαις, ὅπερ, φημὶ δὴ τὸ τὰ ἀμερῆ μὴ ἔχειν πάθος, καλλιςα ἐν τῷ τρίτῳ τῆς περὶ Οὐρανοῦ (c. 8) δέδειχϑ πραγματείας· ἐν γὰρ ταῖς μονάσι ποιότητα ὑκ οἷονϑ εἶναι, ἐν δὲ τοῖς ἀριθμοῖς ὑπάρχει μὴ ποιόν, ἀλλ' ὕςερον τοῦ ποσοῦ.

277 30. ἔτι, φησίν, ὕτε ἀπὸ τοῦ ἀρχικοῦ ἑνὸς ὕτε ἀπὸ τῆς ἀρχικῆς δυάδος (αὕτη δέ ἐςιν ἡ ἀόριςος) ταῖς μονάσι κὴ ποιότητα διαφέρειν γένοιτο· τὸ μὴ γὰρ ἓν ἄποιον, ἡ δὲ ἅμα ποσοῦ ϗ ποιοῦ αἰτία.

278 2. "ὄντα" δὲ εἶπε τὰς ἰδέας· ὄντα γὰρ κυρίως τὰς ἰδέας εἶναι ἔλεγον οἱ τῶν ἰδεῶν προςάϑ· τὰ γὰρ ἐνταῦθα ὁμωνύμως ὄντα ϗ κὴ συμβεβηκὸς ὄντα καλέσειεν ἄν τις, φασίν.

εἴπερ εἰέν τινες ταῦτα λέγοντες, δικαίως ὑπ' αὐτοῦ κακί- 278 8.
ζονται. ἀλλὰ μή ποτε τῷ μὴ τῶν ἰδεῶν ὀνόματι ᾐ κατεχρῶντο,
διὰ δὲ τῶν μαθηματικῶν ὀνομάτων περὶ τῶν θείων ᾐσιῶν ἠνίτ-
τοντο· πῶς γὰρ ἂν τὸ ἓν καὶ τὸν ἀριθμὸν προέταττον τῶν ὅλων, εἰ μὴ
5 τὸ ὑπερούσιον ἓν καὶ τὰ ὄντως ὄντα καὶ τὸν τῶν ἰδεῶν προσεκύνουν διά-
κοσμον; ὁ δ' ὧν Ἀριστοτέλης ἀκόλουθα τῇ ἑαυτοῦ ὑποθέσει καὶ ταῦτα
γράφει. Syr.

τοὺς μὲν δύο, φησί, ποιεῖν ἀριθμοὺς καὶ διακρίνειν αὐτούς, ὥσπερ 278 29.
Πλάτωνα (σαφῶς γὰρ τὸν μαθηματικὸν ἕτερόν φησιν εἶναι τοῦ εἰδη-
10 τικοῦ), τοὺς δὲ ἕνα τὸν μαθηματικόν, ὥς τινας τῶν Πυθαγορείων,
τοὺς δὲ γινώσκειν ἀμφοτέρους ἕνα δὲ ποιεῖν αὐτούς· αἰνίττεται δὲ
Σπεύσιππον ἴσως καὶ Ξενοκράτην, οὓς καὶ χειρίστης ὑποθέσεώς φησι
προεσάναι. καὶ δι' ἃς αἰτίας σαφῶς λέγει· προείπομεν δὲ καὶ ἡμεῖς
περὶ τούτων ὅτι εἰ καὶ τοῖς αὐτοῖς ὀνόμασιν ἐκέχρηντο, ἀλλ' οὖν ᾔδε-
15 σαν κατ' εἴδη διάκρισιν τῶν διαφόρων ἀριθμῶν, ἐπεὶ καὶ ἄλλως ὁ
τοὺς ἀριθμοὺς τούτους μὴ διακρίνων ἀλλὰ συγχέων τόν τε εἰδητικὸν
ἀριθμὸν ἔχοντα ἐν ἑαυτῷ τὸν μαθηματικὸν ἀριθμόν, ὑποστάτην
τῶν ὅλων ποιεῖ [ἑκτὸν τὸν μαθηματικόν], τῷ τε καὶ ποιητῇ τῶν
πάντων ἀριθμητικὴν ἕξιν περιτίθησιν· ὧν τί ἂν εἴποι τις ἀπιθα-
20 νώτερον; Syr.

τῶν περὶ ἀριθμοὺς εἰπόντων οἱ μὲν δύο ἐποίουν αὐτοὺς καὶ διέκρι-
νον, ὥσπερ ὁ Πλάτων (σαφῶς γὰρ οὗτος τὸν μαθηματικὸν ἕτερον
εἶναι λέγει τοῦ εἰδητικοῦ), οἱ δὲ ἕνα τὸν μαθηματικόν, ὥσπερ τινὲς
τῶν Πυθαγορείων· οἱ δὲ ἐγίνωσκον μὲν ἀμφοτέρους καὶ τὸν εἰδητικὸν
25 καὶ τὸν μαθηματικόν, ἕνα δὲ ἐποίουν, ὥσπερ Σπεύσιππος καὶ Ξενο-
κράτης.

τίς γὰρ οὐκ ἂν γελάσειεν ἀκούων ὅτι οἱ Πυθαγόρειοι χωριστοὺς 279 12.
ἀριθμοὺς οὐκ ᾔδεσαν; αὐτοῦ μὲν Πυθαγόρου δίχως εἰωθότος ὁρίζεσθαι
τοὺς ἀριθμούς, καὶ διὰ μὲν τοῦ ἑνὸς τῶν ὅρων τὸ πάντῃ χωριστὸν αὐτῶν
30 καὶ ἄχραντον ἐνδεικνυμένου, διὰ δὲ τοῦ ἑτέρου καὶ τὸ δημιουργικὸν αὐτῶν
καὶ προνοητικόν τε καὶ φρουρητικὸν τῶν ὅλων ἀναδιδάσκοντος (ὅταν
μὲν γὰρ ἔκτασιν καὶ ἐνέργειαν τῶν ἐν μονάδι σπερματικῶν λόγων εἶναι
φῇ τὸν ἀριθμὸν τὸν ἀπὸ τῆς οἰκείας ἀρχῆς αὐτογόνως καὶ αὐτοκινή-
τως προεληλυθότα, καὶ τὸν ἐν ἑαυτῷ ἱδρυμένον καὶ ἐν εἴδεσι παντοίοις

ἀφωρισμένον παραδίδωσιν· ὅταν δὲ τὸ πρὸ πάντων ὑποςὰν ἐν θείῳ νῷ, ἀφ' οὗ καὶ ἐξ οὗ πάντα συντέτακται καὶ μένει τάξιν ἄλυτον διηρθρωμένα, τὸν παραδειγματικὸν καὶ ποιητήν τε καὶ πατέρα θεῶν τε καὶ δαιμόνων καὶ τῶν θνητῶν πάντων ἀριθμὸν ἀνυμνεῖ), τῶν δὲ περὶ Ἵππασον ἀριθμὸν εἶναι λεγόντων παράδειγμα πρῶτον κοσμο- 5 ποιίας καὶ πάλιν κριτικὸν κοσμουργοῦ θεοῦ ὄργανον, Φιλολάου δὲ διαχυριζομένου τὸν ἀριθμὸν εἶναι συνοχὴν τῆς τῶν κοσμικῶν αἰωνίας διαμονῆς τὴν αὐτογενῆ καὶ κρατιςεύουσαν, ἁπάντων δὲ ὡς εἰπεῖν τῶν ἄλλων Πυθαγορείων καὶ ἴχνη ταύτης τῆς θεωρίας τὴν περὶ τῶν ἀριθμῶν ὑπόληψιν διαρθρωσάντων. Syr. 10

279 13. πολλὰς γὰρ εὐθύνας ἔδωκεν ἡ τὰ ἄτομα μεγέθη εἰσάγουσα δόξα. ἀλλὰ καὶ ἡ Ξενοκράτους ἀπόφασις ἡ τὰς ἀτόμους εἰσάγουσα γραμμὰς αὐτάρκως καὶ αὕτη τῷ Ἀριςοτέλει ἤλεγκται.

τὰ δὲ νῦν ἐλεγχόμενα παντὶ μᾶλλον ἢ τοῖς Πυθαγορείοις προσήκει· οὔτε γὰρ τὸν ἀριθμὸν δι' οὗ μετροῦμεν τὰ αἰσθητά, τῶν 15 αἰσθητῶν αἴτιον εἶναι λέγουσιν, εἰ καὶ θεωροῖεν εἰκόνας ἐν αὐτῷ τοῦ φυσικοῦ ἀριθμοῦ, ὥσπερ ἐν τῷ βωμίσκῳ τῷ διακόσια δέκα σώματος ἰδέαν ἐμφαίνεσθαι διχυρίζετο, ἐν δὲ τῷ πυρὸς οἷον τῷ α', ἀέρος δὲ ἐν τῷ γ', καὶ τῆς γῆς ἐν τῷ ζ', καὶ ὕδατος ἐν τῷ θ'· ταῦτα γὰρ κατά τινα ἀναλογίαν αὐτοῖς ἐλαμβάνετο πρὸς ἔνδειξιν 20 δυνάμεων φυσικῶν. Syr.

279 19. τὰ γὰρ θεωρήματα καὶ τὰ συμβαίνοντα τοῖς ἀριθμοῖς προσάπτουσι τοῖς σώμασιν, ὡς ἐκ τῶν ἀριθμῶν ὄντων τῶν σωμάτων· ὑπολαμβάνοντες γὰρ ὅτι ἐκ τῶν ἀριθμῶν εἰσίν (ἐκ γὰρ τοῦ βωμίσκου τοῦ δέκα τὸ ἁπλῶς σῶμα εἶναι ἔλεγον, ἐκ δὲ τοῦ ἕνδεκα 25 τὸ πῦρ, ἐκ δὲ τοῦ τρισκαίδεκα τὸν ἀέρα καὶ ἐκ τοῦ ἐννέα τὸ ὕδωρ), ὑπολαμβάνοντες δὴ τοῦτο οὐδὲν ἔφασκον διαφέρειν τὰ τῷ βωμίσκῳ καθ' αὑτὸ ὑπάρχοντα ἐπ' αὐτοῦ θεωρεῖν ἢ ἐπὶ τοῦ ἐξ αὐτοῦ σώματος· ὁμοίως καὶ ἐπὶ τῶν ἄλλων. εἰ γάρ, φασί, συνέβη τῷ ἐννέα ἀριθμὸν εἶναι τετράγωνον πρῶτον μέσον ἔχοντα (τὸ δὲ μέσον 30 ἔχοντα πρόσκειται διὰ τὴν τῆς μονάδος μεσιτείαν τὴν ἐν παντὶ περισσῷ εὑρισκομένην), εἰ δὴ ὁ ἐννέα τετράγωνός ἐςι πρῶτος ἔχων μέσον, καὶ τὸ ὕδωρ τοιοῦτόν ἐςι, καὶ μᾶλλον ἐπὶ τοῦ ὕδατος τοῦτο χρὴ

θεωρεῖν ἢ ἐπὶ τῦ ἐννέα· ὥςε δέδεικ] ὅτι ἐξ ἀριθμῶν τὰ αἰϑητὰ ἐποίυν. κ] συμπεραίνε] λέγων "εἰ τοίνυν" κτλ.

"ἔτι — μονάδος." ὃ ἀπορεῖ, τοιῦτόν ἐςιν. ἐκ τῦ ἑνὸς κ] 279 24.
τῆς ἀορίςυ δυάδος τά τε ἄλλα γεννῶσι κ] τὰς μονάδας. ἐπεὶ
5 ὕν ἐν τῇ ἀορίςῳ δυάδι, λέγω δὲ τῦ τε μεγάλυ κ] τῦ μικρῦ, ἢ
αἱ μ̄ ἐκ τῦ μεγάλυ αἱ δὲ ἐκ τῦ μικρῦ, ὐκ ἀπὸ πάντων ἑκάςη
τῶν ςοιχείων, ὐδ' ἴσαι αἱ μονάδες, ἀλλὰ πρὸς τῷ διάφοροι εἶναι
κ] ἐναντίωσιν ἔχυσι πρὸς ἀλλήλας. ἔτι εἴ γε αἱ μ̄ μεγάλαι αἱ δὲ
μικραὶ ἔσον], ἥ τε τριὰς πόθεν ἕξει τὴν τρίτην μονάδα, ἀπὸ τῦ
10 μεγάλυ ἢ ἀπὸ τῦ μικρῦ; εἰ μὴ ἄρα διὰ ταύτην, φησί, τὴν ἀπο-
ρίαν τὲ ἓν ἐν τῇ τριάδι κ] παντὶ τῷ περιττῷ μέσον ποιῦσιν, ἵνα
ἴσαι ὦσιν αἵ τε ἐκ τῦ μεγάλυ γιγνόμεναι κ] αἱ ἐκ τῦ μικρῦ, μὴ
μόνον ἐν ἀρτίῳ ἀλλὰ κ] ἐν τῷ περιττῷ ἀριθμῷ· ὐδὲ ἑκάςη μονὰς
ἐκ τῆς τῦ μεγάλυ κ] μικρῦ· δῆλον γ] ὅτι κ] ἡνώθη ὕςερον ἰσα-
15 ϑέντα· ἀλλ' ὕν ἦν πρὸ τῆς ἑνώσεως δύο. ἔπειτα δὲ τί διοίσει
μονὰς δυάδος; εἰ γ] ἐν τῇ μονάδι δυάς ἐςιν ἰσαϑεῖσα, κ] ἡ δυὰς
αὐτὲ τῦτο λέγε] δυὰς εἶναι, τί διοίσυσιν ἀλλήλων; τοιαῦτα δὴ
προτείναντος τῦ Ἀριςοτέλυς τὴν μ̄ ἀόριςον δυάδα, εἴτε τὴν πρώ-
την εἴτε τὴν νοερὰν εἴτε τὴν ψυχικὴν εἴτε τὴν φυσικὴν εἴτε κ]
20 αὐτὴν τὴν ἐν τῇ ὕλῃ θεωρυμένην τις ἐπισκέπτοιτο, ὐδέποτε φή-
σομεν μεμερισμένως ἐνεργεῖν ἢ πάχειν κ] τὲ μέγα κ] τὲ σμικρόν,
ἀλλ' ἑκάςῳ τῶν γεννωμένων ὑπ' αὐτῆς κ] τὲ μέγα συνεισφέρειν
κ] τὲ σμικρὸν οἰκείως ἐν ἑκάςῃ τάξει τῶν ὄντων. Syr.

"ἔτι — ἦν." ἡ μονὰς προτέρα τῆς αὐτοδυάδος. εἰ δὲ ἡ 280 4.
25 αὐτοδυὰς ἰδέα κ] ἡ πρεσβυτέρα ταύτης ἡ μονὰς ἰδέα, ἐκ τίνος ὕν
προῆλθεν; ὐ γ] δὴ ἐκ τῆς ἀορίςυ δυάδος· ἐκείνη γ] κ] τὰ ἁπλᾶ
διπλασιάζει. ἐν δὴ τύτοις ὐ διορίζει μ̄ περὶ ποίας λέγει μονάδος,
δῆλος δέ ἐςι περὶ τῆς συνεγνωσμένης προτείνων τὴν ἀπορίαν, ἥτις
ὕτε ἔςιν ἐν τῷ εἰδητικῷ ἀριθμῷ κ] ἐν ὑςάτοις τῶν μαθηματικῶν
30 ἀπέρριπ], ὐδὲ τῆς μοναδικῆς δυάδος ἁπλῶς ὕσα πρεσβυτέρα,
ἀλλ' ἴσως μ̄ γενέσει, ὐσία δὲ ὐδαμῶς· τοιαῦτα γ] τὰ ὑλικὰ
αἴτια. Syr.

ὥςε διὰ τῦ "ὡδὶ μ̄ τῦ ἑνὸς εἰς τὲν ἄρτιον πίπτοντος" τὴν τῦ 280 14.
πρώτυ κ] ἀσυνθέτυ γένεσιν ἠνίξατο· διὰ δὲ τῦ "ὡδὶ δὲ τῆς μ̄

δυάδος ἐμπιπτούσης ὁ ἀφ' ἑνὸς διπλασιαζόμενος" τῆς τοῦ ἀρτιάκις ἀρτίου γενέσεως μέμνηται. ἔστι δὲ τὸ λεγόμενον τοιοῦτον. τῆς δυάδος ἐπὶ τὸ ἓν πολλαπλασιασθείσης γίνεται πάλιν ὁ δύο (δὶς γὰρ μία δύο), τῆς δὲ δυάδος εἰς ἑαυτὴν ὁ τέτταρα. πάλιν δὲ τῆς αὐτῆς δυάδος εἰς τὸν τέτταρα ὁ ὀκτώ, εἰς δὲ τὸν ὀκτὼ ὁ ἑκκαίδεκα. καὶ ὁμοίως ὁδεύουσα τὸν ἀρτιάκις ἄρτιον γεννᾷ· τοῦτον γὰρ εἶπεν ἀφ' ἑνὸς διπλασιαζόμενον κτλ.

τὸ μὲν ἓν ἐμπεσὸν τῇ δυάδι κατ' αὐτὸν ποιεῖ τὸν τρία, ἡ δὲ δυὰς ἐπὶ μὲν τὸ ἓν ἐλθοῦσα ποιεῖ τὸν δύο, ἐπὶ δὲ τοῦτον γιγνομένη καὶ ὁμοίως ὁδεύουσα τὸν ἀρτιάκις ἄρτιον, τῷ δὲ τρία καὶ τοῖς ἄλλοις περιττοῖς ἐπιγιγνομένη τὸν ἀρτιοπέριττον, ᾧ πάλιν ἐμπεσοῦσα ποιεῖ τὸν περισσάρτιον. ταῦτα ὡς τοῖς πρεσβυτέροις ἀρέσκοντα λέγει, ἀπορεῖ τε ὀρθῶς, εἴπερ μὴ ὀρθῶς ἱστόρηται, κατ' οὐδὲν προσήκει τῷ εἰδητικῷ ἀριθμῷ.

280 17. καὶ τοῦτο μέντοι ζητοῦν ἐν τοῖς ἐγκειμένοις τοῦ Ἀριστοτέλους, ὅτι τὰς ἰδέας οὐ πρώτων εἶναι τῶν αἰθητῶν ἔφη λέγειν αὐτοὺς ἀλλ' ἑαυτῶν μέν, εἶναι δὲ καὶ παραδείγματα τῶν τε ψυχικῶν εἰδῶν καὶ τῶν φυσικῶν καὶ τῶν τελευταίων τῶν αἰθητῶν, ἅπερ ἠνίξατο διὰ τοῦ "ἢ ἄλλου τινός." ἔστω δ' ὧν δεδειγμένον αὐτῷ ὅτι οὐκ εἰσὶν ἄπειροι οἱ νοητοὶ ἀριθμοὶ τῇ οἰκείᾳ ἑαυτῶν φύσει, καίτοι παρ' ἡμῖν ἄγνωστοι καὶ ἀπερίληπτοι ὄντες· εἰ γὰρ καὶ μὴ δι' ἃς αἰτίας εἴρηκε, παραιτήσαιτο ἄν τις ἐπ' αὐτῶν τὸ ἄπειρον. ἀλλ' οὖν ἱκανῶς ὁ Φιλόλαος τοῦτο ἀποδείκνυσιν· "ἀρχὰν" γάρ φησιν "οὐδὲ τὸ γνωσόμενον ἔσσεται, πάντων ἀπείρων ἐόντων."

280 18. καίτοι οὔτε κατὰ λόγον ἐνδέχεται ἄπειρόν τι εἶναι, ὡς πολλαχοῦ δέδεικται, οὔτε κατὰ τὴν αὐτῶν θέσιν τε καὶ δόξαν. μέχρι δεκάδος αὐτοῖς ἡ τῶν εἰδῶν πρόοδος· τοῦτο γὰρ ἐμήνυσε διὰ τοῦ "τάττουσι δὲ οὕτω τὰς ἰδέας."

280 24. καὶ ταύτην τὴν δόξαν ἀπό τε Ὀρφέως καὶ Μουσαίου καὶ τῶν ἐκεῖθεν καταγομένων ὑποδεξαμένων, ὁ Ἀριστοτέλης ὡς δεκάδα τῷ ἀριθμῷ ἰδέας αὐτῶν ὑποτιθεμένων, οὕτως εὐθύνει τὰς δόξας. καίτοι εἰ δέκα τῷ ἀριθμῷ ὑπετίθεντο, ἑκάστη δὲ δυνάμεις ἔχει ὡρισμένας μὲν ἡμῖν δὲ ἀγνώστους, οὐδ' ὡς τῶν εἰδῶν τοῦ ζῴου, οὐδ' ὅλως τῶν τῇδε εἰδῶν ἐλάττους ἂν ἦσαν αἱ παραδειγματικαὶ αἰτίαι,

εἰ τῇδε μ̄ τῇ δυνάμει τῆς τριάδος τόδε τῇδε δὲ τόδε τὴν ὑπόςασιν ἔχειν ἐλέγομεν. ἀλλὰ ταῦτα μ̄ ἀφείθω. Syr.

"ἔτι ἄτοπον" ἐλλιπῶς ἀπήγγελθ· ἢν δ' ἂν τὸ τῆς λέ- 281 12.
ξεως τέλειον, εἰ ὕτω πως ἦν γεγραμμένον, ἔτι ἄτοπον εἰ ὁ ἀριθ-
5 μὸς μέχρι τῆς δεκάδος, καὶ ταῦτα τὸ ἓν κατ' αὐτὸς μᾶλλόν τι ὂν
καὶ εἶδος τῆς δεκάδος· ὥςε λείπει τὸ καὶ ταῦτα ἓν κατ' αὐτὸς καὶ
ἀγέννητον. τὸ γὰρ ἓν ἢ ἓν ὕτοί φασιν ἀγέννητον, ἡ δὲ δεκὰς γέ-
γονεν· ὥςε εἰ τὸ ἓν καὶ εἶδος τῆς δεκάδος ἐςὶ καὶ ἀγέννητον, εἰ δὲ
δεκὰς γέγονεν, ἔςαι καὶ ἑνδεκὰς ὡς ἐξ εἴδους μ̄ τοῦ ἑνός, ὕλης δὲ
10 τῆς δεκάδος. εὐλόγως δὲ τὸ ἓν μᾶλλόν τι εἴρηκεν· τὸ γὰρ εἶδος
μᾶλλόν τι καὶ τόδε τί ἐςιν ἤπερ ἡ ὕλη. ἀλλ' ὕτοι, φησί, μέχρι
τῆς δεκάδος πειρῶνθ τὴν γένεσιν τοῖς ἀριθμοῖς ποιεῖν, ὡς ὑςάτης
τελειότητος ὕσης τῆς δεκάδος, τὰ δ' ἄλλα ἐντὸς αὐτῆς γεννῶσι καὶ
θεωροῦσι καὶ τίθενθ, οἷον παράδειγμα κενοῦ, παράδειγμα ἀναλόγου,
15 παράδειγμα περιττοῦ. τὴν μ̄ γὰρ μεταξὺ τῶν ἀρτίων χώραν τε-
τράδος ἑξάδος καὶ τῶν ὁμοίων, ὁμοίως καὶ τὴν τῶν περιττῶν, εἰκόνα
φέρειν ἔλεγον καὶ παράδειγμα τοῦ κενοῦ. εἶναι γὰρ κενὸν ἐτίθεντο
ἔξω τοῦ οὐρανοῦ οἱ Πυθαγόρειοι καὶ ἀναπνεόμενον ὑπὸ τοῦ παντὸς ἐπει-
σιέναι καὶ διακρίνειν ἀπ' ἀλλήλων τὰ τῇδε, ὡς ἐν τῇ Φυσικῇ εἴρηθ
20 Ἀκροάσει (4 6).

πάντα ὖν, φησίν, ἀπεδίδοσαν ταῖς ἀρχαῖς, τυτέςι τῇ τε μο- 281 18.
νάδι καὶ τῇ δυάδι, ςάσιν μ̄ καὶ τὸ ἀγαθὸν μονάδι, κίνησιν δὲ καὶ τὸ
κακὸν δυάδι. δύναιντο δ' ἂν ἀρχὰς λέγειν καὶ τὰς δύο συςοιχίας
ἐν τοῖς ἄχρι δεκάδος ἀριθμοῖς, καὶ μάλα εὖ, ἐπειδὴ κἀν τοῖς ὕσι
25 τὰ μ̄ τῶν ἀρχῶν ἐξήρτηθ μόνων τῆς τε μιᾶς καὶ τὸ μετ' αὐτὴν
δυοῖν, τὰ δὲ καὶ εἰδητικὴν αἰτίαν προείληφε· διότι δέ, λόγος
πλείων. ὃ δὲ ἀντιτίθησιν αὐτοῖς πρὸς τῷ τέλει, λίαν εὐδιάλυτον.
εἰ γὰρ φύσει διὰ τὸ ἓν ἡ τριάς, πῶς ὐχὶ διὰ τὴν τριάδα καὶ ἡ πεντὰς
καὶ πᾶς ὁ περιττός, ὥσπερ ὁ ἄρτιος πᾶς διὰ τὴν δυάδα; ἐρῶμεν
30 δὲ κτλ. Syr.

τὸ δὲ "εἰ γὰρ ἐν τῇ τριάδι, πῶς ἡ πεντὰς περιττόν;" πάνυ 281 20.
βραχέως καὶ ἐλλιπῶς καὶ διὰ τοῦτο λίαν ἀσαφῶς εἴρηθ. ἀναγνω-
ςέον δὲ αὐτὸ ὑπερβατῶς ὕτως· εἰ γὰρ ἐν τῇ τριάδι τὸ περιττόν,
πῶς ἡ πεντάς; καὶ εἴη ἂν τὸ λεγόμενον τοιοῦτον· εἰ γὰρ ἐν τῇ τριάδι

τὸ ἓν τὸ περιττόν, ἤτοι εἰ διὰ τὸ ἓν ἡ τριὰς τὸ εἶναι τριὰς ἔχει, καὶ αὐτό ἐςι τὸ εἰδοποιοῦν αὐτήν, εἰ οὖν τῇ τριάδι τὸ εἶναι τριάδι τὸ ἕν ἐςι τὸ διδοῦν, πῶς οὐχὶ καὶ διὰ τὴν τριάδα ἡ πεντὰς καὶ πᾶς ὁ περιττὸς ἀριθμὸς τὸ εἶναι πεντὰς ἕξει καὶ ἑπτὰς καὶ οἱ λοιποί, ὥσπερ ὁ ἄρτιος πᾶς διὰ τὴν δυάδα; ἀναγκαῖον γὰρ τὴν δυάδα ἀρχὴν οὖσαν τῶν ἀρτίων καὶ τὴν τριάδα εἶναι περιττῶν. "ἔτι τὰ μεγέθη καὶ ὅσα τοιαῦτα μέχρι πόσου." ἔτι, φησί, καὶ ἐκ τῶν μεγεθῶν δεικνύειν ἐπειρῶντο ὅτι μέχρι τῆς δυάδος (ταύτης γάρ ἐςι δηλωτικὸν τὸ "μέχρι ποσοῦ") προάγειν χρὴ τὸν ἀριθμόν· ἔλεγον γὰρ ὅτι ἡ μονὰς ποιεῖ τὸ σημεῖον, ὅπερ οὗτος ἄτομον καλεῖ γραμμήν, ἡ δυὰς τὴν γραμμήν, ἡ τριὰς τὸ ἐπίπεδον, ἡ τετρὰς τὸ σῶμα, καὶ τούτοις ἀρκεῖ τὸ πᾶν· ὥςε εἰ ταῦτα τῆς δεκάδος οὐσία (συντεθέντα γὰρ ἀποτελεῖ τὴν δεκάδα), τὸ πᾶν ἀρκεῖ τῇ δεκάδι.

282 8. οὕτως οὖν καὶ ἡ μονὰς ἡ τὸ ὑποκείμενον συμπληροῦσα τῶν ἀριθμῶν, ἀνάλογον τῇ ὀξείᾳ παραλαμβανομένη, καὶ προτέρα καὶ ὑςέρα τῶν ἀριθμῶν, λόγῳ μὲν ὑςέρα γενέσει δὲ πρεσβυτέρα. Syr.

282 12. "ἔςι — δυνάμει." ἀσαφῶς καὶ τὰ προρρηθέντα καὶ τὰ νῦν λεγόμενα ἀπήγγελται· δοκεῖ γὰρ τὸ "ἔςι γάρ πως ἓν ἑκάτερον" διὰ τὸν "γὰρ" σύνδεσμον ὅτι κατασκευαςικόν ἐςί τινος τῶν πρὸ αὐτοῦ· οὐκ ἔςι δὲ ἀλλὰ μηνυτικὸν τοῦ πῶς ἔχουσιν αἱ μονάδες ἐν τοῖς ἀριθμοῖς τὸ εἶναι. καὶ ἂν σαφὴς ἡ λέξις εἰ οὕτω πῶς ἂν γεγραμμένη· δεῖ δὲ μὴ λανθάνειν ὅπως ἑκάτερον ἓν καὶ ἑκατέρα μονὰς ἔχουσιν ἐν τῇ δυάδι καὶ ἐν τῇ τριάδι καὶ ἐν τοῖς λοιποῖς ἀριθμοῖς. καὶ τὸ μὲν ἑκάτερον ἓν ἐπὶ τῶν τῆς δυάδος λέγει μονάδων, τὸ δὲ λεγόμενον τοιοῦτον ἂν εἴη. κατὰ τὴν ὕλην, καθ' ἣν λαμβάνεται τούτων τῶν τῆς δυάδος μονάδων ἑκατέρα, δυνάμει ἕν ἐςι κατὰ ἀλήθειαν, ἀλλ' οὐκ ἐνεργείᾳ· εἰ γὰρ μή ἐςι σωρὸς μονάδων, ἐξ ἄλλων μέντοι καὶ ἄλλων ὁ ἀριθμός, ἀλλ' ἕκαςα ἐξ ὑποκειμένων μέν ἐςι τῶν τοσῶνδε μονάδων (ἀσύμβλητοι γὰρ αἱ τῆς δυάδος πρὸς τὰς τῆς τριάδος μονάδες μονάδας), οὐ κατὰ τὸ εἶδος συνέςηκε τὸ ἑαυτοῦ. διὸ οὐκ ἂν εἴη ἡ ἐν τῇ δυάδι μονὰς ἐνεργείᾳ, ὡς οὗτοι βούλονται, ἀλλὰ δυνάμει· δυνάμει γὰρ τὰ μόρια, πρὶν ἂν κοσμηθείη τῷ εἴδει τῷ οἰκείῳ. αἰνίττεται δὲ διὰ τούτων ὅτι τὸ δυνάμει οὐ γενέσει μόνον καὶ

χρόνῳ τῷ ἐνεργείᾳ καὶ εἰδοπεποιημένῳ προτιθέασιν, ἀλλὰ καὶ λόγῳ καὶ οὐσίᾳ.

καθόλου δὲ λόγους εἶπε τὰ μαθήματα, ὅτι οὐ τοῦ μερικοῦ τρι- 232 17.
γώνου τὰ συμπτώματα ὁ μαθηματικὸς θεωρεῖ, οὐδὲ τοῦ μερικοῦ
5 κύβου ἢ τοῦδε τοῦ ἀριθμοῦ, ἀλλὰ τῶν καθόλου· παντὸς γάρ, φησί, τριγώνου αἱ τρεῖς γωνίαι δυσὶν ὀρθαῖς ἴσαι εἰσίν, καὶ πᾶς ἄρτιος ἀριθμὸς εἰς δύο ἴσα καὶ εἰς δύο ἄνισα διαιρεῖται, καὶ ἐπὶ τῶν ἄλλων ὁμοίως. καθόλου μὲν οὖν διὰ τοῦτο εἶπε τὰ μαθήματα. ἀλλὰ καὶ λόγους δι' αὐτὸ τοῦτο· οὐδὲν γὰρ τῶν καθόλου ἐν ὑπάρξει ἐστὶ καὶ πράγ-
10 ματι, ἀλλὰ λόγος. ἐκ τῶν τοιούτων οὖν τὰς τῶν πραγμάτων ἐθήρευον ἀρχάς· διὰ γὰρ τὴν μονάδα ἀρχὴν εἶναι μαθηματικῶν ἀριθμῶν, ὅθεν αὐτοὺς καὶ εἰδητικοὺς ἀριθμοὺς καὶ τἆλλα πάντα ὅσα λέγειν αὐτοῖς συνέβη ἐκάλουν τὴν ἀρχικὴν οὖτοι μονάδα οἷον στιγμήν· τὴν γὰρ μονάδα μηδενὶ ἄλλῳ διαφέρειν στιγμῆς ἢ τῷ μὴ
15 κεῖσθαί που ἔλεγον. ὥσπερ οὖν, φησίν, οἱ περὶ Δημόκριτον ἐκ τῶν ἐλαχίστων καὶ αὐτομάτων σωμάτων τὰ πράγματα συνετίθουν, οὕτως καὶ οὗτοι ἐκ τῆς ἀμεροῦς μονάδος καὶ τῆς ἀορίστου δυάδος ἢ τῆς στιγμῆς καὶ τοῦ πλήθους· ὥστε συμβαίνει αὐτοῖς ἐξ ὧν λέγουσι τὴν μονάδα ὕλην εἶναι τῶν ἀριθμῶν, εἴγε ἐκ μονάδος ὡς ἐξ ὕλης ὁ
20 ἀριθμός, καὶ προτέραν τῆς δυάδος καὶ πάλιν ὑστέραν· ἢ μὲν γὰρ ἀρχικὴ καὶ εἰδοποιὸς κατ' αὐτὸς ἡ μονάς, ταύτῃ προτέραν αὐτὴν ἀνάγκη τῆς δυάδος εἶναι· ἢ δὲ πάλιν ὅλον τι καὶ εἶδός ἐστιν ἡ δυάς, ὕλη δὲ αὐτῆς ἡ μονάς, ταύτῃ ὑστέρα τῆς δυάδος. τὸ δὲ "διὰ δὲ τὸ καθόλου ζητεῖν τὸ κατηγορούμενον ἓν καὶ οὕτως ὡς μέρος ἔλεγον" ἴσον
25 ἐστὶ τῷ συμβαίνει αὐτοῖς τὸ ἓν καθόλου τε λέγειν καὶ μέρος· καθὸ μὲν γὰρ τὸ ἓν περιληπτικὸν ἔλεγον πάντων τῶν ἀριθμῶν, ταύτῃ καὶ καθόλου αὐτὸ ἀπεφαίνοντο· ἢ δὲ πάλιν μέρος ἐστὶ τῆς δυάδος, οὐκ ἔστι καθόλου ἀλλὰ μέρος. ἀλλ' ἀδύνατον τὴν αὐτὴν καὶ μίαν μονάδα πάντων τε τῶν ἀριθμῶν εἶναι περιληπτικὴν καὶ διὰ τοῦτο κα-
30 θόλου καὶ μόριον τῆς δυάδος καὶ τῆς τριάδος καὶ ἑκάστου τῶν ἀριθμῶν τὸ ἐλάχιστον.

ἐπειδὴ τῷ ἑνί, φησί, ταὐτὸν δὲ εἰπεῖν τῇ ἀρχηγικῇ μονάδι 232 26.
ὁμοιοτέρα ἐστὶν ἡ ἐν τῇ δυάδι μονὰς ἤπερ ἡ δυάς (ἡ μὲν γὰρ διαιρετή, ἡ δὲ ἀδιαίρετος), τὸ δὲ τῇ ἀρχῇ ὁμοιότερον πρότερον, προτέρα ἂν

εἴη ἡ μονὰς ἡ ἐν τῇ δυάδι τῆς δυάδος· ὅ φασι δὲ ἐκεῖνοι. καὶ εὖ γε, ὦ θαυμάσιε. Syr.

283 5. ἃ μὲν ἐν τούτοις ἀπορεῖ, τοιαῦτά ἐστιν. ἆρα τοῦ ἑνὸς τοῦ πρώτου τὴν πρώτην τῆς δυάδος μονάδα τακτέον ἐφεξῆς ἢ οὔ; εἴτε γὰρ τάξαιμεν, ἔσται δυὰς πρὸ δυάδος· εἴτε μή, τίς ἂν εἴη τούτου αἰτία; καὶ ὅλως πότερον τὴν δυάδα φήσομεν αὐτὴν ἐφεξῆς εἶναι τῷ ἑνὶ ἢ τὴν ἐν τῇ δυάδι μονάδι ὡς ὁμοιοτέραν οὖσαν τῷ ἑνί; Syr.

283 7. βραχέως μὲν καὶ διὰ τοῦτο ἀσαφῶς εἴρηται, ἔστι δὲ τὸ λεγόμενον τοιοῦτον· πότερον τῷ πρώτῳ καὶ ἀρχικῷ τὴν πρώτην τῆς αὐτοδυάδος μονάδα τακτέον ἐφεξῆς ἢ οὔ; εἰ γὰρ τάξαιμεν, ἔσται ἐκ τοῦ πρώτου ἑνὸς καὶ τῆς ἐφεξῆς αὐτομονάδος δυὰς πρὸ τῆς αὐτοδυάδος, καὶ πρώτη αὐτῆς· ὅπερ οὔτοι οὐ βούλονται. εἰ δὲ μὴ τάξαιμεν, τίς ἂν εἴη τούτων αἰτία, καὶ πότερον ἡ δυὰς προτέρα τῶν ἐφεξῆς; τουτέστι καὶ πότερον τὴν δυάδα φήσομεν αὐτὴν ἐφεξῆς εἶναι τῷ πρώτῳ ἑνί, ἢ τὴν ἐν τῇ δυάδι μονάδα ὡς ὁμοιοτέραν οὖσαν τῷ ἑνί; εἰ μὲν δὴ τὴν δυάδα, ἔσται ἐκ τοῦ ἀρχικοῦ ἑνὸς καὶ τῆς δυάδος αὐτῆς τριὰς πρὸ τῆς αὐτοτριάδος καὶ πρώτη αὐτῆς· εἰ δὲ τὴν μονάδα, ὁ πρότερος ἥξει λόγος· δυὰς γὰρ ἔσται πρὸ δυάδος αὐτῆς.

283 10. τίνα ἐστὶ τὰ ὕστερα γένη τοῦ ἀριθμοῦ, αὐτὸς ἐκτίθεται, τὸ μακρὸν λέγων καὶ βραχύ, καὶ πλατὺ καὶ στενόν, καὶ βαθὺ καὶ ταπεινόν. λέγει δὲ ὅτι βουλόμενοι καὶ τὰ μεγέθη παράγειν ἀπὸ τῶν δύο ἀρχῶν, τοῦ τε ἑνὸς καὶ τῆς ἀορίστου δυάδος, ἐκ μὲν τῆς δυάδος φασὶ τήν τε γραμμὴν τὸ μακρὸν καὶ βραχὺ λαβεῖν, τό τε ἐπίπεδον τὸ πλατὺ καὶ στενόν, τό τε στερεὸν τὸ βαθὺ καὶ ταπεινόν· ταῦτα γὰρ τὸ μακρὸν καὶ βραχὺ καὶ τὰ λοιπὰ εἴδη ἐκάλουν τοῦ μεγάλου καὶ μικροῦ τοῦ ἐν τῇ ἀορίστῳ δυάδι. τὴν δὲ κοινὸν τὸ ἕν, φησίν, ἀρχὴν οὐχ ὁμοίως εἰσήγουν ἅπαντες, ἀλλ' οἱ μὲν αὐτοὺς τοὺς ἀριθμοὺς τὰ εἴδη τοῖς μεγέθεσιν ἔλεγον ἐπιφέρειν, οἷον δυάδα μὲν γραμμῇ, τριάδα δὲ ἐπιπέδῳ, τετράδα δὲ στερεῷ (τοιαῦτα γὰρ ἐν τοῖς περὶ Φιλοσοφίας ἱστορεῖ περὶ Πλάτωνος, δι' ὃ καὶ ἐνταῦθα βραχέως καὶ συντόμως τὴν τούτων ἐξέθετο διάνοιαν), οἱ δὲ μεθέξει τοῦ ἑνὸς τὸ εἶδος ἀπετέλουν τῶν μεγεθῶν. ἀλλὰ καὶ ἐν τούτοις, φησί, μυρία ἔπεται ἀδύνατα καὶ πλασματώδη, καὶ ἐπάγει ἐκ τῶν πολλῶν ὀλίγα.

283 22. τὸ δὲ "εἰ δὲ τοῦτο" ἀντὶ τοῦ εἰ δὲ σύνεισιν ἀλλήλαις αἱ ἀρχαί.

ἔτι δέ, φησίν, αἱ γωνίαι κτλ. πῶς ἀποδοθήσεται λόγον καὶ 283 23.
πῶς ἐκ τῶν πολυθρυλλήτων αὐτῶν ἀρχῶν δυνήσονται ποιεῖν; τί γὰρ
ἐν τούτοις τὸ ὑπερέχον καὶ τί τὸ ἐλλεῖπον; τὴν μὲν γὰρ ὀρθὴν γωνίαν
ἔλεγον εἶναι κατὰ τὴν μονάδα, ὀξεῖαν δὲ καὶ ἀμβλεῖαν κατὰ τὴν ἀόρι-
5 στον δυάδα, ἀφ' ἧς ἐστὶν αὐταῖς τό θ' ὑπερέχειν καὶ ὑπερέχεσθαι.
ἀλλὰ καὶ τῶν σχημάτων τὰ μὲν ἐν ἰσότητι καὶ ταυτότητι θεωρούμενα,
ὡς τὰ τετράγωνα καὶ τοὺς κύβους, ἐκ τῆς μονάδος ἔλεγον, τὰ δὲ
ἀνισότητι καὶ ἑτερότητι κατεχόμενα ἐκ τῆς δυάδος. ταῦτα δὲ
πάντα πλασματώδη καὶ ἀδύνατα. ταῦτα εἰπὼν λέγει ὅτι ὥσπερ
10 τὸ περιττὸν καὶ ἄρτιον πάθη εἰσὶν ἀριθμῶν, ταὐτὸ τοῦτο συμβαίνει καὶ
ἐπὶ τούτων, καὶ εἰσὶ μήκους μὲν πάθη τὸ περιφερὲς καὶ εὐθύ, πλάτους
δὲ τὸ στενὸν καὶ πλατύ, βάθους δὲ τὸ ταπεινὸν καὶ ὑψηλόν· οὐ μὴν ἐκ
τούτων, τῆς τε ἀορίστου φημὶ δυάδος καὶ τοῦ ἑνός, ἔστι τὸ μέγεθος,
ὥσπερ οὐδὲ ἐξ εὐθέος καὶ καμπύλου τὸ μῆκος καὶ τὰ λοιπὰ ἃ σαφῶς
15 αὐτὸς καταλέγει.

οἱ μὲν οὖν αὐτῶν τὰ μεγέθη γεννῶντες ἦσαν, ὥσπερ εἴρηται, ἐκ 284 6.
τοιαύτης ὕλης ἢ τοιαύτης ἀορίστου δυάδος, τὸ μακρὸν καὶ βραχύ, καὶ
πλατὺ καὶ στενόν, καὶ ταπεινὸν καὶ ὑψηλόν, ἐκ δὲ τούτων γραμμήν,
ἐπίπεδον, στερεόν· ἕτεροι δὲ οὐ τὰς ἀριθμητικὰς ἀρχὰς καὶ τῶν με-
20 γεθῶν ἀρχὰς ἔλεγον, ἀλλ' ἀνάλογον ταῖς ἀριθμητικαῖς ἀρχαῖς
ἱστᾶσι τὰς γεωμετρικάς, στιγμὴν ἀντὶ ἑνὸς παραλαμβάνοντες, οὐκ
οὖσαν μὲν ὅπερ τὸ ἓν ἀλλ' ἀνάλογον τῷ ἑνὶ τασσομένην, καὶ ἄλλο τι
οὐκ ὂν μὲν ὅπερ ἡ δυάς, ἀνάλογον δὲ τῇ ἀρχῇ ταύτῃ παραλαμβα-
νόμενον ὑπ' αὐτῶν, ὅπερ οἷον πλῆθος ἐκάλουν. ἡ δὲ λέξις ἡ "καὶ
25 ἄλλης ὕλης οἵας τὸ πλῆθος, ἀλλ' οὐ πλήθους" βέλτιον εἰ οὕτως
ἐγράφετο· καὶ ἄλλης ὕλης, οἷον τὸ πλῆθος ἀλλ' οὐ πλῆθος· ἵν' ἦν
ἀντὶ μὲν τοῦ "οἵας" τὸ οἷον, ἀντὶ δὲ τοῦ πλήθους, ὅπερ ἐστὶ γενικὴ τῶν
ἐνικῶν, πλῆθος εὐθεῖα τῶν ἐνικῶν.

καὶ ἄλλος μέν τις, φησί, τῶν Πυθαγορείων ἐκ τοῦ κατηγορου- 284 20.
30 μένου καθόλου ἤτοι τοῦ καθόλου πλήθους, ἀλλ' οὔ τινος πλήθους, καὶ τοῦ
ἑνὸς γεννᾷ τὸν ἀριθμόν, ὁ δὲ Πλάτων ἐκ τοῦ πλήθους τοῦ πρώτου δὲ
καὶ τοῦ ἑνὸς γεννᾷ. λέγει δέ τι πλῆθος καὶ πρῶτον τὴν ἀόριστον
δυάδα· πρώτη γὰρ τοῦ ἐν τρισὶ καὶ τέτρασι καὶ τοῖς ἐφεξῆς θεωρου-
μένου πλήθους αὕτη. ὥστε, φησίν, οὐδὲ διαφέρει κτλ.

285 9. ὑ περὶ τῦ ἀριθμῦ δὲ ζητεῖ νῦν εἴτε ἄπειρός ἐςιν ἢ πεπερασμένος ἤτοι εἰ πεπεράτωϑ (τῦτο γὰρ πρῦτεινεν πρότερον), ἀλλὰ περὶ τῦ πλήθυς τῦ ἐν τῇ αὐτοδυάδι, ὃ καί τι πλῆθος εἴρηκεν, ὃ τῷ μερισμῷ γεννᾶϑ τὰς μονάδας ὑπέθετο... καὶ ὅτι μὲν ἄπειρον ὑκ ἂν εἴη, πρόδηλον· ἔςαι γὰρ καὶ σῶμά τι ἄπειρον, ὃ τὸ ἄπειρον πλῆθος ἰδέα. ὅτι δὲ πεπερασμένον, εἴπερ ἔςιν, ἐνδέχεϑ εἶναι, συνίςησι λέγων "ὑπῆρχε γὰρ" κτλ.

285 14. "ὁμοίως — μεγέθη." ἡ ςιγμὴ καὶ τὸ ςοιχεῖον ἐκ παραλλήλυ κεῖϑ, καὶ ἔςιν ἴσον τῷ ὁμοίως δὲ καὶ περὶ ςιγμῆς, ἣν ςοιχεῖον ποιῶσι τῶν μεγεθῶν, ζητήσειεν ἄν τις πότερον αὕτη μόνη ἐςὶν ἢ καὶ ἄλλαι χωριςαὶ ςιγμαί.

285 19. τὰ μὲν γὰρ τῦ ἀριθμῦ μόρια ἀδιαίρετα, μονάδες γάρ, τὰ δὲ τῦ διαςήματος ὑκ ἀδιαίρετα, ὡς ἐν τῇ Φυσικῇ εἴρηϑ καὶ δέδεικϑ Ἀκροάσει (6 1).

285 24. καὶ προσέτι φησὶ τὸ διαφωνεῖν "τὺς τρόπυς" ἢ "πρώτυς." καὶ εἰ μὲν εἴη γεγραμμένον "τρόπυς," λέγοι ἂν τὺς τῆς διαιρέσεως, ὃς ἐξέθετό τε καὶ ἐγύμνασεν· εἰ δὲ "πρώτυς," ὃ καὶ μᾶλλον, λέγοι ἂν τὺς ἐνδοξοτέρυς τῶν τὰς ἰδέας δοξασάντων.

285 26. λέγει ὅτι οἱ μὲν τὺς μαθηματικὺς ἀριθμὺς μόνον ποιῦντες, ὡς οἱ περὶ Ξενοκράτην καὶ Σπεύσιππον, χωριςὺς δὲ τῶν αἰϑητῶν καὶ ἄλλυς παρὰ τὰ αἰϑητά..., τινὲς δὲ τῶν περὶ Πλάτωνα τιθέμενοι τὰς ἰδέας, καὶ πρὸς τῷ ἰδέας εἶναι ὁμολογεῖν καὶ ἀριθμὺς αὐτὺς λέγοντες, ἐζήτυν κτλ.

285 29. "οἱ δὲ — λέγυσι." ταῦτα πρὸς ἐνίυς μὲν ἀπορρίπτει τῶν ἀπὸ Πλάτωνος. Syrianus.

286 6. ἐπαινεῖ Πλάτωνα διακρίναντα τῶν εἰδῶν τὰ μαθήματα. Syrianus.

286 11. χαλεπὸν δ' ἐκ ψευδῶν καὶ μὴ καλῶς ἐχόντων, κατ' Ἐπίχαρμον, λέγειν ἀληθῶς καὶ καλῶς. "ἀρτίως τε γὰρ λέλεκϑ," τυτέςιν ἅμα γὰρ τῷ ῥηθῆναι τὸ βοήθειαν ἐπάγειν ταῖς ἰδέαις εὐθὺς φαίνεϑ μὴ καλῶς ἔχον· τοσῦτον γὰρ ἔχει ψεῦδος ἡ τῶν ἰδεῶν ὑπόθεσις περιφανές, ὥςε μηδὲ χρόνυ δεῖϑ τὰς ὑπὲρ αὐτῶν ἐπιφερομένας βοηθείας πρὸς τὸ φωραθῆναι ὅτι ψευδεῖς εἰσίν.

"ἐξέθεσαν" μ̄ εἶπεν οἷον μερικὰς ἐποίησαν· τοιαύτη γὰρ ἡ ἔκθεσις. Syrianus.

237 22. αἰνίττεται δὲ τὰ Β ταύτης τῆς πραγματείας· διαπορητικὸν γὰρ ἅπαν ἐκεῖνο τὸ βιβλίον.

237 26. ἀναιρεῖ τὴν οὐσίαν τῶν ὄντων, καὶ οὐδὲν ἔσται οὐσία ἀλλὰ πάντα συμβεβηκότα. εἰ γὰρ τὰ καθόλου, ὡς ἐν τῷ Ζ τῆς παρούσης δέδεικται πραγματείας, ὁμοιώματά εἰσι τῶν καθ' ἕκαστα καὶ οὐκ οὐσίαι, εἰ καὶ αἱ ἰδέαι καθόλου, ἔσονται μὴ οὐσίαι καὶ συμβεβηκότα· ὥστε εἰ αὐταὶ συμβεβηκότα, καὶ τὰ τῇδε, ὧν αὗταί εἰσιν ἰδέαι, συμβεβηκότα ἔσονται.

237 27. πότερον χωριστόν ἐστι τὸ ἀρχικὸν ἓν καὶ ἡ ἀόριστος δυάς, ἢ καθόλου τινὲς φύσεις;

238 4. τὸ δὲ ὁμώνυμον ἀντὶ τοῦ συνωνύμως κατηγορούμενον· ὃ γὰρ μήτε συνωνύμως μήτε ὁμωνύμως κατὰ πολλῶν λέγεται, μερικὸν καὶ ἄτομον.

238 5. τὴν δὲ λέξιν ὑπερβατῶς ἀναγνωστέον ὧδε· ἕκαστον αὐτῶν ὃ ἔστιν, ἓν τιθέασι τῷ ἀριθμῷ.

238 12. καὶ οἱ ὁρισμοὶ γὰρ τῶν καθόλου, ὡς ἐν τῷ Ζ τῆς παρούσης δείκνυται πραγματείας· καὶ αἱ ἀπόδειξεις ὁμοίως, ὡς ἐν τοῖς Ὑστέροις ἐμάθομεν Ἀναλυτικοῖς.

238 22. κατὰ δὲ τὴν λέξιν τὴν "καὶ παρὰ τὰς τὸ αὐτὸ εἶδος ἐχούσας οὐσίας ἕν τι ἀξιοῦσιν εἶναι κεχωρισμένον" ἢ τοῦτο λέγοι ἂν ὃ καὶ πρότερον εἴπομεν, ἔτι εὐλόγως συμβαίνει τὰ εἰρημένα ἄτοπα τοῖς ἀξιοῦσι παρὰ τὰς καθ' ἕκαστα οὐσίας τὰς ἐχούσας καθ' αὑτὰ ἐν ἑαυταῖς τὰς ἰδέας· μεθέξει γὰρ τῶν ἰδεῶν τὰ τῇδε εἶναι βούλονται. τοῖς δὲ ἀξιοῦσι παρὰ τὰ καθ' ἕκαστα ἕν τι εἶναι αὐτοείδος κεχωρισμένον ταῦτα συμβαίνει. καὶ δεῖ τὴν λέξιν οὕτως ἀναγινώσκειν· καὶ ἀξιοῦσιν ἕν τι εἶναι κεχωρισμένον αὐτοείδος, ἕτερον παρὰ τὰς οὐσίας τὰς αἰσθητὰς καὶ ἐχούσας ἐν ἑαυταῖς τὰς ἰδέας· μεθέξει γὰρ τῶν ἰδεῶν ὄντων ἡμῶν, πῶς οὐκ ἂν εἶεν ἐν ἡμῖν; ἢ τὸ "καὶ παρὰ τὰς τὸ αὐτὸ εἶδος ἐχούσας οὐσίας καὶ ἰδέας ἕν τι ἀξιοῦσιν εἶναι κεχωρισμένον," εἴρηται ἀντὶ τοῦ εὐλόγως συμβαίνει αὐτοῖς ταῦτα, ὅταν ἀξιῶσιν ἕν τι αὐτοείδος εἶναι κεχωρισμένον, λέγων αὐτοείδος τὸ ἀρχικὸν ἓν παρὰ τὰς οὐσίας, αὐτὰς δὴ τὰς ἰδέας καὶ ἐχούσας τὸ ἀρ-

χικὸν ἓν ἤτοι τὸ αὐτοεῖδος· εἶδος γὰρ τὸ ἀρχικὸν ἓν κατ' αὐτὰς τῶν ἰδεῶν. εὔδηλον δ' ὡς ἔχουσιν αὐτὰ αἱ ἰδέαι· ὥςε εἰ λέγοι αὐτοεῖδος τὸ ἀρχικὸν ἓν καὶ οὐσίας ἐχούσας τὸ αὐτοεῖδος, μὴ τὰς τῇδε καὶ αἰθητάς, ἀλλὰ τὰς ἰδέας, δεῖ κατ' ταύτην τὴν ἐπιβολὴν οὕτωσὶ
5 τῆς λέξεως ἀκούειν. ὅταν ἀξιῶσιν εἶναί ἕν τι αὐτοεῖδος, τουτέςιν ἀρχικὸν ἕν, ἕτερον παρὰ τὰς εἰδητικὰς οὐσίας τὰς ἐχούσας κατ' αὐτὰς τὸ ἀρχικὸν ἓν τοῦτο συμβαίνει.

μέχρι τούτων ὁ Ἀφροδισιεὺς τῷ M προσάγει· τὰ δ' ἑξῆς 239 14.
ἀπονέμει τῷ N. Syrianus.

10 Ἐν τῷ πρὸ τούτου βιβλίῳ ζητήσας εἰ δυνατὸν εἶναι τὰ μαθη- 239 20.
ματικὰ χωριςὰ καθ' αὑτά, καὶ δείξας ὅτι χωριςὰ μὴ οὐκ εἰσίν, ὡς οἱ ταῦτα τιθέμενοι λέγουσιν, ἐξ ἀφαιρέσεως δέ, εἶτα ζητήσας περὶ τοῦ εἰδητικοῦ ἀριθμοῦ καὶ δείξας ὅτι ἀδύνατόν ἐςι τοιοῦτος ἀριθμὸς εἶναι, ἐν τῷ παρόντι βιβλίῳ, N μὴ ἐπιγραφομένῳ, τρισκαιδε-
15 κάτῳ δὲ κατὰ τὸν ἀριθμὸν καὶ τελευταίῳ τῆς ὅλης πραγματείας ἔντι, δείκνυσιν ὅτι οὐδ' ὡς ἀρχὰς τῶν ὄντων δυνατόν ἐςι λέγειν ἢ τοὺς εἰδητικοὺς ἀριθμοὺς ἢ τὰ μαθηματικά, ὡς οἱ ταῦτα κομίσαντες βούλονται. καί φησι, περὶ μὲν τῆς οὐσίας τῆς νοητῆς ὅσα τε ἡμεῖς ὡς οἰκεῖα εἰρήκαμεν, ὅσα τε οἱ Πυθαγόρειοι καὶ ὁ Πλάτων, μέχρι
20 τοσούτου εἰρήσθω. ἡμεῖς μὲν γὰρ ἐνέργειαν τὸν πρῶτον νοῦν πάντῃ πάντως ἀμοιροῦσαν τοῦ δυνάμει εἰρήκαμεν, εἶτα καὶ ἐκ τοῦ τῶν σφαιρῶν πλήθους συνελογισάμεθα πόσαι οἱ δεύτεροι νοῖ τυγχάνουσιν ὄντες. ἡμεῖς μὲν οὖν τὴν νοητὴν οὐσίαν τοιαύτην εἰρήκαμεν. τούτων δὲ ὁ μὲν εἰδητικοὺς ἀριθμοὺς οἱ δὲ τὰ μαθηματικὰ τὴν οὐσίαν εἶναι
25 λέγουσι τὴν νοητήν. ὥςε περὶ μὲν τῆς τοιαύτης οὐσίας τοσαῦτα εἰρήσθω. πάντες δὲ καὶ οἱ τῶν ἰδεῶν προςάται καὶ οἱ τῶν μαθηματικῶν ἐφευρεταὶ ἀρχὰς τῶν εἰδῶν καὶ τῶν μαθηματικῶν (ταῦτα γὰρ εἴρηκεν ἀκινήτους οὐσίας) τὰ ἐναντία τίθενται παραπλησίως τοῖς φυσικοῖς... ὅτι δὲ τῶν νοητῶν καὶ πάντῃ ἀκινήτων ἀδύνατον εἶναι
30 ἐναντίας τὰς ἀρχάς, δείκνυσι νῦν προλαβὼν ὡς ἐναργέςατόν τε καὶ δεδειγμένον ὅτι τῆς πρώτης πάντων ἀρχῆς οὐκ ἐνδέχεται πρότερόν τι εἶναι κτλ.

δι' ὧν μάχεται τοῖς τὰς τῶν ἀκινήτων ἀρχὰς ἐναντίας ποιοῦσι, καθάπερ αὐτὸς εἰς τὰς τῶν αἰθητῶν ἀρχὰς τἀναντία σὺν τῷ ὑπο-

κειμένῳ αὐτῶν ὑκ ἀπηξίωσε παραλαβεῖν. συλλογίζεῖ δὲ συνήθως ἑαυτῷ· τἀναντία ἐν ὑποκειμένῳ, αἱ ἀρχαὶ ὑκ ἐν ὑποκειμένῳ, ἵνα μὴ πρὸ ὑσίας τὲ ἀνύσιον· δῆλον τὲ συμπέρασμα. τἀναντία, φησίν, ὑκ εἰσὶν ἀρχαί, ϗ εἰ ἀρχαί, ἀλλ' ὑχ ἧ ἐναντία ἀλλ' ἧ ἕτερά τινά ἐςιν, οἷον νῦς ἢ σῶμα ἢ ὅ τι ἂν ἧ τὲ ὑποκείμενον αὐτοῖς. . , ὅλως δὲ ὑδὲ ἀπὸ τῶν ὡσανεὶ ἀντικειμένων οἱ ἄνδρες ἤρχοντο, ἀλλὰ ϗ τῶν δύο συςοιχείων τὲ ἐπέκεινα ᾔδεσαν, ὡς μαρτυρεῖ Φιλόλαος τὲν θεὸν λέγων πέρας ϗ ἀπειρίαν ὑποςῆσαι, διὰ μὶ τῦ πέρατος τὴν τῷ ἑνὶ συγγενεςέραν ἐνδεικνύμενος πᾶσαν συςοιχίαν, διὰ δὲ τῆς ἀπειρίας τὴν ταύτης ὑφειμένην. ϗ ἔτι πρὸ τῶν δύο ἀρχῶν τὴν ἑνιαίαν αἰτίαν ϗ πάντων ἐξηρημένην προέταττον, ἣν Ἀρχαίνετος μὶ αἰτίαν πρὸ αἰτίας εἶναί φησι, Φιλόλαος δὲ τῶν πάντων ἀρχὰν εἶναι διιχυρίζεῖ, Βροτῖνος δὲ ὡς νῦ πανὲς ϗ ὑσίας δυνάμει ϗ πρεσβείᾳ ὑπερέχει. ἀφ' ὧν ὁρμώμενος ϗ ὁ θεῖος Πλάτων ἔν τε Ἐπιςολαῖς ϗ ἐν Πολιτείᾳ ϗ ἐν Φιλήβῳ ϗ Παρμενίδῃ τὰς αὐτὰς περὶ τῶν αὐτῶν φωνὰς ἀφίησιν. Syrianus.

290 3. τῶν τὰ ἐναντία ἀρχὰς θεμένων οἱ μέν, ὥσπερ ὁ Πλάτων, τὲ ἕτερον τῶν ἐναντίων ὕλην ποιῦσι, ϗ τῦτό ἐςι τὲ ἄνισον, εἶδος δὲ τὲ ἕν. . . εἶτα ϗ τὴν αἰτίαν τίθησι δι' ἣν τῷ ἑνὶ τὲ ἄνισον ἀντετίθυν ἀλλ' ὑ τὲ πλῆθος. ὑπολαμβάνοντες γάρ, φησίν, οἱ περὶ Πλάτωνα τὲ ἄνισον εἶναι τὴν φύσιν ϗ ὑσίαν τῦ πλήθυς, ἀντὶ τῦ πλήθυς τὲ ἄνισον ἀντετίθυν τῷ ἑνί· οἱ δὲ περὶ Πυθαγόραν ὕλην τε ϗ ἐναντίον τῷ ἑνὶ αὐτὲ τὲ πλῆθος ποιῦσι. ταῦτα εἰπὼν ϗ μέλλων ἐκθέϛ ϗ ἄλλας δόξας, πάλιν ἐκτίθεῖ τὴν τῦ Πυθαγόρυ ϗ Πλάτωνος, λέγων "γεννῶνῖ γὰ οἱ ἀριθμοὶ τοῖς μέν" (ὕτοι δ' εἰσὶν οἱ περὶ Πλάτωνα) "ἐκ τῆς τῦ ἀνίσυ δυάδος·" αὐτὴ δ' ἐςὶ τὲ μέγα ϗ μικρόν· ἐμπεριέχεϛ γὰ τὴν ἐκ τῦ μεγάλυ ϗ μικρῦ ἀποτελυμένην δυάδα, ἤτοι τὲ μέγα ϗ μικρὸν ἐναντιῦϛ ϗ ὡς ὕλην ὑποκεῖϛ τῷ ἑνὶ ἔλεγον· ὁτὲ δὲ τὲ περιεκτικὸν ϗ καθολικώτερον τῦ μεγάλυ χωρὶς ϗ τῦ μικρῦ ἰδίως, ἅμα δὲ ἐξισάζον αὐτοῖς, τῦτο δ' ἐςὶ τὲ ἄνισον ἠναντιῦϛ τῷ ἑνί· ὥσπερ γὰ ὁ ἀριθμὸς τῦ μὶ περιττῦ ἰδίως ἐςὶ καθολικώτερος, ὁμοίως δὲ ϗ τῦ ἀρτίυ, ἅμα δὲ τῶν δύο τύτων συνελθόντων ὑκ ἔςι καθολικώτερος ἀλλ' ἐξισάζει, ὕτω ϗ τὲ ἄνισον τῦ μὶ μεγάλυ φησὶ καθολικώτερον ϗ τῦ μικρῦ ὁμοίως, τῶν δύο

ἅμα ὑδαμῶς. τοῖς μὲν οὖν περὶ Πλάτωνα γεννῶνται οἱ ἀριθμοὶ ἐκ τῆς τοῦ ἀνίσου δυάδος, τῷ δὲ Πυθαγόρᾳ ἡ γένεσις τῶν ἀριθμῶν ἐστὶν ἐκ τοῦ πλήθους.

ἔδει γάρ, φησί, τὸν Πλάτωνα λέγειν ὅτι ταῦτα λόγῳ μὲν δύο 290 9.
5 ἀριθμῷ δὲ ἕν. οὕτω γὰρ ἄμεινον ἐξηγεῖται ἢ ὡς ὁ Ἀλέξανδρος ὑπέλαβεν αὐτὸν λέγειν. Syrianus.

δεῖ σίζαι τελείαν εἰς τὸ "μετὰ τοῦ ἑνός," εἶτα ἐπαγαγεῖν αὐτὸ 290 15.
καθ' αὑτὸ τὸ "τρία ταῦτα στοιχεῖα." τὸ δὲ λεγόμενον τοιοῦτον. πάντες οὗτοι τὴν μὲν εἰδικὴν ἀρχὴν τῶν ἀριθμῶν τὸ ἓν λέγουσι, τὴν
10 δὲ ὑλικὴν ἄλλοι ἄλλως· οἱ μὲν γὰρ τούτων τὸ μέγα καὶ μικρὸν ὕλην λέγοντες, εἶδος δὲ τὸ ἕν, τὰ τρία ταῦτα στοιχεῖα τῶν ἀριθμῶν ἔλεγον· οἱ δ' ἐπιδιορθούμενοι πολλῷ δικαιότερόν ἐστι φασὶ τὸ πολὺ καὶ ὀλίγον ὑλικὴν ἀρχὴν λέγειν τῶν ἀριθμῶν καὶ μὴ τὸ μέγα καὶ μικρόν· τὸ γὰρ μέγα καὶ μικρὸν ἄν περ ὅλως εἶεν ἀρχαί, τοῦ μεγέθους
15 ἔσωσαν ἀλλ' οὐ τοῦ ἀριθμοῦ. ἄλλοι δὲ ἐκφεύγοντες τὴν ἔριν ταύτην ὑπέθεντο ὑλικὴν ἀρχὴν τὸ περιέχον καὶ τὸ περιεχόμενον· καθολικώτερα γὰρ ταῦτα καὶ γενικώτερα.

ἄλλοι δὲ τῶν Πυθαγορείων τὸ ἕτερον καὶ τὸ ἄλλο ὡς μίαν φύ- 290 23.
σιν, ὑλικὴν δέ, πρὸς τὸ ἓν εἶδος ἀντιτιθέασιν· ἄλλος δέ, ὡς καὶ
20 ἀνωτέρω εἴρηκεν, τὸ πλῆθος καὶ τὸ ἓν κατ' ἀλλήλων ὡς ἐναντία ὁπλίζουσι. ταῦτα εἰπὼν κοινῶς πρὸς ἅπαντας ἀπαντᾷ.

αὐτῷ δὲ ἐπισῆσαι χρὴ ἣν παραδίδωσι διαφορὰν ἑτέρου καὶ 291 2.
ἄλλου. τὸ μὲν γὰρ ἕτερον ἀντικεῖται λέγει τῷ ταὐτῷ μετὰ τῆς τοῦ πᾶν προθήκης καὶ προηγήσεως, τὸ δὲ ἄλλο τῷ αὐτῷ χωρὶς τοῦ τῷ ἄρθρου
25 καὶ τῆς τοῦ πᾶν προθήκης τε καὶ προηγήσεως. ὥστε οὕτω χρὴ τὴν τῶν δύο τούτων συζυγιῶν ἐναντιότητα ἐκφωνεῖν· ἕτερον ταὐτό, ἄλλο αὐτό... ἀλλὰ μὴν ὥσπερ ἐστὶν ἐλάχιστος τῶν ὑφ' ἡμιολίων ἡ δυὰς καὶ τῶν ὑπὸ ἐπιτρίτων ἡ τριάς, οὕτω καὶ τὸ ἐλάχιστον καὶ ἔσχατον τοῦ ὀλίγου μέρος ἡ δυάς· ὥστε τὸ ἕν, εἴπερ ἐστὶν ὀλίγον, ἔσται
30 δυάς· ὅπερ ἀδύνατον.

ἄξιον δὴ τούτοις ἢ τὰ Κλεινίου τοῦ Πυθαγορείου παραβάλλειν, 291 7.
ὃς ἐξηρῆται βούλεται πανταχοῦ τὸ ἓν καὶ τὸ μέτρον οὐ μόνον σωμάτων οὐδὲ τῶν ἐγκοσμίων πραγμάτων, ἀλλὰ καὶ αὐτῶν τῶν νοητῶν, οὐνεκα ἂν αὐτὸ σεμνύνων ἀρχὰν εἶναι τῶν ὄντων λέγει καὶ νοατῶν

Digitized by Google

μέτρον καὶ ἀγέννητον καὶ ἀΐδιον καὶ μόνον καὶ κυριῶδες, αὐτὸ τὸ ἑαυτὸ δηλῶν. Syrianus.

291 8. δίεσις δ' ἐστὶν ὁ σμικρότατος φθόγγος καὶ οὗ ἐλάττονος αἰσθέσις τις οὐ δύναται.

291 17. ἀλλὰ καὶ ὁ ἀριθμὸς οὐδὲν ἄλλο δηλοῖ ἢ ὅτι πλῆθος διῃρημένον, ἢ πλῆθος μέτρων ἤτοι ἑνάδων... τὴν ἑτέραν (πρότασιν), τὴν πᾶς ἀριθμὸς μέτρα, παρείασεν. 5

291 28. τὸ ἀρχικὸν ἕν, ὥσπερ εἴρηται, ποτὲ μὲν ἓν λέγοντες ποτὲ δὲ ἴσον, ὁμοίως δὲ καὶ τὴν ἀόριστον δυάδα ἐκ μικροῦ ποιοῦντες καὶ μεγάλου, καὶ εἰς ἕν τι τὸ ἄνισον αὐτὴν συναιροῦντες, πόρρω λίαν καὶ τῶν δοκούντων αὐτοῖς καὶ τῶν δυνατῶν λέγουσιν. 10

292 10. ἥκιστα γὰρ τῶν ἄλλων πασῶν κατηγοριῶν φύσις τίς ἐστι καὶ οὐσία τὰ πρός τι· οὐ γὰρ μόνον τὰ εἴδη τοῦ πρός τι πάθη εἰσὶ τοῦ ποσοῦ, τὸ δὲ καθόλου πρός τι οὔ, ἀλλὰ καὶ τὸ καθόλου καὶ τὰ εἴδη· τὸ μὲν γὰρ καθόλου πρός τοῦ τι καθόλου ποσοῦ πάθος, τὰ δὲ εἴδη τῶν εἰδῶν. εἰ δὲ δεῖ καὶ κατὰ δοτικὴν πτῶσιν αὐτῶν ἀκούειν, προσυπακουστέον τοῦ συμβαίνει, καὶ ἀναγνωστέον ὑπερβατῶς οὕτως, καὶ ὅλως συμβαίνει τῷ κοινῷ καθόλου πρός τι καὶ τοῖς μέρεσιν αὐτοῦ καὶ εἴδεσι πάθη εἶναι τοῦ ποσοῦ. 15

292 14. καὶ οὐχ ἕτερόν τι ὄν, τυτέστιν ὃ οὐ ποσὸν ὂν πολὺ ἢ ὀλίγον ἐστίν· ἀδύνατον γὰρ πολὺ ἢ ὀλίγον εἶναι μὴ ποσὸν ὄν. 20

292 24. ὅλως δὲ ἄτοπον τὸ πρός τι λέγειν ὕλην τῆς οὐσίας καὶ στοιχεῖον· τὰ γὰρ στοιχεῖα τῆς οὐσίας πρότερα τῆς οὐσίας, τὰ δὲ πρός τι ὕστερα οὐ μόνον τῆς οὐσίας ἀλλὰ καὶ τοῦ ποσοῦ καὶ τοῦ ποιοῦ. ἔτι τὰ στοιχεῖα οὐ κατηγορεῖται ὧν ἐστὶ στοιχεῖα κτλ. 25

292 29. ἀλλὰ τί βούλεται ἐν τῇ λέξει τῇ "τὸ πολὺ καὶ ὀλίγον καὶ χωρὶς καὶ ἅμα" προσκείμενον; ἢ ὅτι τὸ πολὺ καὶ ὀλίγον καὶ κατὰ τοῦ τρία καὶ τῶν λοιπῶν ἅμα κατηγόρουν. ἅμα γάρ, φησίν, ὁ τρία καὶ πολὺς καὶ ὀλίγος· πρὸς μὲν γὰρ τὸν τέσσαρα ὀλίγος, πρὸς δὲ τὸν δύο πολύς· κατὰ δὲ τῆς δυάδος μόνον τὸ ὀλίγον, οὐ μὴν καὶ τὸ πολύ. πρὸς ὃ καὶ ἐνιστάμενος λέγει "εἰ δὲ δὴ καὶ ἔστι τι πλῆθος," λέγων τι πλῆθος τὴν δυάδα, καθ' ἧς τὸ ἕτερον μόριον τῆς ἐναντιώσεως κατηγορεῖται, οἷον τὸ ὀλίγον κατ' αὐτούς, θάτερον δέ, οἷον τὸ πολύ, μή. εἶτα πρὸ τοῦ τὸν λόγον ἀποδοῦναι ἐπισυνάπτει τὴν αἰτίαν, καθ' ἣν τὸ 30

πολὺ τῆς δυάδος κατηγορεῖϑς ὐκ ἐδίδυν, λέγων "εἰ γὼ πολύ, τὸ ἓν ἂν ὀλίγον εἴη." εἰ γάρ, φησί, τὸ πολὺ κατηγορήσομεν τῆς δυάδος, τὸ ἓν ἂν ὀλίγον εἴη· ὅπερ ἀδύνατον. εἰ δή, φησὶν ὁ Ἀριςοτέλης, ἔςι τι πλῆϑος καὶ τοῦτό ἐςιν ἡ δυάς, ὅπερ ἁπλῶς ὀλίγον φασίν, εἴη ἂν καὶ ἁπλῶς πολύ· ἔςω δὲ τὸ ἁπλῶς πολὺ ἡ δεκάς, καὶ ἡττάϑωσαν αὐτῆς καϑ' ὑπόϑεσιν καὶ τὰ μύρια καὶ πᾶς ἄλλος ἀριϑμός. εἰ ὖν ταῦϑ' οὕτως, πῶς ἐςὶ δυνατὸν λέγειν ὅτι τὸ πολὺ καὶ ὀλίγον ςοιχεῖόν ἐςι τῶν ἀριϑμῶν; ὥσπερ γὼ τὸ πῦρ καὶ ὁ ἀὴρ καὶ τὸ ὕδωρ καὶ ἡ γῆ ςοιχεῖα ὄντα τοῦ ἀνϑρώπου ἐν παντὶ ἀνϑρώπῳ εἰσὶ καὶ οὐδείς ἐςιν ἄνϑρωπος ᾧ μὴ τὰ τέσσαρα ταῦτα πρόσεςιν, οὕτως εἰ ἦσαν τὸ πολὺ καὶ ὀλίγον ςοιχεῖα τῶν ἀριϑμῶν, ἐν παντὶ ἀριϑμῷ εὑρίσκονϑ. νῦν δὲ τὸ μ̄ ὀλίγον κατ' αὐτοὺς ἔνεςιν ἐν τῇ δυάδι, τὸ δὲ πολὺ οὔ, καὶ πάλιν τὸ μ̄ πολὺ ἐν τῇ δεκάδι, τὸ δὲ ὀλίγον οὐδαμῶς. οὐκ ἄρα τὸ πολὺ καὶ ὀλίγον ςοιχεῖόν εἰσι τῶν ἀριϑμῶν· εἰ γὼ ἦσαν, ἢ ἀμφοτέρων καὶ τῆς δυάδος καὶ τῆς δεκάδος κατηγορεῖτο ἂν καὶ τὸ πολὺ καὶ τὸ ὀλίγον, ἢ οὐδενός, καὶ οὐχὶ τὸ μ̄ ὀλίγον τῆς δυάδος τὸ δὲ πολὺ τῆς δεκάδος· οὕτω γὼ συνέβαινε καὶ τὸ πῦρ ςοιχεῖον ὂν τοῦ Σωκράτους μὴ εἶναι καὶ τοῦ Πλάτωνος.

"ἁπλῶς δὲ — συγκεῖϑς." δείξας ἐν τῷ Α τῆς περὶ Οὐρανοῦ 293 9.
πραγματείας ὅτι τὸ δυνάμει πῦρ ὅταν ἐκβαίη εἰς ἐνέργειαν καὶ γένηϑ πῦρ, οὐκ ἀπώλεσε τὴν δύναμιν ἣν εἶχε πρὸ τοῦ πῦρ γενέϑς, ἀλλὰ καὶ μετὰ τὸ γενέϑς πῦρ πάλιν φυλάττει αὐτὴν καὶ δύναϑ μεταβαλεῖν εἰς ἐκεῖνο ἐξ οὗ εἰς πῦρ μεταβέβληκεν, ἐνταῦϑα ζητεῖ εἰ δυνατὸν τοὺς ἀριϑμοὺς ἐκ ςοιχείων γεγονότας, δυνάμει ὄντων ἀριϑμῶν, ἀϊδίους εἶναι.

ὥςε καὶ οἱ ἀριϑμοί, εἰ ἐκ τοῦ μεγάλου καὶ μικροῦ γεγόνασιν, 293 15.
εἴτε γέγονέν ποτε τὸ μέγα καὶ μικρὸν εἴτε καὶ ἀεὶ ἦσαν, δυνάμει ὄντων ἀριϑμῶν τοῦ μεγάλου καὶ μικροῦ γεγόνασιν οἱ ἀριϑμοὶ ἐξ αὐτῶν· τὸ δὲ δυνάμενον εἶναι ἀριϑμὸς δύναϑ, κἂν ὅτι μάλιςα δώσομεν ἀεὶ εἶναι τοὺς ἀριϑμούς, ὅμως δύνανϑ μὴ εἶναι, διὰ τὸ τὴν ὕλην, ἐξ ἧς γεγόνασι, τὴν δύναμιν ἔχειν ἣν καὶ πρὸ τοῦ μεταβαλεῖν εἰς τοὺς ἀριϑμοὺς εἶχεν· ὥσπερ γὼ τὸ ἐν μιᾷ ἡμέρᾳ καὶ γεγονὸς καὶ φθαρὲν ζῷον (εἴρηϑ γὼ ἐν τοῖς περὶ Ζῴων ὅτι εἰσί τινα ζῷα ὧν ἡ ζωὴ μία ἡμέρα ἐςίν), ὥσπερ οὖν τὸ τοιοῦτον ζῷον τοῦ μακροβιω-

τάτυ κᾷ τὲ δύναϑ μὴ εἶναι ὑδὲν διαφέρει, ἀλλ' εἰ ἄρα, κᾷ μόνην τὴν ζωήν, ὅτι τῦ μέν ἐςιν ἡ ζωὴ μακραίων τῦ δὲ βραχεῖα, ὕτως κᾷ τὲ τοσῦτον χρόνον δυνάμενον εἶναι, ὃ χρόνυ πέρας εὑρεῖν τις ὑ δύναϑ, δύναμιν ἔχει τῦ μὴ εἶναι. εἰ δὲ τῦτο, κᾷ αἱ ἰδέαι, κἂν ἀεὶ ὦσιν, ἀλλὰ δύναμιν ἔχυσι τῦ μὴ εἶναι· ἢ ὧν φθαρήσονϑ, ἐπεὶ τὴν τῦ φθαρῆναι δύναμιν ἔχυσιν, ἢ εἰς ἄπειρον ἕξυσι τὲ δυνάμει. ἀλλὰ μὴν δέδειχϑ ἐν τῇ περὶ Οὐρανῦ (1 7) ὅτι ὑδεμία δύναμις ἄπειρον χρόνον εἶναι δύναϑ, ἀλλ' ἐκβαίνει ποτὲ εἰς ἐνέργειαν (ταύτην γὰρ τὴν πραγματείαν ᾐνίξατο διὰ τῦ "καθάπερ ἐν ἄλλοις συνέβη πραγματευθῆναι")· φθαρήσονϑ ἄρα αἱ ἰδέαι.

294 7. ἔδοξεν ὧν, φησίν, αὐτοῖς ὡς εἰ μὴ εἴη κᾷ ἄλλο τι ἤτοι τὲ μὴ ὄν, ἵνα ἐκ τῦ ὄντος κᾷ τῦ μὴ ὄντος εἴη πλῆϑος, συμβήσεϑ τὰ ὄντα αὐτό, φημὶ τὲ ὂν ἓν εἶναι. ἡ μὶ ὧν διάνοια αὕτη· ἐν δὲ τῇ λέξει τῇ "ὑ γὰρ μήποτε τῦτο μηδαμῇ εἶναι μὴ ἐόντα, ἀλλ' ἀνάγκη εἶναι τὲ μὴ ὄν," τῦ Παρμενίδυ ὕσῃ, αἱ δύο ἀποφάσεις ἀντὶ μιᾶς καταφάσεως κείμεναι κᾷ τὲ "ἀλλά" ἀντὶ τῦ ὥςε πλείςην ἀσάφειαν πεποιήκασι. δεῖ δὲ κᾷ ὑπερβατῶς τὴν λέξιν ἀναγινώσκειν· ὑ γὰρ μήποτε μὴ τῦτο ἐόντα μηδαμῇ εἶναι, ὥςε ἀνάγκη τὲ μὴ ὂν εἶναι δεῖξαι. τὲ δὲ λεγόμενον εἴη ἂν τοιῦτον· ὑ γὰρ μήποτε μὴ τῦτο, τυτέςιν ὑδαμῶς ὧν ὑδαμῶς συμβήσεϑ τῦτο. ποῖον δὴ τῦτο; τὲ τὰ ἐόντα, κᾷ προσυπακυςέον τῦτο, πολλὰ εἶναι μηδαμῇ εἶναι, ἤτοι μὴ ὄντος τῦ μηδαμῇ μὴ ὄντος· ὥςε ἀναγκη ἐςὶ δεῖξαι ὡς ἔςι τὲ μὴ ὄν. ὑδαμῶς ὧν, φησὶν ὁ Παρμενίδης, ὑδαμῶς συμβαίνει πολλὰ εἶναι τὰ ὄντα, μὴ ὄντος τῦ μηδαμῇ μηδενός· ὥςε δεικτέον ὅτι τὲ μηδαμῇ μὴ ὄν. ἀλλ' ἀδύνατον εἶναι τὲ μηδαμῇ ὄν· ἀδύνατον ἄρα κᾷ τὲ πλῆϑος λέγειν. θεὶς ὧν τὲν ἀπαιτῦντα Παρμενίδειον λόγον, ὡς εἰ πολλά ἐςι τὰ ὄντα, ἀνάγκη δεῖξαι ὡς ἔςι κᾷ τὲ μὴ ὄν, ὄν, φησί, κᾷ μὴ δυνάμενοι λύειν ὡμολόγυν εἶναι τὲ μὴ ὄν, ὅπερ μὴ ὂν οἱ μὶ μέγα κᾷ μικρὸν ἐκάλυν, οἱ δὲ ὑπερέχον κᾷ ὑπερεχόμενον, — θεὶς ὧν τὲν τοιῦτον λόγον κᾷ ἐνδειξάμενος τὴν ἐπὶ τὲ τοιαύτας ἀρχὰς τῶν ὄντων αὐτὸς λέγειν ἐκτροπήν, αὐτὲς πρὸς τὲν Παρμενίδην ἀντιλέγει, ἐκείνων τῦτο ποιῆσαι μὴ δυνηϑέντων, λέγων κτλ.

ποῖον τούτων ὁ Παρμενίδης λέγει ὂν ἓν εἶναι, εἰ μὴ θήσομεν 294 15.
εἶναι καὶ τὸ μὴ ὄν; πότερον πάσας τὰς οὐσίας λέγει ἓν εἶναι, εἰ μή
ἐστι τὸ μὴ ὄν; ἢ τὰς οὐσίας καὶ τὰ πάθη καὶ τὰ ἄλλα πάντα ἓν εἶναι
λέγει, εἰ μή ἐστι τὸ μὴ ὄν; λέγει δὲ τόδε τι τὴν οὐσίαν, τοιόνδε δὲ
5 τὸ ποιόν, τοσόνδε δὲ τὸ ποσόν. ἀλλ' ἄτοπον, φησί, τὸ λέγειν ὡς
εἰ γένηται μία τις φύσις, λέγων μίαν φύσιν τὸ μὴ ὄν, ἔσται τοῦ
ὄντος τὸ μὲν οὐσία τὸ δὲ ποιὸν τὸ δὲ ποσόν, τουτέστιν ἔσται πολλὰ τὰ
ὄντα. ἀδύνατον οὖν ὡς ἀληθῶς τὸ λέγειν ὡς εἰ ἔστι τὸ μὴ ὄν, ἔσονται
πολλὰ τὰ ὄντα, εἰ δὲ μή ἐστιν, ἓν ἔσται τὸ ὄν· τίς γὰρ εὖ λέγων
10 ποιητικὸν ἂν εἴποι αἴτιον τὸ μὴ ὂν τοῦ εἶναι πολλὰ τὰ ὄντα;

ἐκ ποίου ὄντος καὶ μὴ ὄντος πολλὰ εἶναι ὁ Πλάτων λέγει τὰ 294 22.
ὄντα; ἐπειδὴ δὲ ὅπερ μὴ ὂν ἔλεγεν ὁ Πλάτων, τοῦτο καὶ ψεῦ-
δος ἐκάλει, βούλεται μὲν ἐκ τοῦ ὄντος καὶ τοῦ ψεύδους πολλὰ τὰ ὄντα
ποιεῖν κτλ.

15 ἐν δὲ τῇ λέξει τῇ "καὶ ταύτην τὴν φύσιν λέγει τὸ οὐκ ὄν" τὸ 294 27.
λεγόμενον ἴσον ἐστὶ τῷ καὶ τὸ οὐκ ὂν ταύτην τὴν φύσιν λέγει, ἀντὶ
τοῦ τὸ οὐκ ὂν ταύτὴν ἡγεῖται τῇ τοῦ ψεύδους φύσει.

τὸ γὰρ "οὐ γὰρ ἐν τῷ συλλογισμῷ ἡ πρότασις" ἴσον ἐστὶ τῷ οὐ 295 3.
γὰρ ἡ προτεινομένη καὶ γραφομένη γραμμὴ ἐν τῷ συλλογισμῷ καὶ
20 τῇ ἀποδείξει παραλαμβάνεται, ἀλλ' ἡ νοουμένη.

ἁπλῶς γὰρ μὴ ὂν λέγει τὸ καθόλου μὴ ὄν, κατὰ τὰς πτώσεις δὲ 295 4.
μὴ ὂν τὰ καθ' ἕκαστα.

ἐκεῖνοι μέν, φησί, τὸ πλῆθος ἐκ τοῦ μὴ ὄντος ἐποίουν τοῦ ψεύ- 295 6.
δους, ἐγὼ δὲ ἐκ τοῦ μὴ ὄντος μὴ οὐ τὸ πλῆθος μόνον ἀλλὰ καὶ ἓν ἕκα-
25 στον, μὴ ὄντος δὲ ἐνεργείᾳ ἀλλὰ μόνον δυνάμει, διὰ καὶ ψευδῶς
ὄντος. Syrianus.

καὶ εἴτε ἓν ἐστι τὸ ὄν, ὡς ὁ Παρμενίδης βούλεται, εἴτε πολλά, ὡς ἡ 295 11.
ἀλήθεια, ἐκ τοῦ δυνάμει μὴ ὄντος τὰ γινόμενα ἀναγκαῖον γίνεσθαι.

ζητοῦντες, φησί, πῶς πολλὰ τὸ ὄν, οὐδὲν ἄλλο ἐζήτουν ἢ πῶς 295 12.
30 οὐσίαι πολλαί, ἃ ἅπαντα οὐσίαι κατ' αὐτούς. ἔδει δέ, φησί, ζη-
τῆσαι καὶ πῶς πολλὰ χρώματα καὶ πῶς χυμοὶ πολλοί· οὐκέτι γὰρ ἂν
τὸ μέγα καὶ τὸ μικρὸν ἠτιάσαντο. Syrianus.

καὶ τὴν αἰτίαν εἰπεῖν ζητοῦντος τοῦ ὅπως πολλά ἐστι τὰ ὄντα καὶ 295 13.
οὐχ ἕν, ὡς ὁ Παρμενίδης βούλεται, λέγει ὁ Ἀριστοτέλης ὅτι οὐ κα-

θόλυ περὶ παντὸς ὄντος τοῦ τε ἐν οὐσίᾳ τοῦ τε ἐν ποσῷ τοῦ τε ἐν ποιῷ ὄντος καὶ τῶν λοιπῶν θεωρουμένου τὴν ζήτησιν ὁ Πλάτων ἐποιεῖτο πῶς τούτων ἕκαστον πολλά ἐστιν, ἀλλὰ μόνον τοῦτο ἐζήτει ὅτι πῶς τὸ ὂν τὸ ὡς οὐσία λεγόμενον πολλά ἐστιν, καὶ τὴν αἰτίαν τοῦ πῶς ἐζήτει, διὰ τί πολλαὶ οὐσίαι εἰσί, περὶ δὲ τῶν ἄλλων κατηγοριῶν οὐδένα λόγον ἐποιεῖτο, συντόμως ἐπήγαγεν εἰπὼν "ἀριθμοὶ γὰρ καὶ μήκη τὰ γεννώμενά ἐστιν," ὃ ταὐτόν ἐστι τῷ, ἃ γὰρ ἐκ τῶν ἀρχῶν τοῦ μεγάλου καὶ μικροῦ καὶ τοῦ ἀρχικοῦ ἑνὸς κατ' αὐτοὺς γίνεται, ἀριθμοὶ καὶ μήκη καὶ σώματά εἰσιν, ἅπερ πάντα τά τε μήκη καὶ οἱ ἀριθμοὶ αἱ κυριώτατα καὶ πρώτως μάλιστα οὐσίαι, ὡς αὐτός φησιν, εἰσίν. ὥστε εἴπερ τὸ πολλὰ εἶναι τὰ ὄντα κατασκευάζει διὰ τοῦ γένεσιν τοῖς οὖσιν εἰσάγειν, τὴν δὲ γένεσιν ἐκ τοῦ μικροῦ καὶ μεγάλου καὶ τοῦ ἑνὸς ἐποίει, πᾶν δὲ τὸ ἐκ μικροῦ καὶ μεγάλου, ὡς αὐτός φησιν, ἢ ἀριθμὸς ἢ μέγεθος, πᾶς δὲ ἀριθμὸς καὶ μέγεθος καὶ μῆκος οὐσία· τοῦτο γὰρ βούλεται καὶ λέγει κτλ.

295 21. "αἴτιον," τουτέστιν ἡ ἑκάστου ὕλη καὶ τὸ εἶδος, ἅπερ τὰ αὐτὰ τῷ ἀναλογόν εἰσιν, ὡς ἐν τῷ Λ δέδεικται. τὸ δὴ ἑκάστου εἶδος καὶ ἡ ὕλη αἰτία τοῦ εἶναι καὶ οὐσίας πολλὰς καὶ ποσὰ καὶ ποιὰ καὶ τὰ λοιπά. εἰπὼν δὲ ταῦτα ἐπιφέρει ὅτι ἡ παρέκβασις ἤτοι τὸ παρεκβῆναι καὶ καταλιπεῖν καὶ μὴ ζητῆσαι διὰ τίνα ποτὲ αἰτίαν εἰσὶ πολλοὶ χυμοὶ καὶ χρώματα, πεποίηκεν αὐτοὺς τὸ πρός τι ὑποθεῖναι κτλ.

295 26. εἰ γὰρ καὶ ὅτι μάλιστα συγχωρήσειέ τις ὅτι διὰ τὰ πρός τι ἤτοι τὸ ἄνισόν εἰσι πολλὰ τὰ ὄντα, ἀλλ' οὐκ ἂν καὶ ἑαυτοῖς αἴτια εἴη τοῦ πολλὰ εἶναι.

296 1. ἐμοὶ δὲ θαυμάζειν ἔπεισιν εἰ τὰ εἴδη ἔχων παρ' αὐτοῖς ἐξυμνημένα καὶ τὰς τῶν εἰδῶν ἀρχὰς ἄλλας αἰτίας ἐπιποθεῖ τοῦ πλήθους τῶν ἀνίσων· ὥσπερ γὰρ τῶν πολλῶν ὁμοίων καὶ ἀνομοίων ἡ αὐτοομοιότης αἰτία, οὕτω τῶν πολλῶν ἴσων καὶ πολλῶν ἀνίσων ἡ αὐτοϊσότης καὶ αὐτοανισότης αἰτία. καὶ περὶ τούτων εἴρηται μέντοι καὶ ἐν τῷ Φαίδωνι, εἴρηται δὲ ἐπὶ πλέον ἐν τῷ Παρμενίδῃ. εἰ δὲ καὶ ἐπὶ τὰς ἀρχὰς ἀνίοις τὰς τῶν εἰδῶν, εὕροις ἂν ἔτι πρεσβυτέρας αἰτίας τήν τε μονάδα καὶ τὴν αὐτοδυάδα, ὧν τῇ μὲν ὡκείωται μᾶλλον ταὐτότης ἰσότης ὁμοιότης, τῇ δὲ δυάδι ἑτερότης ἀνισότης ἀνομοιότης. Syrianus.

σὺ δέ, ὦ δαιμόνιε, τίνα φῂς αἰτίαν εἶναι τοῦ πολλὰ εἶναι τὰ 296 3.
πρός τι καὶ τὰ ἄλλα πάντα; ἦ, φησίν, ἀνάγκη ἐμὲ ὑποτίθεσθαί τε
καὶ λέγειν ὅτι τὸ δυνάμει ὂν ἑκάστῳ, τουτέστι τὸ δυνάμει ποσὸν καὶ τὸ
δυνάμει ποιὸν καὶ τὸ δυνάμει ὂν οὐσία καὶ ὅλως ἡ ἑκάστου ὕλη ἐστὶν
5 αἰτία τοῦ πολλὰ εἶναι τὰ εἰρημένα. καὶ τοῦτο, φησί, καὶ ὁ Πλάτων
ἐζήτησεν, εἰπὼν "τί τὸ δυνάμει τόδε." καὶ σαφηνίζων τί σημαίνει
τὸ τόδε, ἀνήγαγε τὸ "καὶ οὐσία."

ἀπεφήνατο οὖν, φησίν, ὅτι τὸ πρός τι ἐστὶ τὸ δυνάμει ὂν οὐσία, 296 5.
ἤτοι τὸ ὂν καὶ ἕν, ὥσπερ εἰ εἶπεν ὅτι τὸ ποιόν· ὥσπερ γὰρ τὸ ποιὸν
10 οὐκέτι δυνάμει τὸ ὂν ἢ τὸ ἓν οὔτε ἀπόφασις τούτων, οὔτως οὐδὲ τὸ πρός
τι οὔτε ἐναντίον ἐστὶ τῷ ἑνὶ καὶ τῷ ὄντι κτλ.

τοῦτο εἰπὼν λέγει "ἐπὶ μὲν οὖν τῶν ἄλλων κατηγοριῶν ἤτοι 296 12.
τῶν συμβεβηκότων ἔχει καὶ ἄλλην τινὰ ἐπισασίαν καὶ ἀπορίαν πῶς
πολλὰ εἰσίν. ἀσάφειαν δὲ πολλὴν ἐνεποίησεν ἐπεμβαλών τινα
15 μεταξὺ καὶ ἐλλιπῶς ἀπηγγελκὼς τὰ ἐπεμβληθέντα. εἴη δ' ἂν
οἶμαι τὸ ἑξῆς τῆς λέξεως τοιοῦτον. ἐπὶ μὲν τῶν ἄλλων κατηγοριῶν
τῶν παρὰ τὴν οὐσίαν ἔχει καὶ ἄλλην ἐπισασίαν καὶ ἀπορίαν πῶς
πολλὰ ποσὰ καὶ πολλὰ ποιὰ εἶναι δυνατὸν λέγειν, διὰ τὸ μὴ χωρισὰ
εἶναι τῶν ὑποκειμένων. εἶτα συναπτέον τούτοις τὸ "τῷ τὸ ὑποκεί-
20 μενον πολλὰ γίνεσθαι καὶ ἕν," καὶ προσυπακουστέον τοῦ τῷ λόγῳ· τῷ
λόγῳ γὰρ τῷ ἐκ τοῦ ἀνίσου καὶ τοῦ ἑνὸς συγκεχωρήσθω ἡμῖν νῦν ἀληθῆ
λέγειν. ἵν' ᾖ ἡ λέξις τοιαύτη· τῷ γὰρ λόγῳ τῷ πολλὰ καὶ γίνεσθαι
καὶ εἶναι τὸ ὑποκείμενον, ἤτοι τῷ λόγῳ τῷ πολλὰς καὶ γίνεσθαι καὶ εἶναι
οὐσίας ἐκ τοῦ ἀνίσου καὶ τοῦ ἑνὸς λέγοντι συγκεχωρήσθω νῦν ὡς ἀληθῆ
25 λέγει. ἔστιν οὖν ἡ σύμπασα λέξις (ῥητέον γὰρ καὶ πάλιν αὐτήν, ὅτι
λίαν μεμελάνωται) τοιαύτη. ἐπὶ μὲν τῶν ἄλλων κατηγοριῶν τῶν
παρὰ τὴν οὐσίαν ἔχει καὶ ἄλλην τινὰ ἐπισασίαν καὶ ἀπορίαν, πῶς
πολλὰ ποσὰ καὶ πολλὰ ποιὰ εἶναι δυνατὸν λέγειν, διὰ τὸ μὴ χωρισὰ
εἶναι τῶν ὑποκειμένων· τῷ γὰρ λόγῳ τῷ πολλὰς καὶ γίνεσθαι καὶ εἶναι
30 οὐσίας ἐκ τοῦ ἑνὸς καὶ τοῦ ἀνίσου λέγοντι συγκεχωρήσθω νῦν ἡμῖν ὡς
ἀληθῆ λέγει.

ἐπὶ τῶν συμβεβηκότων, φησί, καὶ τοῦτο ἄν τις ἀπορήσειε, 296 17.
πῶς οὐκ ὄντα τῶν ὑποκειμένων χωρισὰ πολλά ἐστιν ὅμως· ἐπὶ μὲν
γὰρ τῶν οὐσιῶν συνεχωρήθη τὸ πλῆθος ἐκ τοῦ μὴ ὄντος εἶναι· πῶς

δὲ τὸ χρῶμα ἐκ μὴ χρώματος; εἶτα ἐφιςὰς λέγει ὅτι ἀνάγκη μὴ γὰρ κατὰ συμβεβηκότα ὕλην ἔχειν, ἀλλ' ὑ χωριςὴν φησὶ τῶν σωμάτων. μάλιςα δέ φησιν ἐκεῖνο εἶναι ἄπορον, πῶς πολλαὶ ὑσίαι ἐνεργείᾳ εἰσίν. Syrianus.

ἡ δὲ περὶ τῶν συμβεβηκότων ἐπίςασις λύει μὴ καὶ παρ' αὐτῶ· πολλὰ γὰρ εἰ καὶ μὴ τῷ ὑποκειμένῳ τὰ συμβεβηκότα, ἀλλὰ τῷ γε λόγῳ. Syrianus.

καὶ εἰπὼν ὅτι περὶ δὲ τῶν συμβεβηκότων ἀπορήσειεν ἄν τις πῶς πολλά, καὶ λύσας τὴν ἀπορίαν, λέγει ὅτι "ἐπὶ δὲ τῶν τόδε τι ἔχει τινὰ λόγον," δυνάμει λέγων ὅτι ἐπὶ μὴ τῶν συμβεβηκότων ὐδεμία τῶ λοιπῶ ἀπορία πῶς πολλά, ἐπὶ δὲ τῶν τόδε τι ἤτοι ἐπὶ τῶν ὐσιῶν ἔχει τινὰ λόγον καὶ ἀπορίαν πῶς πολλαὶ αἱ ὐσίαι· ὐ γὰρ ὑγιὴς ἡ τῶ Πλάτωνος λύσις τὸ ἄνισον αἰτιωμένω. ἀπορίαν ὧν ἔχει πῶς πολλὰ τὸ τόδε τι καὶ ἡ ὐσία ἐςίν, εἰ μὴ θήσομεν εἶναι καὶ τὸ τόδε τι εἶδός τι καὶ φύσιν τινὰ δηλονότι ὕλην τοιαύτην ἤτοι δυνάμει ὖσαν τὸ εἶδος... ἢ ὧν ὕτως ὡς εἴρηται ἀκυςέον τῶ "ἐπὶ μὴ τῶν ἄλλων κατηγοριῶν ἔχει τινὰ ἀπορίαν" καὶ τὸ συνεχὲς τύτῳ, ἢ μεριςέον εἰς δύο ἀπορίας καὶ ῥητέον, ἐπὶ μὴ ὧν τῶν συμβεβηκότων ἔχει τινὰ ἀπόκρισιν πῶς πολλὰ ποιὰ καὶ πολλὰ ποσὰ εἶναι ἐνδέχεται λέγειν· ἀπορήσειε δ' ἄν τις τῦτο διὰ τί; διὰ τὸ μὴ ἔχειν ὕλην, ἥτις δυνάμει ὖσα τὰ συμβεβηκότα πολλὰ εἶναι ταῦτα ποιήσει. ἄλλην δὲ ἀπορίαν πάλιν ἀπορήσειέ τις περὶ αὐτῶν, καὶ ταύτην διὰ τί; διότι μὴ χωριςὰ ὄντα τῶν ὐσιῶν συμβαίνει τὸ ὑποκείμενον αὐτοῖς καὶ ἕν τι γίνεται καὶ πολλά· εἰ γὰρ ἄλλο ἡ ὐσία καὶ ἄλλο τὸ ποσὸν καὶ ἄλλο τὸ ποιόν, ἔςι δὲ ὁ Σωκράτης καὶ ὐσία καὶ λευκὸς καὶ δίπηχυς, φέρε εἰπεῖν, ἔςαι καὶ εἷς καὶ πολλά. τύτων δὴ τῶν δύο ἀπορῶν τῆς μὴ προτέρας ἀπορίας λύσιν ἐπακτέον τὸ "καί τοι δεῖ γέ τινα ὕλην εἶναι ἑκάςῳ γένει," τῆς δὲ δευτέρας τῆς λεγύσης ὅτι Σωκράτης καὶ εἷς ἐςὶ καὶ πολλά, τὴν λύσιν ἔχεις, ὦ φιλότης, ἐν τῷ A (c. 2 et 3) τῆς Φυσικῆς Ἀκροάσεως· ἐκεῖ γὰρ ὅτε τὸν Παρμενίδην καὶ Μέλισσον ἤλεγχεν, εἴρηκεν ὡς ὐδὲν κωλύει τὸ αὐτὸ καὶ ἓν
296 21. τῷ μὴ ὑποκειμένῳ ἓν εἶναι, τῷ λόγῳ δὲ πολλά. "ἀλλὰ — τὰ ὄντα." τὸ τόδε, ὡς πολλάκις εἴρηται, ἀντὶ ὐσίας τῷ Ἀριςοτέλει λαμβάνεται. τῶ Πλάτωνος δὲ τὰς ἰδέας, ἃς καὶ ὐσίας καλεῖ, καὶ

μᾶλλον ὑσίας, ἀριθμὺς λέγοντος, τῶν δὲ ἀριθμῶν ποσῶν ὄντων, ϗ διὰ τύτυ συναγομένυ τῦ τὰς ὑσίας εἶναι ποσά... ἐρωτᾷ ὁ δαιμόνιος Ἀριςοτέλης, πότερον διαφέρει ἡ ὑσία τῦ ποσῦ ἢ ἡ αὐτή ἐςι τῷ ποσῷ κτλ.

5 πάλαι μὲ ἠτιᾶτο πλῆθος μόνον τῶν ὑσιῶν ζητήσαντας ὅθεν ὑπέςη· νυνὶ δὲ ὐδὲ τῦτο συγχωρεῖν αὐτοῖς ἔοικεν, ἀλλ' ἐπειδὴ περὶ ἀριθμῦ τὰ πολλὰ διαλέγον῀ ϗ μεθῶν μιᾶς κατηγορίας, αὐτὺς ἔφη τὲ πλῆθος ϗ διερευνήσαι῀ ὐχὶ τῆς ὑσίας ἀλλὰ τῦ ποσῦ (*)· ἀριθμὸς γάρ, φησί, πᾶς ποσὸν ϗ ἡ μονάς. εἶτα ἐπι-
10 ςήσας, εἰ μὴ ἄρα, φησίν, ἡ μονὰς ὐ ποσόν, ὅτι μέτρον ἀριθμῦ ϗ ἀδιαίρετος. εἰ μὲ ὖν, φησί, ϗ αὐτοῖς ἀρέσκει διαφέρειν ποσὸν ὑσίας, περὶ πλήθυς ἐζητήσαμεν μόνον τῦ κῷ τὲ ποσόν· εἰ δὲ ταὐτὸν οἷον῀ εἶναι ποσὸν ϗ ὑσίαν, εἰς ταὐτὸν ἄγυσι συμβεβηκὸς ὑσίαν ϗ ὑποκείμενον ἐν ὑποκειμένῳ, ϗ ὅλως ἐναντιῦν῀ τοῖς ἐναν-
15 γέσι (**). Syrianus.

εἰ δέ ἐςιν ἡ ὑσία η αὐτὴ τῷ ποσῷ ϗ ἀδιάφορος, ζη- 296 27.
τεῖ῀ κτλ.

μήποτε δὲ διότι εἰσὶ θεωρήματα ἀριθμητικά, ἀνάγκη εἶναι 297 11.
ϗ τὸν ἀριθμὸν καθ' αὐτὸν ϗ χωριςόν, ἵν' ἐκείνῳ ταῦθ' ὑπάρξῃ. ἢ
20 φησὶ τὰ θεωρήματα τῶν ἀριθμητικῶν πανθ' ὑπάρξει ϗ τὰ τῶν αἰ῀ητῶν ἐξ ἀφαιρέσεως δὲ τὲ εἶναι ἐχόντων, καθάπερ ἐλέχθη ἐν τῷ Μ. εἰ δὴ δύνα῀ πάντα τὰ ἀριθμητικὰ δείκνυ῀ κῷ τῶν ἐξ ἀφαιρέσεως ἀριθμῶν, ὐ πιθανὸν ὐδ' ἀληθές ἐςι λέγειν ὡς διὰ τὰ θεωρήματα χωρίζειν αὐτὺς δεῖ ϗ ὕπαρξιν διδόναι. ταῦτα εἰπὼν
25 πάλιν ἐπαναποδίζει ϗ φησὶν "οἱ μὲ ὖν" κτλ.

ἡμεῖς δέ, φησί, καθὰ ϗ πρότερον εἴπομεν, φαμὲν ὅτι ϗ 297 23.
χωριςῶν μὴ ὄντων τῶν ἀριθμῶν ἔςαι ἀριθμητικὴ ἐπιςήμη· ἄλλως τε δέ, εἰ ἦν κεχωρισμένα τὰ μαθηματικά, ὐκ ἂν τὰ τύτων

---

30 (*) sed quia de numero plurimum disputant, unius praesenti dixit ipsos multitudinem perscrutari non substantiae sed quantitatis. Bagol. vers. Lat.

(**) in idem ducunt accidens cum substantia et subiectum cum eo quod in subiecto, et omnino adversantur manifestis. id. ib.

πάθη ἐν τοῖς αἰθητοῖς εἴησαν· ἀδύνατον γὰρ τοῦ πράγματος μὴ ὄντος εἶναι τὰ πάθη αὐτοῦ. ὥστε εἰ τὰ μαθηματικὰ πάθη ἐν τοῖς αἰθητοῖς ἐστί, καὶ αὐτὰ δηλονότι, ἀλλὰ δυνάμει καὶ ἐξ ἀφαιρέσεως τὸ εἶναι ἔχοντα.

298 6. τῶν δὲ χωριζόντων τὸν ἀριθμὸν διὰ τὸ τὰ ἀξιώματα καὶ ὅλως τὰς καθόλου προτάσεις μηδὲ εἶναι ἐπὶ τοῖς αἰθητοῖς, τούτων δὴ τοῦτο σαίνει τὴν ψυχὴν καὶ εἶναι χωριστοὺς ἀριθμοὺς καὶ χωριστὰ μαθηματικὰ λέγειν ἀναπείθει. οὐδεμία δὲ ἀνάγκη διὰ τὸ ἀληθῆ εἶναι τὰ λεγόμενα περὶ τῶν ἀξιωμάτων καὶ τῶν καθόλου προτάσεων, λέγεσθαι καὶ περὶ αὐτῶν ὡς οὐκ ἐν τοῖς αἰθητοῖς εἰσίν, ἀλλ' ἐν ψυχῇ ἐπινοίᾳ τὸ εἶναι ἔχει. οὐδεμία οὖν ἀνάγκη διὰ ταῦτα χωριστοὺς ποιεῖν ἀριθμούς. εἰ οὖν, φησί, διὰ τὸ τὰ καθόλου μὴ εἶναι ἐν τοῖς αἰθητοῖς, χωρίζουσι τοὺς ἀριθμοὺς καὶ τὰ μεγέθη, ὁ ἡμέτερος λόγος ὁ τούτοις ἐναντιούμενος τἀναντία ἐρεῖ. καὶ ἐπάγει λέγων, διὰ τί οὐδαμῶς ἐν τοῖς αἰθητοῖς ὑπαρχόντων τῶν ἀριθμῶν τὰ πάθη αὐτῶν ἐν αὐτοῖς ἐστίν; εἰ γὰρ διὰ τὸ τὰ καθόλου μὴ ὑπάρχειν ἐν τοῖς αἰθητοῖς χωρίζειν δεῖ τοὺς ἀριθμούς, εἰ τὰ πάθη τῶν ἀριθμῶν ἐν τούτοις ἐστίν, οὐ χωριστέον.

298 21. ὅμως, φησίν, εἰ καὶ δοίημεν οὐσίας εἶναι τὰς στιγμὰς καὶ γραμμὰς καὶ ἐπίπεδα τῶνδε τῶν αἰθητῶν, καὶ ἐν τούτοις ἔστω, ἀλλ' οὐ καθ' αὐτά· "ἐπὶ τούτων γὰρ ὁ λόγος εἴρηκε," τουτέστιν ἐπὶ τούτων γὰρ τῶν ἐπιπέδων καὶ γραμμῶν ὁ λόγος εἴρηκέ τε καὶ ἔδειξε. "διὰ τί οὖν χωριστά ἐστιν;" ἤτοι ὅτι οὐκ ἔστι χωριστά· ἢ τὸ "διὰ τί οὖν χωριστά ἐστιν," ἀντὶ τοῦ πῶς χωριστά ἐστιν, ἔδειξεν ὁ λόγος· ἔδειξε δὲ ὅτι τῇ ἐπινοίᾳ. "ἔτι δὲ ἐπεζ. — ὤν." τὸ μὲ "εὐχερής" εἴληπται ἀντὶ τοῦ ἀργὸς τὴν διάνοιαν καὶ δυσκίνητος.

299 1. ἐπεισοδιώδη δὲ λέγεται τὰ μὴ συνεχῆ μηδὲ συντελοῦντα θάτερα θατέροις εἰς τὸ εἶναι... τὸ δὲ "ὥσπερ μοχθηρὰ τραγῳδία" πρόσκειται διὰ τὸ πολλοὺς τῶν μὴ ἀρίστων τραγῳδῶν μεταξὺ τῆς τραγῳδίας παρεμβάλλειν πρόσωπά τε καὶ ὑποκριτὰς καὶ ἔπη ὁμοίως καὶ μηδεμίαν συνέχειαν μηδὲ οἰκειότητα ἔχοντα πρὸς τὰ προαχθέντα τε καὶ προλεχθέντα· εἰ γάρ τις τὸν Αἴαντα παρεισάξας ἐν τῷ μεταξὺ καιρῷ, καθ' ὃν ἀπέσφαττεν ἑαυτόν, εἰσήγαγε τὴν Ἑκάβην θρηνοῦσαν τὴν Τροίαν, τίνα ἂν τοῦτο συνέχειαν εἶχεν ἢ οἰκειότητα

πρὸς τὰ πρότερα καὶ ὕστερα; ὥσπερ ὅτε ὁ Μενέλαος εἰσάγει μὴ ἐῶν τὸν Τεῦκρον θάψαι τὸ τοῦ Αἴαντος πτῶμα.

οἱ δὲ τοὺς εἰδητικοὺς ἀριθμοὺς τιθέμενοι τοῦτο μὲν ἐκφεύγουσι διὰ 299 2.
τὸ ἐκ τοῦ ἑνὸς καὶ τῆς ἀορίστου δυάδος ποιεῖν τὸν εἰδητικὸν ἀριθμόν, ἐκ
5 δὲ τούτου καὶ τῆς ὕλης, ἑτέρας οὔσης παρὰ τὴν ἀόριστον δυάδα (ἄλλη γὰρ κατ' αὐτοὺς δυὰς ἡ γεννητικὴ τῶν ἀριθμῶν καὶ ἄλλη ἡ τῶν μεγεθῶν), ἐκ δὲ τούτου καὶ τῆς ὕλης ποιεῖν τὰ μεγέθη καὶ τὰ ἐπίπεδα, ἐκφεύγουσι τὸ ποιεῖν ἐπεισοδιώδη τὴν φύσιν, ὅμως φησὶ ταῦτα τὰ μεγέθη τὰ προσεχῶς ἐκ τῆς ὕλης καὶ τῶν ἀριθμῶν γινόμενα πότε-
10 ρον ἰδέαι εἰσὶν ἢ οὔ, καὶ ἄρα συμβάλλονταί τι εἰς τὸ εἶναι τοῖς οὖσι; καί φησιν ὅτι ὥσπερ οὐδὲ τὰ μαθηματικά, οὕτως οὐδὲ ταῦτα κτλ.

οὐκ ἔστιν οὖν χαλεπὸν ὁποιασοῦν δόξας τιθέμενον μακρηγορεῖν 299 13.
τε καὶ συνείρειν πολλά.

οἱ δὲ πρῶτοι, φησίν (αἰνίττεται δὲ τὸν Πλάτωνα), δύο ποιή- 299 15.
15 σαντες τοὺς ἀριθμούς, τόν τε εἰδητικὸν καὶ τὸν μαθηματικόν, καὶ μεταξὺ τοῦ εἰδητικοῦ καὶ τοῦ αἰσθητοῦ τάξαντες τὸν μαθηματικόν, οὔτε εἰρήκασιν οὔτε ἔχοιεν ἂν εἰπεῖν πῶς καὶ ἐκ τίνος ἔστι ὁ μαθηματικὸς ἀριθμός.

ἐκ δὲ τοῦ ἄλλου μικροῦ καὶ μεγάλου καὶ τῶν ἀριθμῶν τὰ μεγέθη 299 21.
20 ποιεῖ· ὃ γὰρ πρὸ ὀλίγου εἶπεν ὕλην, ὅτε ἔλεγε "ποιοῦσι γὰρ τὰ μεγέθη ἐκ τῆς ὕλης καὶ τοῦ ἀριθμοῦ" (τὰ μὲν γὰρ μήκη ἐκ τῆς αὐτοδυάδος καὶ τῆς ὕλης, ὁμοίως καὶ τὰ ἐπίπεδα ἐκ τῆς αὐτοτριάδος καὶ τῆς ὕλης), — ὃ οὖν ἐκεῖσε ἔλεγεν ὕλην, ἄλλο μικρὸν καὶ μέγα ἐκάλεσεν. εἰ οὖν μήτε ἐκ τοῦ μεγάλου καὶ μικροῦ, ταὐτὸν δὲ εἰπεῖν τῆς ἀορίστου
25 δυάδος, δυνατὸν εἶναι τὸν μαθηματικὸν ἀριθμόν (ὁ αὐτὸς γὰρ ἂν ἦν τοῦ εἰδητικοῦ), μήτε ἐκ τοῦ ἄλλου μικροῦ καὶ μεγάλου, ἃ δὴ καὶ αὐτὰ ἀόριστον ἐκάλων δυάδα (ἐξ αὐτῶν γὰρ τὰ μεγέθη ποιεῖ), λείπεται ἄλλο μέγα καὶ μικρὸν λέγειν. εἰ δὲ τοῦτο, πλείω ἔσται τὰ στοιχεῖα, αὐτά φημι τὰ μεγάλα καὶ μικρά. ἀλλὰ μὴν ἀνάγκη ὅσα ὑλικά,
30 τοσαῦτα εἶναι καὶ τὰ εἰδητικά· ὅπερ οὐ βούλονται. εἰ δέ ἐστιν ἓν τὸ ἀρχικὸν καὶ εἰδικὸν ἕν, κοινὸν ἔσται καὶ μεριθήσεται ἐπί τε τοῦ μεγάλου καὶ μικροῦ, ἐξ οὗ ποιοῦσι τοὺς ἀριθμούς, καὶ ἐπὶ τοῦ ἄλλου μεγάλου καὶ μικροῦ, ἐξ οὗ τὰ μεγέθη, καὶ ἐπὶ τοῦ λοιποῦ καὶ τρίτου, ἐξ οὗ ἔσονται οἱ μαθηματικοὶ ἀριθμοί. καὶ πῶς οἷόν τε τὸ ἓν τὸ τῷ ἀριθμῷ ἐν πλείο-

σιν εὑρίσκεται; ζητήσειε δ' ἄν τις πῶς οἷόν τε τὸ αὐτοὲν τρία εἶναι, εἴπερ τὸν μὴ εἰδητικὸν ἀριθμὸν ἐκ τοῦ μεγάλου καὶ μικροῦ καὶ τοῦ αὐτοενὸς ποιοῦσι, τὰ δὲ μεγέθη ἐκ μεγάλου καὶ μικροῦ καὶ ἀριθμοῦ. ἢ ῥητέον ὅτι τρία μὴ ὦκ ἔςαι αὐτοέν, ἀλλ' ἢ δύο ἢ ἓν διῃρημένον εἰς δύο· εἰ γὰρ κατὰ Πλάτωνα πᾶς ἀριθμὸς ἐκ μονάδος καὶ ἀορίςου ὑφίςαται δυάδος, εἰ μὴ καὶ ὁ μαθηματικὸς ἀριθμὸς ἐξ αὐτῆς τῆς μονάδος καὶ τῆς ἀορίςου δυάδος ἐςίν, ἐξ ὧν ὁ εἰδητικὸς ἀριθμός, ὁ αὐτὸς ἔςαι τῷ εἰδητικῷ· εἰ δὲ ἐξ ἄλλης δυάδος, πότερον καὶ ἐξ ἄλλου ἑνὸς ἑτέρου ὄντος παρὰ τὸ ἀρχικὸν ἓν ἢ ἐξ αὐτοῦ τοῦ ἀρχικοῦ ἑνός; εἰ μὲν γὰρ ἐξ ἄλλου, ἔσονται δύο ἀρχικὰ ἕν, ὅπερ οὐ βούλονται· εἰ δὲ ἐξ αὐτοῦ τοῦ αὐτοενός, πῶς δυνατὸν ἓν ὂν τῷ ἀριθμῷ εἶναι καὶ ἐν ταύτῃ τῇ δυάδι καὶ ἐν ἐκείνῃ; φανερὸν ἄρα ὅτι οὔτε ἐκ τοῦ ἑνὸς καὶ τῆς ἀορίςου δυάδος δυνατὸν γενέσθαι τὸν μαθηματικὸν ἀριθμόν, ἵνα μὴ ὁ αὐτὸς τῷ εἰδητικῷ φανῇ, οὔτε ἐξ ἄλλων· ἀριθμὸν γὰρ κατὰ Πλάτωνα ἀδύνατον ἑτέρως ὑποςῆναι ἢ ἐκ μονάδος καὶ τῆς ἀορίςου δυάδος· τοῦτο γάρ ἐςι δηλωτικὸν τὸ "καὶ ἅμα τὸν ἀριθμὸν γενέσθαι ἄλλως ἢ ἐξ ἑνὸς καὶ δυάδος ἀορίςου ἀδύνατον." ταῦτα εἰπὼν ἐπάγει "ταῦτα δὴ πάντα ἄλ. καὶ μάχ. α. ἑαυτ. κ. τ. εὐλ.." τὸ δὲ "καὶ ἔοικεν ἐν αὐτοῖς εἶναι ὁ Σιμωνίδου μακρὸς λόγος" σαφὲς ἔςαι προειποῦσι τίς ἐςιν ὁ Σιμωνίδου λόγος. ὁ Σιμωνίδης ἐν τοῖς λόγοις, οὓς Ἀτάκτους ἐπιγράφει, μιμεῖται καὶ λέγει ὡς εἰκός ἐςι λόγους λέγειν δοῦλους ἐπταικότας πρὸς δεσπότας ἐξεταζόντας αὐτοὺς τίνος ἕνεκα ταῦτα ἐπταίκασι; καὶ ποιεῖ αὐτοὺς ἀπολογουμένους λέγειν πάνυ μακρὰ καὶ πολλά, οὐδὲν δὲ ὑγιὲς οὐ πιθανόν, ἀλλὰ πᾶν τὸ ἐπιφερόμενον ἐναντίον τῷ προφασθέντι· τοιοῦτον γὰρ ὡς εἰκὸς τὸ βάρβαρον καὶ παιδείας ἄμοιρον... κατὰ γὰρ τὸν τραγῳδὸν "ἁπλοῦς ὁ μῦθος τῆς ἀληθείας ἔφυ."... καὶ μικρῷ καὶ ἐπ' Ἄρειον πάγον αὐτοὺς προκαλεῖται διὰ τὸ βιάζεσθαι ὑπ' αὐτῶν ἀπογεννῆσαι τοὺς ἀριθμούς, τοῦτο ποιῆσαι μὴ δυνάμενος. ἐπειδὴ δὲ τὴν ἀόριςον δυάδα μέγα καὶ μικρὸν ἐκάλουν, ἡ δὲ ἀόριςος δυὰς κατ' αὐτοὺς μόνον τὸν ἀρτιάκις ἄρτιον ὑφίςησι, λέγει ὅτι εἰ καὶ δοίημεν τοὺς ἀριθμοὺς ἐκ τοῦ μεγάλου εἶναι καὶ μικροῦ, μόνος ὁ ἀφ' ἑνὸς διπλασιαζόμενος ἤτοι ὁ ἀρτιάκις ἄρτιος ἐξ αὐτῶν ἔςαι, ἄλλος δὲ οὐδείς· λεγέτωσαν οὖν πόθεν ἡ τῶν ἀρτιοπερίσσων καὶ τῶν λοιπῶν γένεσις.

[22]

Σιμωνίδυ δὲ μνημονεύει τῶν Ἀτάκτων ὕτως ἐπιγραφο- 300 1.
μένων· εἰρόμενα γὰ ταῦτα (*) κ᾽ ἥκιςα διανοίας πληρωτικά.
Syrianus.

Ἵνα δὲ κ᾽ ἐξ ὧν τίθησιν ἐπακολυθήσωμεν τῇ τῶν Πυθαγο- 300 6.
ρείων διανοίᾳ, ῥητέον ὡς ἓν μὲ τὲ σύνολον λέγυσι τὲ ἐξ ὕλης κ᾽ εἴδυς
διακοσμηθέν· τύτυ δὲ τὴν σύςασίν φασιν ὕτω γίγνεθαι, τῦ λόγυ
τῦ ἀπὸ τῆς φύσεως προελθόντος χρῶμα κ᾽ σχῆμα κ᾽ τὴν αἰτίαν
πάντως γεννήσαντος. πρῶτον μὲ τὲ ἄποιον σῶμα γίγνεθαι, τῦτο
γάρ ἐςι τὲ ἔγγιςα τῦ ἀπείρυ, εἶτα τὲ διακοσμηθέν, ὅταν τὲ πέρας
κ᾽ ὁ φυσικὸς λόγος καταςχῇ τέλεον τὲ ὑποκείμενον. Syrianus.

τὲ ἓν γὰ εἶπε πέρας· ἀρχὴν γὰ εἰδικὴν λέγοντες τὲ ἕν, ὑλικὴν 300 11.
δὲ τὲν ἀριθμόν, ὃν ἄπειρον ἐκάλυν διὰ τὴν ἴσως ἐπ᾽ ἄπειρον αὐτῦ
αὔξησιν, ἔφασκον ὅτι τῶν τῦ ἀριθμῦ ἤτοι ἀπείρυ μερῶν τὲ ἐγγίσαν
κ᾽ πρῶτον πλησιάσαν τῷ ἑνί, ἐκεῖνο κ᾽ πρῶτον εἰλκύθη ὑπ᾽
αὐτῦ κ᾽ εἰδοποιήθη, εἶτα τὲ δευτέρως πλησιάσαν, κ᾽ τρίτον τὲ τρίτως, κ᾽ ἐφεξῆς.

δίκαιον γὰ φυσικῶς κ᾽ περὶ φυσικῶν λέγοντας ἐν ταῖς φυσι- 300 13.
καῖς πραγματείαις τὰ ὑπ᾽ αὐτῶν λεγόμενα ἐξεταζειν· τύτυ γάρ
ἐςι δηλωτικὸν τὲ "δίκαιον γὰ αὐτὺς ἐξεταζειν τὺς περὶ φύσεως."
ἔςι δὲ τὲ τῆς λέξεως ἐλλιπές· εἴη δ᾽ ἂν τὲ πλῆρες, δίκαιον γὰ
αὐτὺς ἐξεταζειν τὺς περὶ φύσεως, ἀλλ᾽ ὑ τὺς περὶ τῶν θείων κ᾽
ἀκινήτων διαλεγομένυς.

ἐπεὶ δὲ ὁ Ξενοκράτης ὑπεραπολογύμενος τῦ Πλάτωνος, ὡς 300 23.
κ᾽ ἐν τῷ Α (c. 10) τῆς περὶ Οὐρανῦ εἴρηθαι, ἔλεγεν ὅτι διδασκα-
λίας χάριν κ᾽ τῦ γνῶναι, πῶς, εἰ γεγόνασιν αἱ ἰδέαι, δυνατὲν ἦν
αὐτὰς γενέθαι, ὑπετίθετο τε κ᾽ ἔλεγεν ὡς ἐκ τῦ μεγάλυ κ᾽ μικρῦ
ὑπὸ τῦ ἑνὸς ἰσαθέντων ἐγένοντο ἄν, εἰ δυνατὲν αὐτὰς ἦν γενέθαι.
ἐπειδὴ ὧν τῦθ᾽ ὁ Ξενοκράτης κτλ.

ἐν δὲ τῇ λέξει τῇ "ἔχει δὲ ἀπορίαν" τὲ ἐπαχθὲν τὲ "κ᾽ εὐπο- 300 25.
ρήσαντι ἐπιτίμησιν" τοιῦτόν ἐςιν· ἔχει δ᾽ ἀπορίαν, κἂν εὐπορήσῃ
τις εἰπεῖν τι κ᾽ ἐνςῆναι πρὸς τὴν ἀπορίαν, εὐθὺς ἐπιτιμηθήσεθαι·
ὑδὲν γὰ ἂν ὑγιὲς εἴπῃ.

(*) sunt enim cavillatorie dicta. Bagol.

301 5. αἰνίττεϑ δὲ τὸν Ὀρφέα· ϰ᾽ ὗτος γάρ φησιν ὅτι τὸ ἀγαϑὸν ϰ᾽ ἄριςον ὕςερόν ἐςι τῶν ἄλλων... ϰ᾽ ἐπεὶ πρῶτον μ᾽ ϰατ᾽ Ὀρφέα τὸ Χάος γέγονεν, εἶϑ᾽ ὁ Ὠϰεανός, τρίτον Νύξ, τέταρτον ὁ Οὐρανός, εἶτ᾽ ἀϑανάτων βασιλεὺς ϑεῶν ὁ Ζεὺς ϰτλ.

ὐδὲ ταῦτα τὸ ἀληϑὲς ἱςόρηϑ περὶ τῶν ϑεολόγων· ἐϰεῖνοι γὰ 5 Νύϰτα μ᾽ ϰ᾽ Οὐρανὸν φασι βασιλεύειν, ϰ᾽ πρὸ τύτων τὸν μέγιςον αὐτῶν πατέρα, τὸν τόϑ᾽ ἑλὼν διένειμε ϑεοῖς ϑνητοῖσί τε κόσμον, ὅ πρῶτος βασίλευσε περιϰλυτὸς Ἡριϰεπαῖος, μεϑ᾽ ὃν ἡ Νύξ... ἡ πρωτίςη ὖν ἀρχὴ ϰ᾽ παρ᾽ αὐτοῖς ἓν ϰ᾽ τἀγαϑόν, μεϑ᾽ ἣν ἡ δυὰς ἡ κρείττων τὸ βασιλεύειν, αἰϑὴρ μ᾽ ϰ᾽ χάος ϰ᾽ τὸν Πυϑαγόραν· εἶτα 10 τὰ πρώτιςα ϰ᾽ κρύφια τῶν ϑεῶν γένη, ἐφ᾽ οἷς ὁ πρῶτος ἀναφανεὶς τῶν ὅλων πατὴρ ϰ᾽ βασιλεύς, ὃν διὰ τῦτο Φάνητα προσεῖπον. ὔτ᾽ ὖν οἱ ἄριςοι τῶν φιλοσόφων ἀφίςανϑ τῶν ϑεολόγων, ὔϑ᾽ οἱ ϑεολόγοι τὰ δεύτερα δυνατώτερα ϰ᾽ ἀμείνω τῶν ἀρχηγικωτέρων φασὶν εἶναι, ἀλλὰ μία ἡ παρὰ πᾶσιν αὐτοῖς ἀλήϑεια. Syr. 15

301 10. πρῶτον μ᾽ γὰ ἐβασίλευσε περίκλυτος Ἡριϰεπαῖος, φησὶν ἡ ποίησις, μεϑ᾽ ὃν Νὺξ σκῆπτρον ἔχυσ᾽ ἐν χερσὶν ἀριπρεπὲς Ἡριϰεπαίυ, μεϑ᾽ ἣν Οὐρανός, ὃς πρῶτος ἐβασίλευσε ϑεῶν μ᾽ μητέρα Νύϰτα. ὗτοι δὴ διὰ τὸ τὺς ἄρχοντας μεταβάλλειν τὸ ἀγαϑὸν ϰ᾽ ἄριςον ὕςερον ποιῦσιν. οἱ δὲ μεμιγμένοι αὐτῶν (λέγει δὲ τὺς 20 μὴ πάντα μυϑικῶς ϰ᾽ ἀναποδείϰτως, ὥσπερ οἱ ποιηταί, λέγοντας, ἀλλ᾽ ἔςιν ὅτε ϰ᾽ ἐφ᾽ ἃ ἀποδείξεσι χρωμένυς), ὗτοι δὴ ὖν οἱ μεμιγμένοι, ὥσπερ Φερεκύδης ὁ Πυϑαγόρυ καϑηγεμὼν ϰτλ.

301 15. ἔςι μ᾽ ὑπερύσιον παρά τε τῷ Πλάτωνι τὸ ἓν ϰ᾽ τἀγαϑὸν ϰ᾽ παρὰ Βροντίνῳ τῷ Πυϑαγορείῳ ϰ᾽ παρὰ πᾶσιν ὡς εἰπεῖν τοῖς ἀπὸ 25 τῦ διδασκαλείυ τῦ τῶν Πυϑαγορείων ὁρμωμένοις. ὅμως δὲ κείϑω τὸ ἓν ὐσία εἶναι τῆς πρωτίςης ἀρχῆς, ἣν ἐϰάλυν τἀγαϑόν, ὡς ἑνώσεως ϰ᾽ τῦ ἀγαϑῦ πᾶσιν αἰτίαν ὑπάρχυσαν· ϰ᾽ ἴδωμεν, εἴπερ ἕπεταί τι αὐτοῖς ἄτοπον. Syr.

"τῶν δὲ τὰς ἀϰινήτυς ὐσίας λεγόντων," λέγων ἀϰινήτυς 30 ὐσίας τὺς εἰδητιϰὺς ἀριϑμύς, τύτων οἱ μέν, ὥσπερ ὁ Πλάτων ϰ᾽ Βροτῖνος ὁ Πυϑαγόρειος, φασὶν ὅτι τὸ ἀγαϑὸν αὐτὸ τὸ ἕν ἐςι ϰ᾽ ὐσίωϑ ἐν τῷ ἓν εἶναι, ὡς πολλάϰις εἴρηϑ. εἰπὼν δὲ τὸ "οἱ μ᾽" ὐϰ ἀπέδωκε τὸ οἱ δέ.

"ἢ εἰ μὴ τοῦτο, στοιχεῖον," τουτέστιν ἢ εἰ μὴ ἀρχικὸν ἐν λέγοιεν 301 25.
τὴν αὐταρκεστάτην φύσιν, ἀλλὰ φήσαιεν ὅτι ἡ αὐταρκεστάτη φύ-
σις τὸ στοιχεῖόν ἐστι τῶν εἰδητικῶν ἀριθμῶν, ὅπερ ἐστὶ τὸ μέγα καὶ τὸ
μικρόν κτλ.

5 ἀλλὰ τοῦ ἀριθμοῦ τοῦ μαθηματικοῦ ἀπειρήκασι, καὶ ἀφεῖλον 301 27.
ἀπὸ τοῦ τοιούτου ἑνὸς τὸ ἀγαθὸν κτλ.

ὁ συνεωρακὼς Σπεύσιππος (λέγω δὴ τὸ εἰ τὸ ἓν ἀγαθόν, 302 8.
ἀνάγκη τὸ μὴ ἓν τὸ ὑλικὸν κακὸν εἶναι) ἀπέφυγε καὶ προσάπτειν
οὐκ ἠθέλησε τὸ ἀγαθὸν τῷ ἑνί. ἄλλοι δὲ τὴν τοῦ κακοῦ φύσιν τὸ
10 ἄνισόν φασιν, ὥστε συμβαίνει ἐκ τούτων πάσας τὰς ἰδέας καὶ πάντα
τὰ ὄντα μετέχειν τοῦ κακοῦ, εἴπερ ἐξ αὐτοῦ καὶ τοῦ ἀγαθοῦ εἰσί,
πλὴν τῆς ἑτέρας τῶν ἀρχῶν, ἥτις ἐστὶ τὸ ἕν. ὥσπερ καὶ Ἐμπεδο-
κλῆς λέγει· καὶ οὗτος γάρ φησιν ὡς πάντα μετέχει τοῦ νείκους πλὴν
τῆς φιλίας. καὶ ἐπεὶ πρῶτον μὲν κατ' αὐτοὺς αἱ ἰδέαι γίνονται ἐκ τοῦ
15 ἑνὸς καὶ τοῦ μὴ ἑνός, εἶτα ἐκ τῶν ἰδεῶν τὰ μεγέθη, αὐτοτρίγωνον,
αὐτοτετράγωνον, τὰ ὅμοια, ἀκρατότερον μεθέξουσι τοῦ κακοῦ οἱ
ἀριθμοὶ ἤπερ τὰ μεγέθη· οἱ μὲν γὰρ ἀριθμοὶ προσεχοῦς ἐκ τοῦ κακοῦ
γεγόνασι, τὰ δὲ μεγέθη διὰ μέσων τῶν ἀριθμῶν. ταῦτά τε δὴ
συμβαίνει καὶ προσέτι χώραν τε εἶναι τὸ κακὸν τοῦ ἀγαθοῦ (ἡ γὰρ
20 ὕλη, ὡς αὐτοί φασι, χώρα τοῦ εἴδους), καὶ ἐρᾶν καὶ ὀρέγεσθαι τὸ κα-
κὸν τοῦ ἀγαθοῦ.

τίς ἐστιν ὁ φυγών; διὰ τί μάτην ὀνειδίζεται καὶ ὁ χρυσοῦς
Σπεύσιππος; Syr.

καὶ τί σημαίνει τὸ ἀόριστον, ἐπήγαγε σαφηνίζων, "ἀτε- 302 29.
25 λῶν δέ."

διὸ καὶ τὸ ἓν τὴν τῶν ὅλων ἀρχὴν οὐκ ἤθελον λέγειν ὄν. ὑπο- 302 30.
λαμβάνοντες γὰρ ὅτι οὐδὲν ἀτελὲς ὄν ἐστιν ἀλλὰ πᾶν ὂν τέλειον, τὸ
δὲ ἓν οὔτε τέλειον ἀπεφαίνοντο ὡς οὐδὲ ὄν ἐστιν· εἰ γὰρ ἦν ὄν, ἦν ἂν
καὶ τέλειον.

30 "ἄτοπον δ. κ. τ. τ. α. μ. τ. στερ. καὶ τ. μ. π." τοῦ Πλάτω- 303 2.
νος εἰπόντος ὅτι ἐκ τοῦ ἑνὸς καὶ τῆς δυάδος γεγόνασιν αἱ ἰδέαι, ἐκ
δὲ τῶν ἰδεῶν τὰ μαθηματικὰ μεγέθη, ἅμα δὲ καὶ ἐν τῷ αὐτῷ
νῦν ἢ χρόνῳ ἐν ᾧ τὰ μαθηματικὰ γέγονε μεγέθη, καὶ ὁ τόπος
αὐτῶν, ἐν ᾧ εἰσίν, ὑπέστη, λέγει ὅτι ἄτοπον τὸν μὲν τόπον ἅμα τοῖς

μεγέθεσι ποιεῖν, τίς δέ ἐςι μὴ λέγειν. εἶτα ϗ ἐνίςαῖ λέγων μὴ εἶναι τὰ μαθηματικὰ ἐν τόπῳ.

τοῦτο Ἀλέξανδρος εἰς Πλάτωνά φησιν ἀπερρῖφθαι. Syr.

3037. ὁμοίως δὲ ϗ τοὺς εἰδητικοὺς ἀριθμούς· τούτους γὰρ εἶπε τῶν ὄντων τὰ πρῶτα.

3038 10. πότερον οὖν, φησί, μίξει ἤτοι κράσει; ἆρα οὖν κραθεισῶν τῶν ἀρχῶν ἐξ αὐτῶν εἰσὶν οἱ ἀριθμοί; ἀλλ' ὁ πᾶν δύναῖ μίγνυαῖ, ϗ πολλῷ μᾶλλον τὸ ἓν μετὰ τῆς δυάδος τότε γινόμενον ἐκ τῶν κραθέντων ἕτερόν ἐςι τῶν τὸ κρᾶμα ἀποτελεσάντων. ἀλλὰ κἂν δοίημεν ὅτι κρᾶμα γέγονεν ἐκ τοῦ ἑνὸς ϗ τῆς δυάδος, ἔφθαρῖ τὸ ἕν (τὰ γὰρ κεραννύμενα τοῦτο πάσχει), ϗ οὐκ ἔσται τὸ ἓν χωριςὸν ϗ καθ' αὑτὸ ϗ ἑτέρα τις φύσις παρὰ τὸ κρᾶμα τὸ ἐξ αὐτοῦ ϗ τῆς δυάδος γεγονός, ὅπερ οὔτοι βούλονῖ· λίαν γὰρ ἀσπάζονῖ τὴν τοῦ ἑνὸς ἀφθαρσίαν. ὥςε δῆλον ὅτι μίξει ϗ κράσει ὁ δύναν οἱ ἀριθμοὶ ἐκ τῶν ςοιχείων εἶναι.

3039 19. "ὧν ἐςὶ γένεσις," τουτέςιν ἅπερ τεχνητά ἐςιν· γένεσιν γὰρ νῦν τὴν τέχνην ἐκάλεσεν.

3039 20. "ἀλλ' οὐχ οἷόντέ τι," φησί, "τοῦ ἀδιαιρέτου ἀπελθεῖν." ὃ δὲ λέγει δυνάμει τοιοῦτόν ἐςιν· τὸ μὲ σπέρμα φθείρεῖ ϗ οὐκ ἔςι, τὸ δὲ ἀδιαίρετον, τουτέςι τὸ ἀρχικὸν ἕν, οὐχ οἷόν τέ ἐςι κατ' αὐτοὺς φθαρῆναι, οὐδὲ ὅλως αὐτοί φασιν οἷόν τε ἐπινοῆσαι ὡς ἀπέρχεταί τι τῆς ἑνὸς φύσεως ἢ τροπή τις περὶ αὐτὸ γίνεῖ... ἀλλὰ μήποτε, ὥσπερ ἡμεῖς ἐκ τῆς ςερήσεως τῆς τῷ εἴδει ἐναντίας φαμὲ γίνεαῖ τὰ πράγματα μὴ ὑπομενούσης, οὕτω χρὴ νοεῖν ϗ τὴν τῶν ἀριθμῶν γένεσιν. ἀλλ' ὅσα, φησίν, ἐξ ἐναντίων γίνεῖ, ϗ ἐξ ὑποκειμένου τινὸς τρίτου γίνεῖ, ὡς ἐν τῷ Α δέδειχῖ τῆς Φυσικῆς Ἀκροάσεως κτλ.

3039 27. "ἢ οἷς ἐναντία." οὐ γὰρ μόνον τὰ ἐξ ἐναντίων τι φθείρεῖ, ἀλλὰ ϗ τὸ θερμὸν ϗ λευκόν, οἷς ἐναντία εἰσὶ τῷ μὲ τὸ ψυχρὸν τῷ δὲ τῷ λευκῷ τὸ μέλαν. ἐπεὶ δὲ πᾶσαν τὴν ἐναντιότητα, αὐτό φημι τὸ ἓν ϗ μὴ ἕν, εἰς τὴν τῶν ἰδεῶν σύςασιν οἱ ταύτας τιθέμενοι κατηναλῶαῖ ἔλεγον ϗ μηδὲν καταλελεῖφθαι, ἔμελλε δέ τις λέγειν ὅτι εἰ μέν τι λελειμμένον τῆς ἐναντιότητος ἐκτὸς ὂν τῶν ἰδεῶν, τότε εἰκὸς ἦν λέγειν ὅτι τὸ καταλειφθὲν μαχήσεῖ μετὰ τοῦ

συνόντος ταῖς ἰδέαις καὶ φθερεῖ αὐτάς· ἐπεὶ δὲ οὐδὲν παραλέλειπται, τί ἂν εἴη τὸ δυνησόμενον αὐτὰς φθεῖραι; ἐπεὶ οὖν ἔμελλέ τις ταῦτα λέγειν, προσέθηκε τὸ κἂν ἐκ παντὸς εἴη τοῦ ἐναντίου τὰ εἴδη καὶ μηδὲν ἀπελείφθη, φθαρήσεται· ὡς γὰρ τὸ νεῖκος κατ' Ἐμπεδοκλέα, ὅταν κατισχύσῃ τῆς φιλίας καὶ ὑπεισέλθοι τὸν σφαῖρον, φθείρει αὐτὸν κτλ... λέγων μῖγμα τὸν σφαῖρον.

δύο δόξας ἐκτίθεται περὶ τῶν οὐσιῶν ἐκ τῶν ἀριθμῶν ὑποσάσεως, ὧν οὐδετέραν προσίεται· οὔτε γάρ, φησίν, ὅροι τῶν οὐσιῶν εἰσὶν οἱ ἀριθμοὶ ὥσπερ τῶν γραμμῶν αἱ στιγμαί· οὕτω γὰρ ὁ Πυθαγόρειος οἰηθεὶς Εὔρυτος τοῦδε μὲν τοῦ φυτοῦ τόνδε τὸν ἀριθμὸν ὅρον ἔλεγεν εἶναι, τοῦδε δὲ τοῦ ζῴου τόνδε, ὥσπερ καὶ τοῦ μὲν τριγώνου τὸν ς', τοῦ δὲ τετραγώνου τὸν θ', τοῦ δὲ κύβου τὸν η'· οὔθ' ὡς ἕτεροι λέγουσιν, ὅτι αἱ μὲν οὐσίαι διὰ λόγων δημιουργοῦνται, οἱ δὲ λόγοι συμφωνίαι εἰσίν, αἱ δὲ συμφωνίαι σχέσεις ἀριθμῶν ἐναρμόνιοι. κατ' οὐδετέραν γάρ, φησί, τούτων τῶν δοξῶν ἔστιν εἰπεῖν πῶς τὰ συμβεβηκότα γίγνεται ἐκ τῶν ἀριθμῶν. Syr. 304 2.

μήποτε οὖν, ὥσπερ αἱ στιγμαὶ ὅροι οὖσαι τῶν γραμμῶν ὁρίζουσιν αὐτάς, οὕτω δυνατὸν λέγειν ὅτι καὶ τὰ εἴδη ὡς πέρατα τῶν τῆδε οὐσιῶν ὁρίζουσιν αὐτάς, καὶ οὕτως αἴτια τούτων εἰσί, καθάπερ καὶ ὁ Πυθαγόρειος Εὔρυτος ἔλεγε τοῦδε μὲν τοῦ φυτοῦ τόνδε τὸν ἀριθμὸν ὅρον εἶναι, καὶ ἄλλον μὲν ἵππου καὶ ἄλλον ἀνθρώπου, καὶ ἐπὶ τῶν ἄλλων ὁμοίως. καὶ οὐ μόνον ἁπλῶς οὕτως ὁ Εὔρυτος ἔλεγεν ὅτι οἱ ἀριθμοὶ ὅροι εἰσὶ τῶν φυτῶν καὶ ἀνθρώπων καὶ βοῶν, ἀλλὰ καὶ ὥσπερ ὁ ἀριθμητικός, ὅταν τὸν ἐννέα ἀριθμὸν τετράγωνον ὄντα καταγράφῃ, πρῶτον μὲν τρεῖς μονάδας κατ' εὐθεῖαν γράφει γραμμήν, εἶτα ἄλλας τρεῖς κεχ' παράλληλον καὶ αὐτὰς τῇ προτέρᾳ γραμμῇ, εἶτ' ἂν ἄλλας πάλιν τρεῖς κεχ' παράλληλον γραμμὴν τῇ δευτέρᾳ γραμμῇ, καὶ οὕτως ἀποτελεῖ παράλληλον σχῆμα, ὥσπερ ὑπόκειται καὶ ἐπὶ τοῦ τρία τριγώνου ὄντος, ὁμοίως πρῶτον μὲν γράφει μίαν μονάδα, εἶτα ὑπὸ ταύτην ἑτέρας δύο, καὶ οὕτως ἐξομοιοῖ τὸν τρία τῷ τριγώνῳ σχήματι, καὶ ἐπὶ τῶν ἄλλων ὁμοίως· ὥσπερ οὖν ὁ ἀριθμητικός, οὕτως καὶ ὁ Εὔρυτος, ἐπειδὴ ἔφασκε τοὺς ἀριθμοὺς ὅρους εἶναι τῶν πραγμάτων. κείσθω λόγου χάριν ὅρος τοῦ ἀνθρώπου ὁ διακοσιαπεντήκοντα ἀριθμός, ὁ δὲ τξ' τοῦ φυτοῦ· τοῦτο θεὶς ἐλάμβανε ψηφῖδας διακο- 304 4.

σίας πεντήκοντα, τὰς μὲν πρασίνας τὰς δὲ μελαίνας ἄλλας δὲ ἐρυθρὰς καὶ ὅλως παντοδαποῖς χρώμασι κεχρωμένας· εἶτα περιχρίων τὸν τοῖχον ἀσβέστῳ καὶ σκιαγραφῶν ἄνθρωπον καὶ φυτὸν ὅτως ἐπήγνυ τάσδε μὲν τὰς ψηφῖδας ἐν τῇ τοῦ προσώπου σκιαγραφίᾳ, τὰς δὲ ἐν τῇ τῶν χειρῶν, ἄλλας δὲ ἐν ἄλλοις, καὶ ἀπετέλει τὴν τοῦ μιμουμένου ἀνθρώπου διὰ ψηφίδων ἰσαρίθμων ταῖς μονάσιν, ἃς ὁρίζειν ἔφασκε τὸν ἄνθρωπον. τοῦτο ποιῶν ἔλεγεν ὅτι ὥσπερ ὅδε ὁ γεγραμμένος ἄνθρωπος ἐκ τῶν διακοσίων πεντήκοντα φέρε εἰπεῖν ἐστὶ ψηφίδων, ὅτως καὶ ὁ ἀληθὴς ἄνθρωπος ἐκ τοσούτων ὁρίζεται μονάδων. παραπλήσιον τούτῳ καὶ ἐπὶ τῶν τξ' ἐποίει, καὶ τὰς μὲν ἀνήλισκεν εἰς φύλλων τὰς δὲ εἰς κλάδων ἄλλας εἰς ῥιζῶν ἐκπλήρωσιν, καὶ ταῦτα ἅπερ ἐπὶ τοῦ ἀνθρώπου ἔλεγε, ταῦτα καὶ περὶ φυτοῦ καὶ τῶν ἄλλων, καὶ ὅλως ὅπερ νῦν οἱ γραφεῖς ποιοῦσι καὶ διὰ χρωμάτων ποικίλα καὶ παντοδαπὰ γράφουσι ζῷα, τοῦτο ἐκεῖνος διὰ τῶν κεχρωσμένων ψηφίδων ἐποίει, ἀφωμοίου τε καὶ εἰς σχῆμα συνετίθει τόνδε μὲν τὸν τῶν ψηφίδων ἀριθμὸν ἀνθρώπου, ἄλλον δὲ ἵππου, καὶ τοὺς ἄλλους εἰς ἄλλα εἴδη ζῴων καὶ φυτῶν. πότερον οὖν, φησίν, ὅτως εἰσὶν οἱ ἀριθμοὶ αἴτια τῶν τῇδε οὐσιῶν, ὥσπερ Εὔρυτος ἔλεγεν, "ἡ ὅτι ὁ λόγος ἡ συμφωνία τῶν ἀριθμῶν," τουτέστιν ἢ ὅτι εἰ ὁ λόγος, καθ' ὃν γίνεται τὰ φυτὰ καὶ τὰ ζῷα, συμφωνία ἐστίν, ἡ δὲ συμφωνία κατ' ἀριθμοῦ χέσιν, οἱ δὲ ἀριθμοὶ εἴδη, διὰ τοῦτο ἀνάγκη λέγειν ὅτι τὰ εἴδη αἴτιά εἰσι τῶν φυτῶν καὶ τῶν ἄλλων οὐσιῶν; ἀλλὰ κἂν τῶν οὐσιῶν αἰτίους τοὺς εἰδητικοὺς ἀριθμοὺς συγχωρήσωμεν, καίτοι μὴ ὂν ἀληθές, ἀλλὰ τά γε πάθη καὶ τὰ συμβεβηκότα πῶς φήσουσι γενέσθαι ἐκ τῶν ἀριθμῶν;

304 13. εἰ γὰρ ἡ ἑκάστου οὐσία καὶ τὸ εἶναι ὁ λόγος καὶ τὸ εἶδος αὐτοῦ ἐστίν, ὁ δὲ ἀριθμὸς ἂν ὅλως συμβάλληταί τι τοῖς πράγμασι, τὸ ποσόν ἐστι τῆς ἑκάστου ὕλης (ὁ γὰρ τέσσαρα ἀριθμὸς τὸ ποσὸν αὐτὸ καὶ τὸ μέτρον ἐστὶ πυρὸς γῆς ὕδατος ἀέρος, τῶν στοιχείων τῶν σωματικῶν), εἰ δὴ ἕκαστον κατὰ τὸ οἰκεῖον εἶδος λέγεταί τε καὶ ἔστιν, ὁ δ' ἀριθμὸς εἶδος μὲν τῶν πραγμάτων οὐκ ἔστιν, ὅτε μὴν ὕλη, ἀλλὰ τὸ ποσὸν καὶ τὸ μέτρον τῆς ὕλης, ψεῦδος ὅτι οἱ ἀριθμοὶ αἴτιοί εἰσι τῆς ἑκάστου μορφῆς ἢ μορφαὶ αὐτῶν. ὅτι δὲ οἱ ἀριθμοὶ τὸ ποσὸν καὶ

μέτρον εἰσὶ τῆς ὕλης τῶν πραγμάτων, ἀλλ' οὐχὶ μορφαὶ αὐτῶν, ἀποχρῆ τοῖς Ἐμπεδοκλεῖ περὶ συςάσεως ὀςῶν ῥηθεῖσι·

τὰς δύο τῶν ὀκτὼ μοιρέων λάχε Νήςιδος αἴγλης,
τέσσαρα δ' Ἡφαίςοιο, τὰ δ' ὀςέα λευκ' ἐγένοντο.

χρὴ ςίζειν τελείαν εἰς τὸ ὅτως, εἶτα ἐπάγειν τρία πυρός, γῆς δύο. ὃ δὲ λέγει, τοιοῦτόν ἐςιν. ὁ δὲ ἀριθμὸς καὶ τὸ ποσὸν τῆς ὑλικῆς οὐσίας τοῦ ὀςοῦ τῷ Ἐμπεδοκλεῖ οὕτως ἐλαμβάνετο, τρία μὲν τοῦ πυρός, δύο δὲ τῆς γῆς· εἴρηται δὲ ἐν τοῖς περὶ Ψυχῆς (1 5) ὅπως ταῦτα Ἐμπεδοκλῆς ἐλάμβανεν. ἐπεὶ δὲ τρία μὲν πυρὸς δύο δὲ γῆς, ἐπάγει, καὶ ἀεὶ πᾶς ἀριθμὸς ἢ πυρινός ἐςι ἢ γήϊνος, τουτέςιν ἢ πυρῶν ἐςὶν ἢ γαιῶν, ἢ μοναδικὸς καὶ ἀσώματος. ὅτε δὲ ὁ μοναδικός ἐςιν ἤτοι ὁ μαθηματικὸς οὐσία τῶν πραγμάτων, ὅτε ὁ τῶν πυρῶν καὶ γαιῶν, ἀλλὰ τὸ πῦρ καὶ ἡ γῆ ὕλη μὲν καὶ οὐκ εἶδος τῶν πραγμάτων, οὐδ' ἀριθμὸς αὐτῶν καὶ τὸ μέτρον οὐδέτερον τούτων ἐςίν, ἀλλὰ γίνεται ἡ ἑκάςου οὐσία κατὰ τὴν τοσοῦδε πρὸς τόδε μῖξιν.

τοῦτο δὲ οὐκ ἔςιν ἀριθμός, ἤτοι αὗαι αἱ μονάδες αἱ ἀσώματοι καὶ μαθηματικαί, ἀλλὰ λόγος τις σωματικῶν ἀριθμῶν ἤτοι ἀναλογία τις ἀριθμοῦ σωμάτων.

"ὅτε οὖν τοῦ ποιῆσαι αἴτιος ὁ ἀριθμός·" τουτέςιν οὐθ' ὡς τὸ 304 19.
σπέρμα ποιητικὴν ἔχει δύναμιν, κἄν τε ὁ μοναδικὸς καὶ μαθηματικὸς εἴη κἄν τε ὁ σωματικός, οὐθ' ὡς ὕλης· ὕλη γὰρ τὰ σώματα, ὧν ὁ ἀριθμὸς ποσόν ἐςι καὶ μέτρον, οὐ τὸ μετροῦν ἀλλὰ τὸ μετρούμενον. ὅτε μὴν ὡς εἶδός ἐςιν ἐν τοῖς αἰσθητοῖς, ὅτε ὡς τὸ οὗ ἕνεκα ἤτοι ὡς τὸ τελικόν.

εὐλόγιςον ἀριθμόν φησι τὸν ἄρτιον ὡς εὐδιαίρετον ἐν τοῖς λο- 304 23.
γισμοῖς καὶ ταῖς διανομαῖς. καὶ ἐπεί τινες τῶν Πυθαγορείων λέγειν οὐκ ὤκνουν ὅτι τὸ εὖ καὶ τὸ ἀγαθὸν ἀπὸ τῶν ἀριθμῶν ἑκάςῳ τῶν ἐνταῦθα περιγίνεται, ἐπειδὰν ἡ μῖξις τῶν μιγνυμένων ἐν ἀριθμῷ ἀρτίῳ ἢ περιττῷ γένηται, καὶ μάλιςα ἐὰν τέλειον καὶ ὅμοιον καὶ κατὰ πολλαπλασιασμὸν γένηται, οἷον τρὶς τρία, ἀλλὰ μὴ τρία καὶ τρία (εἰ γὰρ κατὰ ἀριθμόν, φασί, τὸ μελίκρατον περιττὸν γένηται, ὡς εἶναι ἐν τῇ μίξει φέρε εἰπεῖν δύο μὲν λίτρας μέλιτος καὶ δύο ὕδατος, ἢ κατὰ τετράγωνον, ἵν' ὦσι τρία μέλιτος, τρία ὕδατος, τρία κρόκου)· εἰ οὖν κατά τι γὰρ φασὶν τῶν τοιούτων ἀριθμῶν τὸ μελίκρατον γίγνηται, ἀγαθὸν

τὸ τοιοῦτόν ἐστιν ἑκάστῳ τῶν χρωμένων αὐτῷ, εἰ δὲ μέλι οὕτως, οὐκ ἀγαθόν. ἐπεὶ οὖν οὕτοι ταῦτ' ἔλεγον, λέγει, ἀπορήσειεν ἄν τις πῶς τὸ εὖ, ἤτοι πῶς ἀγαθὸν καὶ ὠφελιμώτατον τὸ μελίκρατον τοῖς χρωμένοις γίνεσθαί φασιν, εἰ κατ' ἀριθμοὺς εὐλογίστους καὶ ἀρτίους ἡ κρᾶσις γένηται, καὶ μάλιστα ἐὰν τρὶς τρία ᾖ κεκραμένον· νῦν γὰρ 5 ὁρῶμεν, οὐδέν ἐστιν ὑγιεινότερον καὶ ὠφελιμώτερον ἂν ᾖ τρὶς τρία καὶ ἐπικρατῇ ἡ τοῦ μέλιτος φύσις, ἀλλὰ μᾶλλον ὠφελήσειεν, ἐὰν ὑδαρὴς ᾖ καὶ οὐχ ὡρισμένῃ λόγῳ. ὡς οὖν ἐπὶ τοῦ μελικράτου, οὕτω καὶ ἐπὶ τῶν φυσικῶν σωμάτων ῥητέον ψεῦδος εἶναι τὸ λέγειν τὴν γένεσιν αὐτῶν εἶναι ὡς ὁ Ἐμπεδοκλῆς, κἂν ἄλλος τις Πυθαγό- 10 ρειος οὕτω λέγειν βούλῃται.

304 25. εἶτα προσυπακουστέον τοῦ καὶ μάλιστα ἐὰν τελείως καὶ ὁμοίως καὶ ἐν πολλαπλασίονι ἀναλογίᾳ, ὡς οὕτοι βούλονται, ἡ μῖξις γένηται, καὶ οὕτως ἐπακτέον ὡς ἀνασκευαστικὸν τοῦ μὴ τὸ εὖ ἀπὸ τῶν ἀριθμῶν τοῖς πράγμασι γίνεσθαι, ὅταν ἐν πολλαπλασίονι ἀναλογίᾳ ἡ 15 μῖξις γένηται. νῦν γὰρ ὁρῶμεν ὡς οὐδὲν ὑγιεινότερον τρὶς τρία ἂν ᾖ τὸ μελίκρατον κεκραμένον, ἀλλὰ μᾶλλον ὠφελήσειεν ὑδαρὲς ὂν ἤπερ ἐν ἀριθμῷ ἄκρατον ὄν. τὸ δὲ "ἄκρατον" προσκείσθω, διότι ὅταν ἐν ἀριθμῷ γένηται ἡ τοῦ μέλιτος καὶ ὕδατος μῖξις, ἀκρατέστερον καὶ ἀμιγέστερόν ἐστι τὸ μέλι καὶ μᾶλλον φυλάττον τὴν οἰκείαν 20 φύσιν. ὅταν δὲ ὑδαρές, κεκράτηται ὑπὸ τοῦ ὕδατος, καὶ διὰ τοῦτο οὐδὲ ἐν ἀριθμῷ ὡρισμένῳ ἐστὶν ἡ τούτων μῖξις, ὥστε τὸ ἄκρατον ἀντὶ τοῦ ἀκρατέστερον εἴρηται.

304 28. "ἔτι οἱ λόγοι ἐν προσθέσει ἀριθμῶν εἰσί, οἱ τῶν μίξεων." τὸ εὖ ἐκ τῶν ἀριθμῶν ἕπεσθαι τοῖς πράγμασιν, ὡς εἴρηται, λέγον- 25 τες, ὅταν τὰ στοιχεῖα κατ' ἀριθμοὺς μιχθῇ, καὶ μάλιστα ὅταν ἐν πολλαπλασιασμῷ, δείκνυσιν ὅτι ὅλως ἡ τῶν στοιχείων μῖξις ἐν πολλαπλασιασμῷ οὐ γίνεται. οἱ λόγοι γάρ, φησίν, τῆς τῶν στοιχείων μίξεως προσθέσει ἢ κατὰ σύνθεσιν ἀριθμῶν εἰσίν, ἀλλ' οὐκ ἐν ἀριθμοῖς, τουτέστιν ἐν πολλαπλασιασμοῖς. πολλαπλασιασμὸς γάρ 30 ἐστι τὸ τρὶς τρία ἢ τρὶς δύο· ἐπὶ δὲ τῆς τῶν στοιχείων μίξεως οὐχ οὕτω φαμέν, ἀλλὰ γίνεσθαι λέγομεν ὀστᾶ, ὅταν τὸ πῦρ πρὸς τὴν γῆν ἔχῃ ὡς ὁ δύο πρὸς τὸν δύο. ἄλλο οὖν τὸ λέγειν ὅτι τετράκις δύο, καὶ ἄλλο τὸ ὡς δύο πρὸς δύο.

ὃ δὲ λέγει δυνατὸν τοιοῦτόν ἐςιν· ἐπεὶ γὰρ ἐν τοῖς πολλαπλασιασμοῖς ἡ μία πλευρὰ καὶ ὁ εἷς ἀριθμὸς μετρεῖ τὸν ὅλον ἀριθμόν, τὸν μθ' ὁ ζ' καὶ τὸν ξδ' ὁ η', τὸν ιβ' ὁ γ' ἢ ὁ δ', εἰ ἦν καὶ τὸ τοῦ ἀνθρώπου σῶμα, ἐφ' ὃ αβγ', ἀπὸ πολλαπλασιασμοῦ γεγονός, ἔδει αὐτὸ τῷ α' μετρεῖσθαι καὶ εἶναι τῷ α' ὁμοειδῆ τὰ β' καὶ γ', ὥσπερ καὶ ὁ ζ' ὁ τὸν μθ' μετρῶν ὁμοειδής ἐςι ταῖς λοιπαῖς ἓξ ἑπτάσιν. ἀλλὰ κἂν ἵππου σῶμα ἦν, ἐφ' ὃ δεζ', ἔδει καὶ αὐτῷ τῷ δ' μετρεῖσθαι. ἀλλ' ἀδύνατον· ἀνάγκη γὰρ καὶ πῦρ καὶ γῆν καὶ τὰ ἄλλα ςοιχεῖα εἰς σύςασιν τούτων παραλαμβάνεσθαι, ταῦτα δὲ ἑνὶ καὶ τῷ αὐτῷ μετρεῖσθαι οὐ δύνασθαι· τὰ γὰρ ὑφ' ἑνὸς μετρούμενα ὁμοειδῆ ἀλλήλοις τε καὶ τῷ μετροῦντι· οἱ γὰρ δέκα ἵπποι τῷ ἑνὶ ἵππῳ καὶ οἱ μθ' ὁμοίως τῷ ἑνὶ ἢ τῇ μιᾷ ἑπτάδι. τὸ δὲ "οὐκοῦν ἔςαι πυρὸς δὶς πέντε τρὶς ἑπτά" οὕτως ἐπῆκται ὡς εἰ ἔλεγεν, ἡ μὲν γῆ καὶ τὸ πῦρ καὶ τὸ ὕδωρ ἑνὶ καὶ τῷ αὐτῷ μέτρῳ μετρεῖσθαι οὐ δύνασθαι· ἀνομοειδῆ γάρ εἰσιν· εἰ δὲ ἦσαν δέκα πυρὰ ἢ κ' καὶ πα' ἀέρες, ἐμετρήθησαν ἂν τῷ αὐτῷ καὶ ἑνί, τὰ μὲν πυρὰ τῷ β' ἢ τῷ ε' (δὶς γὰρ πέντε ἢ πεντάκις δύο δέκα), οἱ δὲ ἀέρες τοῖς τρισὶν ἀέρσι ἢ τοῖς ζ'· τρὶς γὰρ ἑπτὰ ἢ ἑπτάκις τρεῖς κα'. ὁμοίως καὶ εἰ ὕδατος ἦσαν, τῷ ὕδατι ἂν ἐμετρήθησαν.

τοιούτοις εἰ πάντα τὰ πράγματα ἐκοινώνει ἀριθμοῦ, καὶ πᾶς 3054.
ἀριθμὸς ἐν τοῖς πράγμασί ἐςιν, ἀνάγκη πολλὰ πράγματα τῷ αὐτῷ ἀριθμῷ χρῆσθαι καὶ πολλοὺς ἀριθμοὺς τοῦ αὐτοῦ καὶ ἑνὸς εἶναι· εἰ δὲ τοῦτο, τὰ διαφέροντα κατ' εἶδος τοῖς αὐτοῖς ἀριθμοῖς κοσμηθήσεται, καὶ ἔςαι ὁ ἵππος ὁ αὐτὸς τῷ ἀνθρώπῳ, καὶ οὐ τοῦτο μόνον, ἀλλ' ἔςαι ὁ ἄνθρωπος καὶ βοῦς καὶ ἵππος.

εἰπὼν δὲ ὅτι ἀνάγκη πολλὰ συμβαίνειν τὰ αὐτὰ καὶ ἀριθμὸν 3057.
τὸν αὐτόν, οἷον τὸν τρία ἤτοι τὸν ἵππον, καὶ τῷδε καὶ ἐν ἄλλῳ ἀριθμῷ, οἷον συὶ καὶ βοῒ εὑρίσκεσθαι, ἐρωτᾷ "ἆρ' οὖν τοῦτο αἴτιον," ἤτοι ἆρ' οὖν τὸ κοινωνεῖν πάντα ἀριθμοῦ αἴτιόν ἐςι τοῦ εἶναι τὰ πράγματα καὶ ὡς ἀληθῶς κατὰ ἀριθμὸν κεκόσμηται "ἢ ἄδηλον;" καὶ τοῦτο ἐρωτήσας, ὅπερ διὰ τοῦ "ἀνάγκη πολλὰ συμβαίνειν τὰ αὐτά, καὶ ἀριθμὸν τὸν αὐτὸν τῷδε καὶ ἄλλῳ" ἠνίξατο, σαφῶς ἐκτίθεται λέγων, οἷον ἔςι τις τῶν τοῦ ἡλίου φορῶν καὶ σελήνης ἀριθμὸς καὶ ἑκάςου βίου τῶν ζῴων καὶ ἡλικίας· τί οὖν κωλύει, μᾶλλον δ' ἀναγκαῖον, ὡς αὐτοί φασιν, ἐνίους

τούτων τετραγώνους εἶναι, ἄλλους δὲ κύβους καὶ ἴσους· ὥστε εἰ πάντα ἀριθμῷ κοινωνεῖ, ἐνδέχεται, εἰ δεῖ τὸ ἀναγκαῖον ἐνδεχόμενον λέγειν, ὑπὸ τὸν αὐτὸν ἀριθμὸν πίπτειν πλείονα καὶ διαφέροντα, ὥστε εἴ τισιν ὁ αὐτὸς ἀριθμὸς συμβέβηκεν, ὁμοειδῆ ἂν εἴη ἀλλήλοις καὶ τὸν αὐτὸν ἀριθμὸν ὄντα. 5

305 18. τὸ λεγόμενον οὕτως ἐπῆκται ὡς εἰ ἔλεγεν, ἀλλ' ἴδωμεν αὐτῶν τὰς κατασκευάς, δι' ἃς αἰτίας λέγουσι ταῦτα, ταῦτα λέγων τοὺς ἀριθμοὺς τῶν πραγμάτων· τὴν ἑπτάδα γὰρ φασὶν ἐπαινοῦντες ὡς δι' αὐτὴν ἑπτὰ μέν εἰσι φωνήεντα, δι' ὧν ἡ ἐγγράμματος ἀποτελεῖται φωνή, ἑπτὰ δὲ φθόγγοι τῆς διὰ πασῶν καὶ ἁρμονίαι τοσαῦται, καίτοι δόξειεν ἂν πέντε ἢ ἓξ εἶναι ἄχρι τῆς δίς διὰ πασῶν· ἔτι δὲ τὰς πλειάδας ἑπτά, ἐν ἑπτὰ δὲ ἔτεσι τοὺς ἐκ γενετῆς ὀδόντας βάλλει ἤτοι ῥίπτει καὶ ἄλλους ἐκφύει τὰ ζῷα, οἷς ἐπιφωνεῖ πάνυ ἐλεγκτικῶς τὸ "ἔνια δέ, ἔνια δ' οὔ·" πολλὰ γὰρ τῶν ζῴων οὐκ ἐν ἑπτὰ ἔτεσι τοὺς ὀδόντας βάλλει, ὡς ἐν τῇ περὶ Ζῴων Ἱστορίᾳ εἴρηται. ἀλλὰ καὶ διὰ τὸν ἑπτά φησιν ἀριθμὸν γενέσθαι τοὺς ἐν Θήβαις ὑπὸ Ἐτεοκλέους ἑπτὰ στρατηγούς.

τὴν δὲ πλειάδα ἡμεῖς μὴ οὕτως ἀριθμοῦμεν καὶ δι' ἑπτὰ ἀστέρων καταστερίζομεν, τὴν δὲ ἄρκτον διὰ δώδεκα, οἱ δὲ Χαλδαῖοι προστιθέασι καὶ ἄλλους ἀστέρας καὶ τῇ πλειάδι καὶ τῇ ἄρκτῳ· ὥστε εἰ διὰ τὸν ἑπτὰ ἦν ἡ πλειὰς ἐξ ἑπτὰ ἀστέρων, διὰ τὸν δώδεκα ἡ ἄρκτος ἐκ δώδεκα, πάντες ἂν ὡς οἱ Ἕλληνες συνέταττον αὐτάς, ἀλλ' οὐχὶ οἱ Ἕλληνες οὕτω, Χαλδαῖοι δὲ καὶ Βαβυλώνιοι τὴν τῶν καταστερισμῶν θέσιν ἐποίουν ἄλλως. πρὸς τούτοις καὶ τὰ διπλᾶ σύμφωνα ζ ξ ψ τρία φασὶν εἶναι διότι καὶ αἱ συμφωνίαι τρεῖς καὶ ἀνάγειν αὐτῶν ἕκαστον εἰς ἑκάστην τῶν συμφωνιῶν πειρῶνται, τὸ μὲν ζ εἰς τὴν διὰ δ, τὸ δὲ ξ εἰς τὴν διὰ πέντε, τὸ δὲ ψ εἰς τὴν διὰ πασῶν. τοῦτο εἰπὼν ἐπιφέρει "ὅτι δὲ μυρία ἂν εἴη τοιαῦτα, οὐθὲν μέλει," τουτέστιν ὅτι δὲ μυρία ἂν συμβαίη διπλᾶ εἶναι ἐξ ὧν λέγουσιν, οὐθὲν αὐτοῖς μέλει. πῶς δὲ καὶ ἄλλα πάμπολλα συμβαίνει διπλᾶ γίνεσθαι ἐξ ὧν φασί, τὴν αἰτίαν ἐπάγει λέγων "τὸ γὰρ γ καὶ ρ εἴη ἂν ἓν σημεῖον." εἰ γὰρ διότι αἱ συμφωνίαι τρεῖς, διὰ τοῦτο καὶ τὰ διπλᾶ, ὡς αὐτοί φασι, τρία ἐστίν, ἐπειδὴ πέντε ἢ ἓξ εἰσιν οἱ φθόγγοι ἄχρι τῆς διὰ πασῶν, ἔσονται καὶ τὰ δι-

πλᾶ ἕξ· εἰ δὲ τοῦτο, συμβήσεται καὶ τὸ γ καὶ ρ ἓν εἶναι στοιχεῖον, ἀλλὰ καὶ τὸ λ καὶ ν καὶ τὰ λοιπὰ ὁμοίως. ἀντὶ δὲ τοῦ εἰπεῖν ὅτι συμβαίνει τὸ γ καὶ ρ ἓν εἶναι στοιχεῖον, εἶπεν ὅτι "ἓν σημεῖον," διότι ἓν ἕκαστον γράμμα σημεῖόν ἐστί τινων μονάδων· τὸ μὲν γὰρ β δύο μονάδων, τὸ δὲ γ τριῶν, τὸ ζ ἑπτά, τὸ ξ ἑξήκοντα καὶ τὰ λοιπὰ ὁμοίως· ὥστε κἂν διπλῶν γένηται στοιχεῖον ἐκ τοῦ γ καὶ ρ, σημεῖον ἂν ἦν καὶ ἐκεῖνο τινῶν μονάδων. ταῦτα εἰπὼν λέγει αὐτὸς τὴν αἰτίαν καθ' ἣν συνέβη τρία μόνα εἶναι τὰ διπλᾶ καὶ οὐ πλείω, λέγων "εἰ δὲ ὅτι διπλάσιον τῶν ἄλλων ἕκαστον, ἄλλο δ' οὔ," ἤτοι εἰ δὲ εἰκός ἐστι λέγειν ὅτι διὰ τοῦτό εἰσι τρία τὰ διπλᾶ, ὅτι ἕκαστον διπλάσιόν ἐστι τῶν ἄλλων (τὸ γὰρ ζ διπλάσιόν ἐστι τοῦ δ ἢ τοῦ σ καὶ τὸ ξ τοῦ σ ἢ τοῦ κ, καὶ τὸ ψ ὁμοίως τοῦ π ἢ τοῦ σ), — εἰ οὖν διὰ τοῦτό εἰσι τρία, ὅτι διπλάσιόν ἐστιν ἕκαστον ἑνὸς ὁποιουοῦν τῶν συνιστώντων αὐτό, τοῦτο ἂν αἴτιον τοῦ εἶναι τρία τὰ διπλᾶ καὶ ἄλλο οὐθέν. καὶ τὴν αἰτίαν ἐπάγει δι' ἣν ἐκ τοῦ διπλασίονα εἶναι τὰ διπλᾶ ὁποιουοῦν τῶν ἁπλῶν τρία εἰσί, λέγων, αἴτιον δὲ τοῦ τρία εἶναι τὰ διπλᾶ ἐκ τοῦ διπλασίονα εἶναι τῶν ἄλλων, ὅτι τριῶν ὄντων ἐν τῷ στόματι τόπων, καθ' οὓς τὸ σ ἐπιφέρεται ἄλλου προηγουμένως ἐκφωνουμένου· ἐν γὰρ τῷ ψέγω ῥήματι προηγουμένως τῷ π ἐκφωνουμένῳ ἐπιφέρεται τὸ σ ἓν σύμφωνον· καὶ διὰ τοῦτο τρία εἰσὶ σύμφωνα, ἀλλ' οὐχ ὅτι γ αἱ συμφωνίαι. τρεῖς οὖν, ὡς εἴρηται, ἐν ὅλῳ τῷ στόματι, καθ' οὓς πληγῶν τινῶν γινομένων τὰ σύμφωνα ἐξηχεῖται, ὅ τε ἐκτὸς τῶν ὀδόντων καὶ ὁ λεγόμενος οὐρανίσκος καὶ αὐτοὶ οἱ ὀδόντες· τῆς γὰρ γλώσσης ἢ μέρει τινὶ τοῦ οὐρανίσκου προσπιπτούσης ἢ πελαζούσης ἢ τοῖς ὀδοῦσιν, ἢ τῶν χειλέων ἀλλήλοις προσπιπτόντων ἢ πελαζόντων, ἡ τῶν συμφώνων ἀποτελεῖται ἀπήχησις. καὶ οὖν τοῖς ῥηθεῖσι τρισὶ τόποις, ὅταν μὴ αὐτοῦ τοῦ σ προηγουμένου τὸν ψόφον ἐκφέρωμεν, οὐ πλεονάκις ἢ ἅπαξ ἐν ἑκάστῳ τῶν τόπων σ ἐξακούεται, ἀλλ' ἐν μὲν μέσῳ τῷ οὐρανῷ ἅπαξ μέρος γινόμενον τοῦ ξ, ἐν δὲ τοῖς ὀδοῦσιν ἅπαξ τοῦ ζ, καὶ ἐν τοῖς χείλεσιν ὡσαύτως σὺν τῷ π τὸ ψ συμπληροῦν. διὰ οὖν τοῦτο τρία τὰ διπλᾶ, ἀλλ' οὐχ ὅτι αἱ συμφωνίαι τρεῖς.

καὶ Ἀρχῖνος ταύτῃ τῇ ἀποδόσει ἐχρῆτο, ὡς Θεόφραστος ἱστορεῖ· ἔλεγε γὰρ Ἀρχῖνος μὴ ἔξω τι παρὰ τὴν μύσιν τῶν χειλέων ἐκφω-

νεῖᾳ, ὥσπερ τὸ π, καὶ διὰ τοῦτο τὸ ψ πρὸς τῷ ἄκρῳ γεννᾶᾳ τῆς γλώττης ὡς ἐκ τοῦ π καὶ σ συγκείμενον, ἢ τῷ πλάτει τῆς γλώττης παρὰ τοὺς ὀδόντας, ὥσπερ τὸ δ, καὶ διὰ τοῦτο τὸ ζ κᾷ ταύτην γεννᾶᾳ τὴν χώραν, ἢ τῷ κύρτῳ πιεζομένῳ ἐκ τοῦ ἐχάτου, ὥσπερ τὸ κ, ὅθεν τὸ ξ προϊέναι.

306 1. λέγει δὲ καὶ περὶ τῶν διπλῶν συμφώνων ὅτι οὐ διὰ τοῦτο τρία, ἐπειδὴ γ' αἱ συμφωνίαι. καὶ εὖ λέγει· οὐδὲ γὰρ ἔστιν ἕκαστον αὐτῶν ἀνάγειν εἰς ἑκάστην τῶν συμφωνιῶν, οἷον τὸ ζ' εἰς τὴν διὰ δ' ἢ τὸ ξ' εἰς τὴν δι' ὀξείαν ἢ τὸ ψ' εἰς τὴν διὰ πασῶν· ἀλλὰ μᾶλλον, φησίν, ἐπειδὴ οἱ τρόποι τρεῖς τῆς ἐκφωνήσεως, διὰ τοῦτο ἐφ' ἑκάστου ἓν ἀποτελεῖ. ταύτῃ δὲ τῇ ἀποδόσει καὶ Ἀρχῖνος ἐχρήσατο, ὡς ἱστορεῖ Θεόφραστος κτλ. Syr.

306 3. τῶν ἐξηγουμένων τὸν Ὅμηρόν τινες τὸ ἀκόλουθον πρὸς ἑαυτοὺς μὴ σώζοντες ἐπὶ γλίχρας καὶ καταγελάστους ἐπινοίας καταφέρονται. ἀλλὰ πρὸ τῆς τῶν λεγομένων σαφηνείας ῥητέον ὀλίγα τινὰ πάνυ συντελοῦντα πρὸς τὴν τῶν ὑπ' αὐτοῦ λεγομένων διάρθρωσιν. οἱ τὸν Ὅμηρον ἐξηγούμενοι ἔπος κυρίως ἐκάλουν τὸν ἀπὸ δακτύλων μόνων συγκείμενον στίχον καὶ τὸν τελευταῖον ἔχοντα πόδα τροχαῖον, τὸν δὲ ἀπὸ δακτύλων καὶ σπονδείων ὄντα ἔπος λέγειν οὐκ ἠξίουν. πᾶς δὲ τοιοῦτος στίχος ὁ ἀπὸ δακτύλων πάντων καὶ ἑνὸς τοῦ τελευταίου ποδὸς τροχαίου συγκείμενος δέκα καὶ ἑπτὰ ἐξ ἀνάγκης συλλαβὰς ἔχων εὑρίσκεται· ἐπεὶ γὰρ πᾶς στίχος ἴαμβός τε καὶ ἡρωϊκὸς ἑξάπους ἐστίν, ἕκαστος δὲ τῶν δακτύλων ἐκ τριῶν σύγκειται συλλαβῶν, ὁ δὲ τροχαῖος ἐκ δύο, οἱ μὲν πέντε δάκτυλοι τὰς πέντε καὶ δέκα συλλαβὰς ἀπογεννῶσιν, ὁ δὲ τροχαῖος τὰς δύο, ὥστε ἐξ ἀνάγκης ἐστὶν ἐξ ἑπτακαίδεκα συλλαβῶν τὸ ἔπος, ἀπὸ μὲν ιε' τῶν τοὺς πέντε συνιστώντων δακτύλους καὶ δύο τῶν τὸν τροχαῖον. τούτων οὕτως ἐχόντων οἱ τὸν Ὅμηρον γελοίως ἐξηγούμενοι ψυχρευόμενοί φασιν ὅτι ἐπεὶ μεταξὺ τῶν δύο χορδῶν, ὧν ἡ μείζων πρὸς τὴν ἐλάττονα λόγον ἔχει ὃν ὁ ιβ' πρὸς τὸν ς', εἰσὶ δύο μέσαι ἔχουσαι πρὸς ἀλλήλας ὃν ὁ θ' πρὸς τὸν η', ἐκ δὲ τοῦ θ' καὶ η' ἀποτελεῖται ὁ ιζ', διὰ τοῦτο καὶ τὸ ἔπος ἐκ δέκα καὶ ἑπτὰ σύγκειται συλλαβῶν, ἰσάριθμον ὂν τὸ ἔπος τούτοις τῷ τε θ' καὶ τῷ η'. ἀλλὰ βαίνεταί τε καὶ ἴσται τὸ ἔπος καὶ τὸ εἶναι ἔχει μὲν ἐν τῷ δεξιῷ, λέγων δεξιὸν τὸ ἀπὸ τῆς ἀρχῆς ἕως τοῦ

μέσυ, ἀριςερὸν δὲ τὸ ἀπὸ μέσυ ἕως τοῦ τελευταίου ποδὸς τοῦ τροχαίου. βαίνει δὴ ἐν μὲν τῷ δεξιῷ ἤτοι τῷ ἡμίσει τοῦ ςίχου τῷ ἀπὸ τῆς ἀρχῆς ἕως τοῦ μέσου ἐν ἐννέα συλλαβαῖς, τῷ δ' ἀριςερῷ, τουτέςι τῷ λοιπῷ ἡμίσει τῷ ἀπὸ τοῦ μέσου ἕως τοῦ τέλους, ἐν
5 ὀκτώ. γελοῖον δὴ ὡς ἀληθῶς τὸ λέγειν ὅτι διὰ τὸ μεταξὺ τῶν δύο ἄκρων χορδῶν δύο μέσας εἶναι, τὸ ἔπος σύγκειται ἐκ δέκα ἑπτὰ συλλαβῶν.

βόμβυκα δὲ λέγει τὸ μέγιςον καὶ πρῶτον ἐν τῷ αὐλῷ 306 11.
τρύπημα, ἀφ' οὗ καὶ ὁ μέγιςος καὶ ὁ βαρύτατος ἦχος ἀποτελεῖται,
10 ὀξυτάτην δὲ τὸ ἐλάχιςον ἔχατον, αὐτό φημι τὸ κόν, ἀφ' οὗ ὀξύτατος ἀποτελεῖται φθόγγος. ἀντὶ τοῦ, ἢ τινὶ τῶν κόν ςοιχείων ὁλότητι ἡ τοῦ οὐρανοῦ ὁλότης προσαρμόζεται. εἰπὼν δὲ ταῦτα, λέγει "ὁρᾶν δὲ δεῖ μὴ τοιαῦτα οὐδεὶς ἂν ἀπορήσειεν," ὃ ἴσον ἐςὶ τῷ, ἐπειδὴ τὰ ἀίδια τέτακται καὶ ἀεὶ ὡσαύτως ἔχει, πολλὴ ἐπ' αὐτῶν
15 εὐπορία τοῖς θεωρήμασι χρῆται τῶν ἀριθμῶν, ὅπου γε καὶ ἐπὶ τῶν ἄλλοτε ἄλλως διακειμένων (ταῦτα γὰρ εἶπε φθαρτά) ἔςι πολλὰ ἐπινοεῖν· τίς γὰρ ἂν ἀπορήσειεν λέγειν ὅτι ὁ καρκίνος ἐκ τοσῶνδε ἀςέρων ἐςί, διότι καὶ ὁ ἀριθμὸς καθ' ὃν ἐςι τοιόσδε ἐςίν;

φύσεις ἀριθμῶν λέγει τὰ ὑπὸ τὴν ἀμείνονα συςοιχίαν τοῦ 306 15.
20 ἀριθμοῦ· δύο γὰρ συςοιχίας, ὡς πολλάκις εἴρηται, ἐπαίνων, τὴν μὲν τῶν ἀγαθῶν, ὑφ' ἣν ἔταττον τὸ ἕν, τὸ φῶς, τὸ περιττόν, τὰ ὅμοια, ἄλλην δὲ τοῦ κακοῦ, ὑφ' ἣν τὸ πλῆθος, τὸ σκότος, τὸ ἄρτιον, τὰ ὅμοια. ἦν δὲ ἂν σαφεςέρα ἡ λέξις, εἰ ἀντὶ τοῦ "ἀλλ' αἱ ἐν τοῖς ἀριθμοῖς φύσεις ἐπαινούμεναι" εἶχεν, ἔτι αἱ ἐν τοῖς ἀριθ-
25 μοῖς φύσεις ἐπαινούμεναι. "καὶ τὰ τούτοις ἐνάντια·" καὶ εἴρηται τίνα ταῦτα. ὡς λέγουσιν οἱ τοὺς ἀριθμοὺς τιθέμενοι καὶ αἴτια ποιοῦντες τὰ ἐν τοῖς μαθήμασι τῶν φυσικῶν, ἔοικε διαφεύγειν καὶ μὴ δύναται κατ' οὐδένα τρόπον τῶν περὶ τὰς ἀρχάς· οὔτε γὰρ ὡς ποιητικὰ οὔτε ὡς τελικὰ οὔτε ὡς τελικὰ ἢ εἰδικὰ αἴτια κατ' οὐδένα
30 τρόπον εἶναι δύνανται τῶν φυσικῶν. ἀλλ' αἴτια μὲν τῶν τῇδε εἶναι δύνανται· ὡς μὲν ποιοῦσι, καὶ καθ' ὃν τρόπον τὰ πράγματα τάττουσιν, ἔνεςι τὸ ἓν καὶ ἐν χήμασι καὶ ἐν χρώμασι καὶ ἐν ἀριθμοῖς καὶ ἐν ἑκάςοις καὶ ἐν τῇ φύσει, ὁμοίως καὶ τὰ ἀντικείμενα τούτοις.

306 22. καὶ αἱ δυνάμεις ἐνίων ἀριθμῶν, οἷον τετραγώνων, τριαγώνων, ἑξαγώνων, κύβων, τῶν ὁμοίων, ἔνεισι ἐν τοῖς σχήμασι καὶ τοῖς ἄλλοις· ὑ μὴν ἡ ἀμείνων συςοιχία τῦ ἀριθμῦ.

306 27. ἀλλὰ πῶς ταῦτα οἰκεῖα; ἢ φησὶ καὶ ὥσπερ τὸ εὐθὺ οἰκεῖόν ἐςι τῦ μήκυς, ὕτω τῦ πλάτυς τὸ ὁμαλόν, καὶ ἔςιν ἓν τὸ εὐθὺ καὶ τὸ ὁμαλὸν τῷ ἀνάλογον· ὡς γὰρ τὸ εὐθὺ ἐν μήκει, ὕτως ἐν πλάτει τὸ ὁμαλὸν καὶ ἐν ἀριθμῷ ἴσως τὸ περιττὸν καὶ ἐν χρώματι τὸ λεύκον. τὰ μὲν ὖν λεγόμενα ταῦτα· τὴν δὲ λέξιν ὑπερβατῶς ἀναγνωςέον ὕτω· κατ' ὐδένα γὰρ τρόπον τῶν διωρισμένων περὶ τὰς ἀρχὰς ὐδὲν αὐτῶν αἴτιόν ἐςιν· ἅμα γὰρ αἱ ὧραι καὶ ὁ ἀριθμὸς τοιοσδὶ καὶ τὰ ἑξῆς· τὰ δ' ἄλλα μεταξὺ παρεμβέβληται.

307 2. τῦτο εἰς τὺς εἰδητικὺς ἀριθμὺς μόνυς ἀπέρριπται, ὕς φασιν ἀσυμβλήτυς ἔχειν μονάδας, καὶ διὰ τῦτο διαφορὰν δείκνυται καὶ ἐπὶ τῶν ἴσων· ἡ γὰρ αὐτοτριάς, φασίν, ὐκ ἔςιν ὅπερ τὸ τρίτον μέρος τῆς αὐτοεννεάδος, ὐδὲ τὸ ἥμισυ τῆς αὐτοεξάδος. εἰ τοίνυν τοιῦτοί εἰσιν οἱ εἰδητικοὶ ἀριθμοί, ὐκ ἂν εἶεν αἴτιοι τῶν ἁρμονιῶν· ἐν γὰρ ταῖς συμφωνίαις οἵ τε ὁμόφωνοι φθόγγοι ἴσοι εἰσί, καὶ ἡ νήτη διπλασία τῆς ὑπάτης ἐπιτέτακται, καὶ ὅλως ὁ δ' τῦ ὀκτὼ ἥμισυς καὶ τῦ τρία ἐπίτριτος, ὡς ἂν ἀδιαφόρων ὐσῶν τῶν ἐν αὐτοῖς μονάδων.

307 5. ταῦτα εἰπὼν συμπεραίνεται τὸν σύμπαντα λόγον, λέγων· τὰ μὲν ὖν συμβαίνοντα τοῖς εἰδητικὺς ἀριθμὺς ποιῦσι καὶ τοῖς χωριςὰ τὰ μαθηματικὰ τιθεμένοις καὶ αἴτια τῶν φυσικῶν λέγυσι τὰ ῥηθέντα ἐςί, καὶ ἔτι πλείω τύτων συναχθείη, τὰ περὶ τῶν εἰδῶν γραφέντα αὐτῷ δύο βιβλία, ἄλλα ὄντα παρὰ τὸ M καὶ N, καὶ ἐκτὸς τῆς Μετὰ τὰ Φυσικὰ συντάξεως. καὶ ἔοικε, φησί, τεκμήριον καὶ πίςις ἱκανὴ εἶναι τῦ μὴ εἶναι χωριςὰ τὰ μαθηματικὰ τῶν αἰσθητῶν μηδὲ πολλῷ μᾶλλον αἴτια τῶν τῆδε τὸ πολλὰ κακοπαθεῖν αὐτὺς περὶ τὴν γένεσιν αὐτῶν καὶ τὸ κατασκευάσαι ὡς εἰσί, μὴ δυνηθῆναι δὲ τῦτο ποιῆσαι, μηδὲ συνείρειν καὶ ἀκολυθεῖν καὶ αἰτίας ἀποδιδόναι ἐφ' ἑκάςυ τῶν ἀπορυμένων καὶ ἐπαγομένων αὐτοῖς, μηδὲ λύειν τὰς ἐπαγομένας αὐτοῖς ἐνςάσεις, πρὸς ἃ ἂν εἴπωσι ὑπὲρ τῶν εἰδῶν καὶ τῶν ἄλλων ἁπάντων.



MAG 317,597

Digitized by Google

A. PANDIMIGLIO
RESTAURO - CODICI
PERGAMENI - STAMPE
Via Podere Rosa, 154

Digitized by Google